GRA



F
NIL CANDIDIVS

52

Quaterniones omnes excæpto G. qui est duernio.

A. B. C. D. E. F. G

Florentiæ per hæredes Philippi Iuntæ
Anno Domi. M. D. XXVI.
mense Aprili CLE. septi.
Ponti. Maximo.



ὁ καὶ ἵππειος ἢ καρικὸς ἢ δόχμιος β΄. ὁ ἐκ μακρᾶς καὶ βραχείας καὶ δύο μακρῶν γ΄. ὁ ἐκ δύο μακρῶν βραχείας καὶ μακρᾶς ὁ καὶ περιοδικὸς δ΄. ὁ ἐκ τριῶν μακρῶν καὶ βραχείας ὁ καὶ μονογενής. Ἰστέον δὲ ὅτι ἀπὸ τούτων ἐννέα μόνον πόδες συνιστῶσι τὰ μέτρα. ὅ,τι ἴαμβος ἀφ' οὗ τὸ ἰαμβικόν ὁ τροχαῖος ἀφ' οὗ τὸ τροχαϊκόν. ὁ δάκτυλος ἀφ' οὗ τὸ δακτυλικὸν ἤγουν τὸ ἡρωϊκόν ὁ ἀνάπαιστος ἀφ' οὗ τὸ ἀναπαιστικόν. ὁ χορίαμβος. ἀφ' οὗ τὸ χοριαμβικὸν ὁ ἀντίσπαστος ἀφ' οὗ τὸ ἀντισπαστικόν. ὁ ἰωνικὸς ἀπὸ μείζονος ἀφ' οὗ ἰωνικὸν ἀπὸ μείζονος ὁ ἰωνικὸς ἀπ' ἐλλάσσονος ἀφ' οὗ τὸ ἰωνικὸν ἀπ' ἐλλάσσονος. καὶ ὁ κρητικὸς ἤγουν ὁ ἀμφίμακρος ἀφ' οὗ τὸ παιονικόν. οἱ δὲ λοιποὶ πόδες συνέρχονται μετὰ τούτων εἰς συμπλήρωσιν τῶν μέτρων. καθ' ἑαυτοὺς δὲ μέτρα συνιστῶσιν.

χείας καὶ δύο μακρῶν καὶ βραχείας ἐξ ἰάμ-
βου καὶ τροχαίου συγκείμενος ὁ καὶ σπονδεια-
κὸς καὶ βακχεῖος κατὰ ἴαμβον. ὄγδοος ὁ χο-
ρίαμβος ἀντικείμενος τούτῳ ἐκ μακρᾶς δύο βρα-
χειῶν καὶ μακρᾶς ἐκ τῶν αὐτῶν προδ' ὧν ἀνάπαλιν
συγκείμενος. ὁ καὶ κύκλιος ἢ ὑπὸ βακχεῖος ἢ καὶ βακ-
χεῖος κατὰ τροχαῖον. ἐφεξῆς δὲ τούτων οἱ δ'. εἰσὶ
παίωνες κοινῷ μὲν ὀνόματι οὕτω καλούμενοι μίαν
δὲ μονοσύλλαβον ἔχοντες, ἕκαστον μακρὰν τὰς δὲ
λοιπὰς τρεῖς βραχείας περιερχομένης τῆς μα-
κρᾶς τὰς τέσσαρας τούτου χώρας διαστέλλονται
ἕκαστος τῷ πρῶτος λέγεσθαι καὶ β'. καὶ γ'. καὶ δ'.
ἐστὶ τοίνυν α'. παίων ὁ ἐκ μακρᾶς καὶ τριῶν βρα-
χειῶν συγκείμενος ὁ καὶ παιωνικὸς διὰ τὸ ἐν τοῖς
παιῶσιν ὕμνοις παραλαμβάνεσθαι β'. ὁ ἐκ βρα-
χείας καὶ μακρᾶς καὶ δύο βραχειῶν ὁ καὶ σύμβλη-
τος καὶ κρητικὸς λεγόμενος. διὰ τὴν αὐτὴν αἰτίαν
γ'. ὁ ἐκ δύο βραχειῶν μακρᾶς καὶ βραχείας, ὁ καὶ
διδυμαῖος ἢ κουρητικὸς ἢ δελφικὸς ἢ δρόμιος δ'.
ὁ ἐκ τριῶν βραχειῶν καὶ μακρᾶς ὁ καὶ ὑποχρη-
ματικὸς καὶ κρητικός. ὁμοίως τούτοις ἔχουσι καὶ
οἱ καλούμενοι ἐπίτριτοι δ'. ὄντες καὶ οὗτοι καὶ
ἕκαστος τρεῖς μακρὰς καὶ μίαν βραχεῖαν ἔχον-
τες. περιερχομένης δὲ καὶ ἐν αὐτοῖς τῆς βραχείας
συλλαβῆς κατὰ τὴν θέσιν αὐτῆς διαστέλλονται ἀλ-
λήλων. τῷ, τε α'. λέγεσθαι καὶ β'. καὶ γ'. καὶ δ'. ἐστὶ
οὖν α'. ἐπίτριτος ὁ ἐκ βραχείας καὶ τριῶν μακρῶν

θαι καὶ αὐτὸς πρὸς τὰ διονυσιακὰ μέλη πεποίηται ὁ καὶ προσοδιακὸς καὶ πομπευτικὸς διὰ τὸ ἐν προσοδίοις ὕμνοις οὕτω καλουμένοις καὶ ἐν ταῖς διονυσιακαῖς πομπαῖς ἐπιτήδειον εἶναι.

Τῶν δὲ τετρασυλλάβων μνείαν οἱ σχολιογράφοι οὐκ ἐποιήσαντο. διὰ τοῦτο οὐδὲ ἡμεῖς πολλὰ περὶ αὐτῶν φιλοκρινούμεθα. τέως εἰσὶν οὗτοι. πρῶτος ὁ προκελευσματικὸς οὕτω καλούμενος ἐπειδὴ πρῶτος ἐστὶ τῶν διπλῶν ἐκ δ΄. βραχειῶν σύνθετος ὢν ἐκ δύο πυῤῥιχίων. β΄. ὁ ἀντικείμενος αὐτῷ δισπόνδειος ἐκ τεσσάρων μακρῶν σύνθετος ὢν ἐκ δύο σπονδείων. γ΄. ὁ διΐαμβος ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς σύνθετος ὢν ἐκ δύο ἰάμβων ὁ καὶ παράλληλος ἴαμβος ἢ ἰαμβικὴ ταυτοποδία. δ΄. ὁ ἀντικείμενος τούτῳ διτρόχαιος ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς καὶ βραχείας ὁ καὶ κρητικὸς καὶ διχόρειος ἢ τροχαϊκὴ ταυτοποδία. ε΄. ὁ ἀπ' ἐλάσσονος ἰωνικὸς ἐκ δύο βραχειῶν καὶ δύο μακρῶν σύνθετος ὢν ἐκ πυῤῥιχίου καὶ σπονδείου ὁ καὶ ὑποκύκλιος ϛ΄. ὁ ἀπὸ μείζονος ἰωνικὸς ἀντικείμενος τούτῳ ἐκ δύω μακρῶν καὶ δύο βραχειῶν ἐκ τῶν αὐτῶν ποδῶν ἀνάπαλιν συγκείμενος ὁ καὶ περσικὸς ἰωνικὸς ὅτι οἱ ἴωνες αὐτῷ ἐκέχρηντο. περσικὸς δὲ διὰ τὸ τὰς ἱστορίας τὰς περσικὰς τούτῳ τῷ μέτρῳ γεγράφθαι. ἕβδομος ὁ ἀντίσπαστος ἐκ βρα-

ἐπιλαβομένη τῆς γῆς ἀνῆκεν ἡ ῥέα οὓς καὶ κουρῆτας ἐκάλεσαν διὰ τὸ περὶ τὸν δία κοῦρον ὄντα εἰλεῖσθαι· δέκα ὄντες καὶ τούτῳ τῷ μέλει ᾄδοντες καὶ ὀρχούμενοι τὸν κρόνον ἠπάτων· καλοῦσι δὲ τοῦτον καὶ ἡρῷον· διὰ τὸ δι' αὐτοῦ γενεὰς καὶ πράξεις καταλέγειν· τέταρτος ἀνάπαιστος ὁ τούτῳ ἀντικείμενος ἐκ δύο βραχειῶν καὶ μακρᾶς οὐ χάριν ἀνάπαιστος κέκληται· οἷον εἰ ἀναπεποδισμένος τουτέστιν ἀντίστροφος δάκτυλος ὁ καὶ ἀντιδάκτυλος· πέμπτος ὁ ἀμφίβραχυς ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας οὕτω κεκλημένος διὰ τὸ ἑκατέρωθεν τῆς βραχείας ἔχειν τὰς βραχείας ὁ καὶ ὑπερθετικὸς ὅτι ὑπερτιθεμένην ἔχει τὴν βραχεῖαν· ἕκτος ὁ ἀμφίμακρος τούτῳ ἀντικείμενος ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς διὰ τὸ ἑκατέρωθεν τῆς βραχείας ἔχειν τὰς μακρὰς ὁ καὶ κρητικὸς καὶ ἰωνικός· τὸ μὲν ὅτι ὑπὸ τῶν κρητῶν εὑρεθῆναι δοκεῖ· τὸ δ' ὅτι πρὸς τὰ ἰωνικὰ καλούμενα μέτρα ἥρμοσται· ἕβδομος ὁ βακχεῖος ἐκ βραχείας καὶ δύο μακρῶν· ἐκλήθη δὲ οὕτως ἐπειδὴ οἱ τῶν διθυραμβοποιῶν πρὸς διόνυσον ὕμνοι ὡς ἐπὶ τὸ πλεῖστον ἐκ τούτου τοῦ μέτρου ἦσαν· ὁ καὶ ὑποβάκχειος· ὄγδοος ὁ παλιμβάκχειος τούτῳ ἀντικείμενος ἐκ δύο μακρῶν καὶ βραχείας οὕτω κεκλημένος διὰ τὸ ἀντίστροφος εἶναι τῷ βακχείῳ ὁ καὶ διονύσιος κα

τοῦ ἰβάζειν. τουτέστι λόγους μεστοὺς πικρίας. ἔστι δὲ τὸ μέτρον λοιδορικόν. Τρίτος ὁ τροχαῖος ἐκ μακρᾶς καὶ βραχείας οὕτω λεγόμενος ἐκ μεταφορᾶς τῶν τρεχόντων οἵτινες ἐν τῷ προϊέναι ἀπὸ μακροτέρας ἀρχόμενοι ὁδοῦ κατὰ μικρὸν βραχύνουσιν αὐτήν. Τέταρτος ὁ σπονδεῖος ἐκ δύο μακρῶν συγκείμενος. ἐκλήθη δὲ οὕτως ὅτι ἐν ταῖς σπονδαῖς ἃς ἐποιοῦντο πρὸς τοὺς θεοὺς τοιούτῳ μέτρῳ ἐχρῶντο. πολυχρονιωτέραν ἔσεσθαι τὴν ζωὴν αὐτοῖς καὶ τὰ ἄλλα τῶν ἀγαθῶν εὐχόμενοι. τῶν δὲ τρισυλλάβων πρῶτος μὲν ὁ χορεῖος ὁ καὶ τρίβραχυς ἐκ τριῶν βραχέων. ἐκλήθη δὲ χορεῖος ὅτι οἱ ὑπὸ τῶν χορευόντων ᾀδόμενοι ἐν ταῖς χορείαις ὕμνοι ὡς ἐπὶ τὸ πλεῖστον ἐκ τοιούτων συνίσταντο μέτρων. ὁ καὶ τροχαῖος καὶ βραχυσύλλαβος. δεύτερος ὁ μολοττὸς ὁ τούτῳ ἀντικείμενος ἐκ τριῶν μακρῶν. ἐκλήθη δὲ ἀπὸ μολοσσοῦ τοῦ υἱοῦ πύρρου καὶ ἀνδρομάχης ᾠδὰς ἐν τοιούτῳ μέτρῳ εἰπόντος ἐν τῷ ἱερῷ δωδώνης. τρίμακρος δὲ ἢ διὰ τὸ μέγιστος εἶναι πάντων μολλοσσὸς κέκληται. τοὺς γὰρ μηκίστους οἱ παλαιοὶ μολοσσοὺς ἐκάλουν. τρίτος ὁ δάκτυλος ἐκ μακρᾶς καὶ δύο βραχειῶν οὕτω κεκλημένος ἀπὸ μεταφορᾶς τῶν ἁρμογῶν τῶν τῆς χειρὸς δακτύλων. ἀπὸ γὰρ μείζονος ἁρμογῆς ἐπὶ τὰς δύο ἐλάττους προΐασιν ἢ ἀπὸ τῶν δακτύλων οὓς

λαβὴν διαλλάσσονες ἥτις ἐστὶν ἀδιάφορος ἐπὶ παντὸς ἀμέτρου. ἄλλοι δὲ καὶ ἡγεμόνα φασὶν αὐτὸν ἐπεὶ ἐξ αὐτοῦ οἱ ἄλλοι πόδες. οὗτος δὲ κατὰ πόδα μὲν οὐ βαίνεται διὰ τὸ κατάπυκνον γίνεσθαι τὴν βάσιν. καὶ συγχεῖσθαι τὴν αἴσθησιν. κατὰ διποδίαν δὲ συντιθέμενος καὶ τὸν προκελευσματικὸν ποιῶν τὰ καλούμενα προκελευσματικὰ ἢ πυῤῥιακὰ μέτρα ποιεῖ. ὧν παραδείγματα. ἴθι μόλε ταχύποδος ἐπίδεσμα ἐλάφου πτεροφόρε χερσὸν καθημένια ὁ προκελευσματικός. δεύτερος ἴαμβος ἐκ βραχείας καὶ μακρᾶς συγκείμενος. ἐκλήθη δὲ οὕτως ἢ ἀπὸ ἰάμβης τῆς κελεοῦ θεραπαίνης, ὅτι ἡ δημήτηρ περίλυπος οὖσα ἐπὶ τῇ ἁρπαγῇ τῆς ἑαυτῆς θυγατρὸς καὶ πλανωμένη παρεξενώθη τινὶ ὀνόματι κελεῷ. καὶ τῇ αὐτοῦ γαμετῇ νήρι. καὶ τούτου ἡ θεράπαινα ἡ καὶ ἰάμβη καλουμένη ὡς ἔφαμεν παρεμυθήσατο τὴν δήμητρα ὀρχησαμένη, καὶ ᾄσματα ἐν τοιούτῳ ῥυθμῷ προενεγκοῦσα. ἢ ἀπὸ ἰάμβης τινὸς κόρης αἰσχρῶς ὑβρισθείσης καὶ διὰ τοῦτο ἀγχόνῃ χρησαμένης. ἢ ἀπὸ γραός τινος ἰάμβης καλουμένης ᾗ πλυνούσῃ συντυχὼν ὁ ἱππῶναξ καὶ ἁψάμενος τῆς σκάφης ἐφ' ἧς ἔπλυνεν ἡ γραῦς τὰ ἔρια ἔχουσα λεγούσης ἄνθρωπ' ἄπελθε τὴν σκάφην ἀνατρέπεις. ἢ ὅτι τὸ λοιδορεῖν ἰαμβίζειν ἐλέγετο ἀπὸ

τοῦ

συλλαβῶν μὴ συναριθμουμένων αὐτοῖς. εἰ γὰρ συναριθμηθεῖεν καὶ οὗτοι αὐτοῖς, ρνϛ´. ἔσονται οἱ πάντες.

Τὸ δὲ τὰ τοιαῦτα τῶν συλλαβῶν ὀνόματα πόδας ὀνομάζεσθαι μεταφορικῶς εἴληπται ἀπὸ τῶν ἐν τοῖς ζώοις ποδῶν, δι᾽ ὧν ποιοῦνται τὴν κίνησιν. ὥσπερ γὰρ οἱ τῶν ζώων πόδες ἀλλήλοις ἀντικείμενοι τὴν πορείαν ἐργάζονται, οὕτω καὶ οἱ μετρικοὶ πόδες ἀλλήλοις ἀντιπαρατιθέμενοι τὴν ὁδὸν τοῦ λόγου σχηματίζουσι καὶ τὴν αὐτοῦ κίνησιν εὔρυθμόν τε καὶ ἐναρμόνιον. λέγεται δὲ τὸ τοῦ ποδὸς ὄνομα καὶ ἐπὶ πολλῶν ἄλλων. λέγομεν γὰρ τραπέζης πόδας καὶ ἐπὶ τῆς ἁλίου νηὸς, καὶ τοῦ ἀρχομένου δὲ ὀξύτερον μόριος τὸ πρὸς τῇ νηὶ πούς κέκληται. ἕκαστος μέντοι τῶν τοιούτων ποδῶν ἰδίου τετύχηκεν ὀνόματος ἢ ἀπὸ ῥυθμῶν ἢ ἐθῶν ἢ συνθέσεων τῶν ἐξ ἀλλήλων ἢ ἀριθμῶν. περὶ ὧν ἐφ᾽ ἑκάστῳ δηλώσομεν. ἐστὶν οὖν α´. ὁ πυρρίχιος ἐκ βραχειῶν συγκείμενος. ἐκλήθη δὲ οὕτως ὅτι βραχύτατόν ἐστι καὶ ὀξεῖαν ποιεῖται τὴν κίνησιν τῶν χρόνων ὥσπερ καὶ ἡ καλουμένη πυρρίχη ἐνόπλιος ὄρχησις οὖσα. ἄλλοι δὲ ἀπὸ τοῦ πύρρου παρωνομάσθαι. πρώτῳ γὰρ τούτῳ ἐκ τοῦ δορίου ἵππου πηδήσαντι ἐπινίκιον ὕμνον συνέθεντο. τοιοῦτον ἔχοντα μέτρον. καλεῖται δὲ παράθεσις καὶ περίαμβος ἐπεὶ περὶ τὰ τέλη τῶν ἰαμβείων μέτρων εὑρίσκεται. ἢ ὅτι πυρρίχιος καὶ ἴαμβος παρὰ τὸ ὅμοιοι εἰσὶ περὶ τὴν ἐσχάτην συλ-

πόδα ποιοῦντες δισύλλαβον ἤγουν δάκτυλον τὸν δὲ δεύτερον ἴαμβον. τροχαϊκῶς δὲ τὸν μὲν α. πόδα ποιοῦντες δισύλλαβον τροχαῖον. τὸν δὲ β. ἀνάπαιστον ἰσοδυναμοῦντα τῷ σπονδείῳ. πάλιν δὲ τούτοις τοῖς λβ. πεντασυλλάβοις ἑκατέραν τῶν δύο συλλαβῶν ἑξασυλλάβοις ποιοῦσι. ξδ. καὶ εἰσὶν ὁμοῦ οἱ πάντες δ. η. ις. λβ. ξδ. συγκροτούμενοι εἰς ρκδ. ἄλλοι δὲ τοὺς ιβ. ἁπλοῦς πόδας ἤγουν τοὺς τέσσαρας δισυλλάβους καὶ τοὺς ὀκτὼ τρισυλλάβους ἐφ' ἑαυτοὺς πολυπλασιάζοντες ἤγουν δωδεκάκις. δώδεκα ποιοῦντες ρμδ. ποιοῦσι καὶ πῶς ἂν λυθείη ἡ δοκοῦσα ἐν τούτοις διαφωνία. ὅτι κατὰ μὲν τὴν α. μέθοδον καθ' ἣν οἱ τετρασύλλαβοι ἐκ προσλήψεως ἑκατέρας τῶν δύο συλλαβῶν πεντασυλλάβους ποιοῦσι λβ. εἰσὶν οἱ πεντασύλλαβοι. κατὰ δὲ τὴν δευτέραν μέθοδον τὴν ἐκ δισυλλάβων καὶ τρισυλλάβων συντιθεῖσαν αὐτοὺς ἢ ἐκ τρισυλλάβων καὶ δισυλλάβων. ξδ. γίνονται. πολλαπλασιαζόμενοι γὰρ οἱ δισύλλαβοι ἐπὶ τοὺς ὀκτὼ τρισυλλάβους λβ. καὶ πάλιν οἱ ὀκτὼ τρισύλλαβοι τοὺς τέσσαρας δισυλλάβους ἄλλους λβ. καὶ ὁμοῦ ξδ. ις. οὖν τετρασύλλαβοι καὶ ξδ. πεντασύλλαβοι. ρμδ. ποιοῦσι τοὺς συνθέτους τῶν ἁπλῶν δηλον. τουτέστι τῶν δ. δισυλλάβων καὶ τῶν ὀκτὼ τρι-

τῶν σύνθετός ἐστιν ἐκ δύο ποδῶν δισυλλάβων
δῆλον ἐκ τοῦ λέγεσθαι ἕκαστον αὐτῶν καὶ διπο-
δίαν ἢ καὶ συζυγίαν. γίνονται τοίνυν οὗτοι
οἵτε δισύλλαβοι δ΄. οἱ τρισύλλαβοι ὀκτὼ καὶ
οἱ τετρασύλλαβοι ιϛ΄. ὡς κη΄. καὶ μέχρι
μὲν οὖν τούτων οἱ ἀκριβέστεροι τῶν μετρικῶν ἱστᾶ-
σι τοὺς πόδας καὶ εἴπου δὲ εὑρεθῇ πεντασύλ-
λαβος πούς. λυομένης φασὶ τῆς ἔν τινι τετρα-
συλλάβου ποδίας μιᾶς μακρᾶς εἰς δύο βρα-
χείας γίνεσθαι τοῦτον. ἄλλοι δὲ φασὶ τοὺς τε-
τρασυλλάβοις προσλαμβάνοντας ἑκατέρας
τῶν συλλαβῶν πεντασυλλάβους ἀπογεννᾶν λβ΄.
κατὰ τὴν ἀναλογίαν τῶν δισυλλάβων καὶ τρι-
συλλάβων. ὥσπερ γὰρ φασὶν οἱ δισύλλαβοι τέσ-
σαρες ὄντες τὰς δύο συλλαβὰς προσλαμβά-
νοντες τοὺς ὀκτὼ τρισυλλάβους ἐποίησαν οὕτω
καὶ οἱ ιϛ΄. τετρασύλλαβοι τὰς τοιαύτας ἑκα-
τέρας προσλαμβάνοντες τοὺς λβ΄. πεντασυλ-
λάβους ποιοῦσιν οἷς ὀνόματα μὲν οὐκ ἔθεντο ἰδί-
ως ἑκάστοις ἀλλ᾽ ἀπὸ τῆς τῶν προειρημένων με-
τὰ συλλαβῆς συνθέσεως ἕκαστον δηλοῦσι. καὶ
τὰς διαιρέσεις αὐτῶν διπλᾶς ποιοῦνται δισυλ-
λάβους φάσκοντες εἶναι μετὰ τρισυλλάβων ἢ
τρισυλλάβοις μετὰ τρισυλλάβων. αὐτίκα γὰρ
ἥλιε θοαῖς ἵπποισι δύναται διαιρεῖν καὶ ἰαμβι-
κῶς καὶ τροχαϊκῶς. ἰαμβικῶς μὲν τοὶ μὲν ἀ-

τρα τῶν δύο συλλαβῶν τῆς μακρᾶς τε καὶ βραχείας ἑκάστη προσοῦσα δύο πόδας ποιεῖ, καὶ γοῦν ἡ μὲν βραχεία τῷ πυῤῥιχίῳ προσιοῦσα τὸν τρίβραχυν. ἤγουν τὸν χορεῖον ποιεῖ. ἡ δὲ μακρὰ τὸν δάκτυλον. τῷ δ' ἰάμβῳ ἡ μὲν βραχεῖα τὸν ἀνάπαιστον. ἡ δὲ μακρὰ τὸν ἀμφίμακρον. τῷ δὲ τροχαίῳ ἡ μὲν βραχεῖα τὸν βακχεῖον ἡ δὲ μακρὰ τὸν μολοσσόν. οἱ δὲ τετρασύλλαβοι ἐκ συνθέσεως πλείων τῶν δ'. δισυλλάβων γίνονται δὶς καὶ ις'. εἰσὶ τετράκις γὰρ τὰ δ'. δεκαέξ. καὶ γὰρ ὁ πυῤῥίχιος ἐφ' ἑαυτὸν συντιθέμενος τὸν προκελευσματικὸν ποιεῖ. ἐπὶ τὸν ἴαμβον δὲ τὸν δ'. παίονα. ἐπὶ δὲ τὸν τροχαῖον τὸν γ'. παίονα. ἐπὶ δὲ τὸν σπονδεῖον τὸν ἰωνικὸν ἀπ' ἐλάσσονος. ὁ δὲ ἴαμβος ἐπὶ μὲν τὸν πυῤῥίχιον τὸν β'. παίονα. ἐπὶ δὲ τὸν τροχαῖον τὸν ἀντίσπαστον. ἐφ' ἑαυτὸν δὲ τὸν διΐαμβον. ἐπὶ δὲ τὸν σπονδεῖον τὸν α'. ἐπίτριτον, ὁ δὲ τροχαῖος ἐπὶ μὲν τὸν πυῤῥίχιον τὸν α'. παίονα ποιεῖ ἐπὶ δὲ τὸν ἴαμβον τὸν χορίαμβον ἐφ' ἑαυτὸν δὲ τὸν διτρόχαιον. ἐπὶ δὲ τὸν σπονδεῖον τὸν β'. ἐπίτριτον ὁ δὲ σπονδεῖος ἐπὶ μὲν τὸν πυῤῥίχιον τὸν ἰωνικὸν ἀπὸ μείζονος. ἐπὶ δὲ τὸν ἴαμβον τὸν γ'. ἐπίτριτον. ἐπὶ δὲ τὸν τροχαῖον τὸν δ'. ἐπίτριτον ἐφ' ἑαυτὸν δὲ τὸν δισπόνδειον. ὅτι δὲ ἕκαστος τού-

τὰς συλλαβὰς ἢ καθ᾽ ἑαυτὰς συντίθεσθαι ἀλλή-
λαις ἢ τῆς μακρᾶς λυομένης εἰς δύο βραχείας.
τινὲς δὲ οὕτως ὡρίσαντο. πούς ἐστι τάξις συλλα-
βῶν ἄρσιν ἢ θέσιν περιέχουσα. οἱ δὲ οὕτως.
πούς ἐστι μετρικὴ συλλαβῶν σχέσις ἀπὸ δύο ἕως
τεσσάρων ἢ πέντε. ἐν αἷς γνωρίζομεν τὸ τοῦ με-
τρου εἶδός τε καὶ μέγεθος. ὕλη δὲ ποδῶν συλλα-
βαὶ ἐν ποσότητί τε καὶ ποιότητι διαφερόντως κι-
νουμένη. αἱ γὰρ δύο συλλαβαὶ βραχεῖά τε καὶ
μακρὰ ἀλλήλαις συμπλεκόμεναι τοὺς τετρασυλ-
λάβους ἀποτελοῦσι. πᾶν γὰρ διφυὲς ἑτέρῳ δι-
φυεῖ συμπλεκόμενον δ᾽. σχήματα ἀποτελεῖ.
ὡς ἐν τῷ περὶ ὀνομάτων εἴπομεν. καὶ ἡ ἀριθμη-
τικὴ δὲ δυὰς ἐπὶ τὴν δυάδα πολλαπλασια-
ζομένη τὸν δ᾽. ποιεῖ. εἰσὶν οὖν οἱ δισύλλαβοι
ἁπλοῖ πόδες δ᾽. ἐκ τῆς τῶν δύο συλλαβῶν
τῆς μακρᾶς τε καὶ βραχείας συμπλοκῆς ἀπο-
τελούμενοι. μετ᾽ αὐτοὺς δὲ εἰσὶν οἱ τρισύλλαβοι
ἁπλοῖ καὶ αὐτοὶ ὄντες. εἰς ὀκτὼ δὲ τοὺς πάντας ἀ-
παρτιζόμενοι. καὶ ἁπλοῖ μέν εἰσιν ὅτι οὐκ ἐκ συνθέσε-
ως τῶν δισυλλάβων γίνονται. ἀλλὰ συλλαβῶν προστιθε-
μένων αὐτοῖς ἐπεὶ οὖν δύο εἰσὶν αἱ συλλαβαὶ μα-
κρὰ καὶ βραχεῖα προστιθέμεναι τοῖς δ᾽. δισυλλάβοις
τοὺς ὀκτὼ τρισυλλάβους ποιοῦσι. δὶς γὰρ τὰ δ᾽. ὀκτώ.
ἐκκειμένων γὰρ τῶν δ᾽. συλλαβῶν τοῦ τε πυρριχίου,
τοῦ ἰάμβου. τοῦ τροχαίου καὶ τοῦ σπονδείου. ἑκάς

κατενόπλιον. περιοδικὸν. βουκολικόν. σαπφικόν. ὑπόρρυθμον. τέλειον. καὶ πολιτικόν. κατενόπλιον μὲν οὖν ἐστὶν τὸ ἔχον δύο δακτύλους καὶ ἕνα σπονδεῖον. οἷον ὣς φάτο δακρυχέων τοῦ δ' ἔκλυε πότνια μήτηρ. περιοδικὸν δέ ἐστι τὸ ἔχον ἕνα δάκτυλον καὶ ἕνα σπονδεῖον οἷον. οὐλομένην ἣ μυρί' ἀχαιοῖς ἄλγε' ἔθηκεν. βουκολικὸν δὲ τὸ μετὰ τρεῖς πόδας ἀπαρτίζον εἰς μέρος λόγου. οἷον ἐξ ἐπιδιφριάδος πύματ' ἱμᾶσι δ' ἔδεντο. σαπφικὸν ἐστὶ τὸ ἀρχόμενον ἀπὸ σπονδείου καὶ λῆγον εἰς σπονδεῖον. ἄλλοι μὲν ῥαθεοί τε καὶ ἀνέρες ἱπποκορυσταί. ὑπόρρυθμον δέ ἐστι τὸ καθ' ἕκαστον πόδα ἀπαρτίζον μέρος λόγου οἷον ὕβριος εἵνεκα τῆσδε. σὺ δ' ἴσχεο πείθεο δ' ἡμῖν. τέλειον δὲ ἐστὶ τὸ ἔχον πάντα τὰ μέρη τοῦ λόγου. οἷον πρὸς ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέαιρε. πολιτικὸν δέ ἐστι τὸ ἄδου πάθους ἢ τρόπου πεποιημένον. οἷον ἵππους τε ξανθὰς ἑκατὸν καὶ πεντήκοντα. ὅπερ ταυτόν ἐστι τῷ λογοειδεῖ.

Περὶ ποδῶν.

Πούς ἐστι ποιῶν καὶ ποσῶν συλλαβῶν σύνθεσις εἰς εὐπρεπὲς σχῆμα. ποιῶν μὲν ὅτι δεῖ τὰς μὲν μακρὰς εἶναι. τὰς δὲ βραχείας. ποσῶν δὲ ὅτι δεῖ δύο εἶναι. ἢ πλείους εἰς εὐπρεπὲς σχῆμα. ὡς ὅταν εἴπωμεν

ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν. καὶ ἐν τῷ. ἕως ἐγὼ περὶ κεῖνα. οὐδεμιᾷ γὰρ μηχανῇ οὔτε διὰ συνιζήσεως οὔτε διὰ κοινῆς συλλαβῆς δύναται θεραπευθῆναι. καὶ ἔστιν ὁμολογουμένως πάθη. τούτοις ὅμοιόν ἐστι καὶ τό. ἐπίπονος βέβληται βοός. ῥινοῖο τετυχώς. εἰσὶ δὲ καὶ εἴδη στίχων ἕξ. ἰσόχρονος. ἀπηρτισμένος, τραχύς. καὶ μαλακοειδής. κακόφωνος καὶ λογοειδής. ἰσόχρονος μὲν οὖν ἐστὶν ὁ τὰ μεγέθη τῶν συλλαβῶν καὶ τοὺς πόδας ἀπὸ τοῦ α. μέχρι τῶν ἐσχάτων τὰ αὐτὰ ἔχων. ἤγουν ἐξ ὅλων σπονδείων συγκείμενος. ὡς τό. τὼ δ' ἐν μέσσῃ νηὶ ξυμβλήτην ἀλλήλοιιν. ἀπηρτισμένος ὁ διαίρεσιν αὐτοτελῆ ἔχων ἐν αὐτῷ. οἷον. ὡς εἰπὼν πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ. τραχὺς δέ ἐστιν ὁ τὸν ῥυθμὸν τῶν φθόγγων ἐκ τραχυτέρων λέξεων συνιστῶν. οἷον τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός. μαλακοειδὴς δέ ἐστιν ὁ λεῖος ἐμπίπτων ταῖς ἀκοαῖς. οἷον αἵματί οἱ δεύοντο κόμαι χαρίτεσσιν ὁμοῖαι. κακόφωνος δέ ἐστιν ᾧ πολλὰ φωνήεντα πρόσεστιν. οἷον φησὶ αἴθρη λοιγῶν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ. λογοειδὴς δέ ἐστιν ὁ πεζότερος τῇ συνθέσει. οἷον ἵππους τε ξανθὰς ἑκατὸν καὶ πεντήκοντα.

Περὶ διαφορῶν τοῦ ἡρωϊκοῦ.

Διαφοραὶ δὲ τῶν ἡρωϊκῶν στίχων εἰσὶν ἑπτά.

ὥσπερ καὶ ἐπὶ τοῦ ζεφυρείη πνείουσα. φασὶ δέ τινες καὶ περὶ τούτων ὅτι ὁ ποιητὴς εὐφωνίας μᾶλλον ἢ μέτρου φροντίζων ἐστὶν ὅπου τῆς τοῦ μέτρου ἀκριβείας ὑπερορᾷ. καὶ τοῦτο δῆλον ἐκ τοῦ τρῶες δ' ἐρρίγησαν ἐπεὶ ἴδον αἰόλον ὄφιν ἠδύνατο γὰρ εἰπεῖν τρῶες δ' ἐρρίγησαν ὅπως ὄφιν αἰόλον εἶδον. ἢ ὅτι ἐνταῦθα ὁ ποιητὴς ἤθε-το τῆς τοῦ δασέος φ. ἐκφωνήσεως πλέον τι ἐ-χούσης διὰ τὴν σφοδρότητα τοῦ πνεύματος. ὡς καὶ ἡλιόδωρος δοκεῖ τῇ δασείᾳ πλέον τι νέμειν. τὸ αὐτὸ φασὶ καὶ ἐπὶ τοῦ ζεφυρίαν. ἀλλὰ κατὰ τοῦτον τὸν λόγον δόξειεν ἂν καὶ τούτῳ τὴν ζε. καὶ συλλαβὴν μακρὰν εἶναι διὰ τὴν τοῦ δασέος φ. ἐπαγωγήν. ὡς καὶ ἐν τῷ ὄφιν. ἀλλ' ἡ ρει. συλλαβὴ διὰ διφθόγγου γραφομένη οὐκ ἐᾷ τὸν λόγον τοῦτον ἄπταιστον προβῆναι. οὐ γὰρ δύνα-ται διὰ τῶν τριῶν τούτων συλλαβῶν δάκτυλος σώζεσ-θαι εἰ μή που τὴν ρει. συλλβὴν διὰ τοῦ ι. φύσει γράφεσθαι. ἤδη δέ τινες καὶ τοῦ βορέης τὴν βο. καὶ ρε. συλλαβὴν ἐπεχείρησαν διὰ συνιζήσεως εἰς μίαν μακρὰν συνάπτειν λέγον-τες ὡς μετὰ τὴν βο. συλλαβὴν τοῦ ρ. ἐπι-φερομένου ὥσπερ ὡς φωνῆεν καταλογίζεται διὰ τοῦτο γὰρ καὶ δασύνεται ἐν πάσῃ ἀρχῇ λέξεως οὐδὲν ἔσται ἐμπόδιον κοινὴν γενέσθαι συλλαβὴν ἀκέφαλος οὖν πάντη αἰθέρα πολυτός ἐστιν. ὡς ἐν τῷ

ρος. λαγαροὺς δὲ οὕστινες καὶ σφηκώδεις καλοῦσιν ὁ κατὰ τὸ μέσον ἐλλιπὴς χρόνῳ ἢ συλλαβῇ. ὡς ἐν τῷ βῆν δ' εἰς αἰόλου κατὰ δώματα. ἐλλείπει γὰρ κατὰ τὸ ο̅. χρόνος ἢ συλλαβή. δολιχόουρος δὲ ὁ κατὰ τὸ τέλος πλεονάζων συλλαβῇ. οἷον λευκὸν καὶ χαρίεν περὶ ζώνην βάλετ' ἰξυῖ. πλεονάζει γὰρ τῇ ι̅. συλλαβῇ. μειοῦρος δὲ ὁ κατὰ τὸ τέλος ἐλλείπων χρόνον ὡς ἐν τῷ. τρῶες δ' ἐρρίγησαν ἐπεὶ ἴδον αἰόλον ὄφιν. τούτων μὲν οὖν τῶν ἓξ τρόπων ὅσοι δύνανται ἢ διὰ κοινῆς συλλαβῆς ἢ διὰ συνιζήσεως θεραπεύεσθαι οὐ κυρίως ἂν κληθεῖεν πάθη. ζητήσειε δ' ἄν τις περί τε τοῦ. βορέης καὶ ζέφυρος τὼ τεθρήκηθεν ἄητον, καὶ τοῦ πλέονές κε μνηστῆρες ἐν ἡμετέροισι δόμοισι καὶ τῶν ὁμοίων πότερον ἀκεφάλους χρὴ λέγεσθαι ἢ μή. προκέφαλοι μὲν γὰρ οὐκ εἰσίν. οὔτε γὰρ χρόνῳ πλεονάζουσιν οἱ α̅. πόδες ἐπειδὴ τετράχρονοί εἰσι καὶ ἰσοδυναμοῦσι τοῖς δακτύλοις. φαμὲν οὖν κατὰ λόγον αὐτοὺς ἀκεφάλους καλεῖν εἰ καὶ μὴ ἐλλείπωσι χρόνῳ ἢ συλλαβῇ. κεφαλὴν γὰρ ἔπους καθόλου τὴν ἀρχοῦσαν μακρὰν χρὴ νομίζειν εἶναι. ἐὰν οὖν αὕτη τῆς οἰκείας χώρας ἐκπέσῃ καὶ ἀντ' αὐτῆς βραχεῖα τεθῇ ἀκέφαλον ἐξ ἀνάγκης τὸ ἔπος γίνεται. καὶ τούτων τῶν προειρημένων στίχων ὁ μὲν πλέονές κε μνηστῆρες δύναται διὰ συνιζήσεως θεραπευθῆναι τῆς πλε. καὶ ο̅. συλλαβῆς εἰς μίαν μακράν. ὁ δὲ ἄλλος ἀθεράπευτός ἐστιν.

μεταφορᾶς τοῦ περὶ τοὺς καθεζομένους συμβαίνοντος. ἐπειδὴ οὗτοι καθεσθέντες συστέλλουσι τὸ μέγεθος.

Περὶ ἐπῶν χωλῶν.

Γίνονται τὰ ἔπη χωλὰ ἢ κατὰ πλεονασμὸν ἢ κατ' ἔνδειαν. ἑκατέρου δὲ τούτων διαιρουμένου κατά τε τὴν ἀρχὴν, τὸ μέσον καὶ τὸ τέλος γίνονται τρόποι ἕξ. ἐν μὲν τῇ ἀρχῇ δύο ὁ προκέφαλος καὶ ἀκέφαλος. ἐν τῷ μέσῳ δὲ ὁ προκοίλιος καὶ ὁ λαγαρὸς. ἐν δὲ τῷ τέλει ὁ δολιχόουρος ὃν καὶ μακροσκελῆ φασὶν καὶ ὁ μείουρος οὓς καὶ πάθη τῶν στίχων φασί. προκέφαλος οὖν ἐστὶν ὅταν ἐν ἀρχῇ πλεονάσῃ συλλαβή. ὡς ἐν τῷ ἐπεὶ δὴ μέναι δμωῇσιν ὀδυσσῆος θείοιο. καὶ ἐν τῷ. ἢ οὐχ ἅλις ὅτι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις. πλεονάζει γὰρ ἐν τούτοις καὶ ἀμφοτέροις τὸ ν. ἀκέφαλος δὲ ὅταν ἐν τῇ ἀρχῇ ἐλλείπῃ χρόνῳ ὡς ἐν τῷ ἐπειδὴ νῆας καὶ ἑλλήσποντον ἵκοντο. καὶ ἐν τῷ ὃς ᾔδη τά τ' ἐόντα. λείπει γὰρ ἐν τούτοις τῷ α. ποδὶ χρόνος εἷς πρὸς τὴν τοῦ μέτρου σύστασιν. προκοίλιος δὲ ὅταν ἐν τῷ μέσῳ πλεονάσῃ ἢ συλλαβῇ ἢ χρόνῳ. συλλαβῇ μὲν ὡς ἐν τῷ. θώρακας ῥήξειν δηΐων ἀμφὶ στήθεσσιν. πλεονάζει γὰρ ἐν δηΐων ἡ ι. χρόνῳ δὲ ὡς ἐν τῷ. ἀτρεΐδαι τε καὶ ἄλλοι ἐϋκνήμιδες ἀχαιοί. πλεονάζει γὰρ ἐν τῷ καὶ. χρό-

βραχεῖαν ὡς ἐν τῷ. ἀλλὰ τεὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν. ἐν ταύτῃ γὰρ ἡ τέ, καὶ ὀν. συλλαβὴ εἰς μίαν βραχεῖαν συνιζάνονται. τινὲς δὲ μᾶλλον τὴν ὀν. καὶ οὐ. εἰς μίαν μακρὰν συλλαμβάνουσι. βραχείας δὲ καὶ μακρᾶς εἰς μίαν μακρὰν ὡς ἔχει τε ἡ ἄλλων χρῆσις καὶ ἐν τῷ. ἡμέων οἳ παρέασι. τῆς με. καὶ ων. εἰς μίαν μακρὰν συναιρουμένης. καὶ τῶν αὐτῶν εἰς μίαν βραχεῖαν ὡς ἐν τῷ. δενδρέῳ ἐφεζόμενοι. τῆς ε. καὶ ω. εἰς μίαν βραχεῖαν. μακρᾶς δὲ καὶ βραχείας εἰς μίαν μακρὰν ὡς ἐν τῷ. δαέρων γαλόων. τῆς δα. καὶ ε. εἰς μίαν μακρὰν. ὅτι δὲ τὸ δα. μακρόν ἐστι δῆλόν ἐστι ἐκ τοῦ δαὴρ αὖτ' ἐμὸς αὐτοκασίγνητον καὶ δαέρα. ἢ τῶν αὐτῶν εἰς μίαν βραχεῖαν ὡς ἐν τῷ δενδρέῳ ἐφεζόμενοι. δύναται γὰρ καὶ οὕτω γενέσθαι συνίζησις τοῦ ω. καὶ ε. εἰς μίαν βραχεῖαν. ἐν τούτῳ δέ τινες τὸ ω. κοινὴν συλλαβὴν ποιοῦσι πρότερον ἵνα δύο βραχείας εἰς μίαν μακρὰν συναιρήσωσι. διαφέρει δὲ συναλοιφὴ συνεκφωνήσεως ἤγουν συνιζήσεως ἣ μὲν γὰρ ὡς γράφεται οὕτω καὶ ἐκφωνεῖται. ἡ δὲ συνίζησις οὐχ ὡς γράφεται ἐκφωνεῖται. ἀλλ' ἐν τῷ βαίνειν τὰς δύο συλλαβὰς ὁμοῦ ὑπὸ τῆς τοῦ μέτρου θεραπείας συνεκφωνεῖται διὸ καὶ συνίζησις λέγεται. συνιζάνειν γὰρ λέγεται τὸ ἔκ τινος μείζονος εἰς ἔλαττον συμπίπτειν. εἴρηται δ' ἐκ

ξξ. ἐν μὲν τῇ α. χώρᾳ τροχαίου ἐν δὲ τῇ β. ἰάμβου ἐν δὲ τῇ γ'. πυῤῥιχίου. ἐν δὲ τῇ δ. σπονδείου ἐν δὲ τῇ ε. πάλιν πυῤῥιχίου. ἐν δὲ τῇ ϛ'. τροχαῖον ἢ σπονδεῖον διὰ τὴν ἀδιάφορον.

Περὶ συνιζήσεως

Συνίζησίς ἐστι σύλληψις δύο συλλαβῶν εἰς μίαν ἐν τῷ βαίνειν. ἢ δύο μακρῶν εἰς μίαν μακρὰν ἢ δύο βραχειῶν εἰς μίαν μακρὰν ἢ δύο βραχειῶν εἰς μίαν βραχεῖαν. ἢ βραχέας καὶ μακρᾶς εἰς μίαν βραχεῖαν. ἢ τῶν αὐτῶν εἰς μίαν μακράν. ἢ μακρᾶς καὶ βραχείας εἰς μίαν βραχεῖαν ἢ τῶν αὐτῶν εἰς μίαν μακράν. δύο μὲν μακρῶν εἰς μίαν μακρὰν ὡς ἐν τῷ. ἢ οὐχ ἅλις ὅτι γυναῖκας ἀλάλκιδας ὑπεροπτεύεις. ἐν ταῦτα γὰρ καὶ τὸ ἢ. καὶ τὸ οὐ. ἀμφότερα μακρὰ ὄντα εἰς μίαν συλλαβὴν μακρὰν καταλογίζονται. δύο δὲ βραχειῶν εἰς μίαν μακρὰν ὡς ἐν τῷ. κάστορά θ' ἱππόδαμον καὶ πύξ ἀγαθὸν πολυδεύκεα. τῆς κε. καὶ α. συλλαβῆς καὶ ἀμφοτέρων βραχειῶν οὐσῶν εἰς μίαν μακρὰν συναιρουμένων. τοῦτο δέ τινες οὔφασιν εἶναι συνίζησιν ἀλλὰ διάλυσιν τῆς τελευταίας τοῦ σπονδείου μακρᾶς. ἢ τῶν αὐτῶν εἰς μίαν

τεροι διαιροῦσι αὐτὸ εἰς τε κῶλα ἓξ καὶ εἰς δύο καὶ τὰ μὲν ἓξ κῶλα φασὶν οἴκους· τὰ δὲ δύο κουκούλιον. καὶ ἐπιδέχονται οἱ μὲν οἶκοι ἀνάπαιστον καὶ δύο ἰάμβους. καὶ περιττὴν συλλαβήν. οἷον. ἀπὸ τοῦ λίθου τὸ ῥεῖθρον. καὶ ἀπὸ τῆς φίλης ἐρήμου. τὸ δὲ τούτων κουκούλιον σύγκειται ἔκ τε τοῦ ἐλάσσονος τῶν δυσυλλάβων ποδῶν τουτέστι τοῦ πυρριχίου καὶ ἐκ τοῦ μείζονος ἤτοι τοῦ σπονδείου. καὶ ἔχει ἐν μὲν ταῖς περιτταῖς χώραις τὸν ἐλάσσονα. ἐν δὲ ταῖς ἀρτίοις τὸν μείζονα οἷον ἀρετῆς δὲ στεφάνου αὖθις δρέψας. ἁγίων προφῆται δάμου κόσμου αἰῶν, καὶ ζακκαρίου μεγάλου πάγκλυτε κοῦρε. τινὲς δὲ συντάττουσιν αὐτοῖς καὶ ἕτερον ἐξ ἑνὸς τῶν τε τρισυλλάβων ποδῶν τὴν συστροφὴν ἔχοντα. ἤγουν. ἐξ ἰωνικοῦ ἀπ᾽ ἐλάσσονος τρίμετρον ἀκατάληκτον ὃν καὶ ἀνακλώμενον φασί. ἐπιδεχόμενον δὲ τομὴν ἑφθημιμερῆ· τουτέστι μετὰ τὰς τρεῖς τοῦ β. ποδὸς περαινομένην τὴν τομὴν ὡς μέρος λόγου. οἷον ἀρετ᾽ ἔργα φέρε ἔμπονος ἦθη. ἔστι δ᾽ ὅτε καὶ ἀπὸ χοριάμβου ἄρχεται ὁ τοιοῦτος στίχος εἶτα ἔχει τὸν ἰωνικὸν ἀπ᾽ ἐλάσσονος διὰ τὸ ἀδιάφορον τῆς τελευταίας. καθὰ τῷ ἁγίῳ σωφρονίῳ καὶ ἄλλοις ἀρχαιοτέροις δοκεῖ. οἷον χριστιανῶν μακάρων ἔλθε τε παῖδες, καὶ οὕτω μὲν ἐκ τριῶν τετρασυλλάβων. εἰ δὲ βούλει ἐκ δισυλλάβων

μήν. πενθημιμερὲς δέ ἐστι τὸ ἐκ δύο ποδῶν καὶ συλλαβῆς. ἐπιδέχεται οὖν κατὰ τὴν α. καὶ β'. χώραν δάκτυλον καὶ σπονδεῖον ἀδιαφόρως ἢ καὶ παλιμβάκχειον, ἢ ἀμφίμακρον θεραπεύομένους ὡς εἴρηται. εἶτα συλλαβὴν μακρὰν ἀπαρτιζομένην εἰς μόριος λόγου. καὶ μετὰ ταύτην πάλιν ἕτερον πενθημιμερὲς ἐκ δύο δακτύλων καὶ συλλαβῆς ἀδιαφόρου. οἷον. κνίδες οἱ μούσης οὐκ ἐγένοντο φίλοι. τούτου γὰρ ἡ τομὴ ἐστὶν ἐν τῷ μούσης. ἀλλὰ τὸ μὲν πρῶτον πενθημιμερές ἐστιν ἐκ δακτύλου καὶ σπονδείου. καὶ συλλαβῆς μακρᾶς ὅπερ ἐστὶν ὅτε καὶ ἀμφοτέρους τοὺς πόδας ἐπιδέχεται δακτύλους ἢ σπονδείοις. ἢ καὶ τὸν α. σπονδεῖον καὶ τὸν β'. δάκτυλον. τὸ δὲ β'. πενθημιμερὲς πάντως ἔχει δύο δακτύλους καὶ συλλαβὴν ἀδιάφορον.

Περὶ ἀνακρεοντείου.

Τὸ μὲν ἀνακρεόντειον οἱ ἀρχαῖοι τὸ δίμετρον ἰαμβικὸν φασὶ τὸ καὶ ἀκατάληκτον ὅπερ καὶ τὸ ὀκτασύλλαβόν ἐστι. ἐπιδεχόμενον κατὰ μὲν τὴν α. καὶ γ'. χώραν ἴαμβον καὶ σπονδεῖον ὡς ἔθος. κατὰ δὲ τὴν β'. ἴαμβον μόνον. κατὰ δὲ τὴν δ'. ἴαμβον ἢ πυρρίχιον διὰ τὸ ἀδιάφορον τῆς τελευταίας συλλαβῆς. οἱ δὲ νεώ

ἑξῆς ἔχουσαν ἀπὸ φωνήεντος ἀρχομένης. ἡ δὲ ἕκ-
τη χώρα σπονδεῖον δέχεται καὶ τροχαῖον. ἐπεὶ
παντὸς γὰρ μέτρου ἀδιάφορος ἐστὶν ἡ τελευ-
ταία συλλαβή. ἡρωϊκὸν δὲ καλεῖται τὸ μέτρον,
ἐπειδὴ ὅμηρος ὁ ποιητὴς τὰς τῶν ἡρώων πρά-
ξεις διεξιὼν τούτῳ κέχρηται τῷ μέτρῳ. χρὴ δὲ
γινώσκειν ὅτι ὁ μὲν παλιμβάκχειος εἰς τὴν β'.
συλλαβὴν θεραπεύεται. τουτέστιν ἵνα ἡ αὕτη ἡ β'.
συλλαβὴ τοῦ παλιμβακχείου εἰς μέρος λόγου. καὶ
ἡ ἑξῆς ἄρχηται ἀπὸ φωνήεντος. οἷον πλάγχθη ἐ-
πεὶ τροίης ἱερὸν πτολίεθρον. ἔπερσε. ὁ δὲ ἀμφί-
μακρος κατὰ τὴν γ'. λήγουσαν. καὶ ταύτην
ὁμοίως εἰς μέρος λόγου καὶ τὴν ἑξῆς ἔχουσαν
ἀπὸ φωνήεντος ἀρχομένην. οἷον οὔτοι μοι αἰτίη
ἐσσὶ θεοί νύ μοι αἴτιοί εἰσίν. ἔπη δὲ λέγονται κυ-
ρίως οἱ τοῦ ἡρωϊκοῦ τούτου μέτρου καὶ ἑξαμέ-
τρου στίχοι. Τὸ δὲ ἐλεγεῖον μέτρον τινὲς μὲν
πεντάμετρον αὐτὸ φασὶν εἶναι συντιθέντες τὰς
μὲν δύο χώρας αὐτοῦ τὴν α'. καὶ β'. ἀπὸ
δακτύλου καὶ σπονδείου ἀδιαφόρως ἢ ἀμφιμά-
κρου ἢ παλιμβακχείου. καθαρῶν μέντοι καὶ
ἐν τάξει δακτύλων κειμένων ὡς καὶ ἐν τῷ ἡ-
ρωϊκῷ εἴρηται. τὴν δὲ γ'. ἐκ σπονδείου. τὴν
δὲ τετάρτην ἐξ ἀναπαίστου ἢ χορείου διὰ τὸ ἀ-
διάφορον τῆς τελευταίας συλλαβῆς. βέλτιον δὲ
οὕτω μετρεῖν ἐπεὶ καὶ εἰς δύο διαιρεῖται πενθη-
μιμερῆ μέρος λόγου ἀπαρτιζομένου κατὰ τὴν το-

νυσος ὃν τίκτε τᾶ παθ' ἡ Κάδμου κόρη. κωμικοῦ δὲ ἴδιον τὸ καὶ ἐκ τρισυλλάβων ὡς ἐπὶ τὸ πλεῖστον συγκεῖσθαι οἷον καὶ φρένα μὲν οὐκ ἐθέλουσαν ὀμόσαι καθ' ἱερῶν. ἴδιον δὲ σατυρικοῦ τὸ μέσον εἶναι τραγικοῦ καὶ κωμικοῦ ἤγουν δέχεσθαι καὶ τοὺς τρισυλλάβους μὴ κατακόρως οἷον ἦδ' ἄγκος ὑψίκρημνον ὄρεσι περίδρομον. ἴδιον δὲ ἰαμβικοῦ τὸ δισυλλάβους μόνους ἐπιδέχεσθαι πόδας καὶ μάλιστα ἴαμβον. οἷον πάτερ Λυκάμβα ποῖον ἐφράσω τόδε.

Περὶ τοῦ ἡρωϊκοῦ.

Τὸ ἡρωϊκὸν μέτρον ἑξάμετρόν ἐστι ἓξ γὰρ χώρας ἐπιδέχεται. καὶ κατὰ μονοποδίαν μετρεῖται κατὰ μὲν οὖν τὰς ε. χώρας δάκτυλον καὶ σπονδεῖον ἀδιάφορον ἐνίοτε καὶ παλιμβάκχειον καὶ ἀμφίμακρον. καθαροὺς μέντοι καὶ ἐν τάξει δακτύλοις κειμένους. καθαροὶ δέ εἰσιν ὅταν ἀπαρτίζωσιν εἰς μόριος λόγου. καὶ τὴν ἐπιφερομένην λέξιν ἔχωσιν ἀπὸ φωνήεντος ἀρχομένην. καὶ παλιμβάκχειον μὲν ὡς ἐν τῷ πλάγχθη ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσε. ἀπήρτισται γὰρ εἰς μόριος λόγου τὸ πλάγχθη. καὶ ἡ ἑξῆς ἄρχεται ἀπὸ φωνήεντος τοῦ ε. ἀμφίμακρον δὲ ὡς ἐν τῷ. οὔ τοί μοι αἰτίη ἐσσὶ θεοί νύ μοι αἴτιοι. εἰσὶν, καὶ εἰσὶν ἐν τούτῳ τρεῖς ἀμφίμακροι ἔν τε τῇ μοι. συλλαβῇ δύο καὶ ἐν τῇ αἰτίῃ. ἀπηρτισμένου γὰρ εἰσὶν εἰς μόριος λόγου

καὶ τὰς

α΄. βάσει ἴαμβον καὶ σπονδεῖον ὁμοίως καὶ ἐν τῇ
τρίτῃ καὶ ἐν τῇ πέμπτῃ. ἐν δὲ τῇ β΄. καὶ δ΄. ἴαμ-
βον μόνον. ἐν δὲ τῇ ἕκτῃ ἴαμβον ἢ πυῤῥίχιον. ἐκ-
λήθη δὲ ἴαμβος. ἀφ' οὗ τὸ μέτρον παρονομάζεται
ἰαμβικόν, ἐπεί περ οἱ ὑβρίζειν καὶ λοιδορεῖν τινὰς
βουλόμενοι τούτῳ ἐχρῶντο τῷ μέτρῳ. ἰαμβίζειν
γὰρ ἔλεγον οἱ παλαιοὶ τὸ ὑβρίζειν. ὅπερ ἐστὶ καὶ πι-
κρίας ἀνάμεστα ῥήματα λέγειν. ἢ ἀπὸ ἰάμβου οὕτω
καλουμένης κόρης. ἥτις αἰσχρῶς ὑβρισθεῖσα ἀγχόνῃ
κατέλυσε τὸν βίον ὅπερ καὶ αἱ Λυκαμβίδες ἐπὶ τοῖς
Ἀρχιλόχου ποιήμασι. καὶ διὰ τοῦτο φασὶ συντιθέναι
τὸν ἴαμβον ἐκ βραχείας καὶ μακρᾶς διὰ τὸ τὴν
ὕβριν ἐκ βραχείας ἀρχομένην αἰτίας εἰς μέγα λή-
γειν κακόν. μαρτυρεῖ δὲ τῷ λεγομένῳ Ὅμηρος ὁ σο-
φώτατος. ἥτ' ὀλίγη μὲν λέγων πρῶτα κορύσσεται.
αὐτὰρ ἔπειτα οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ
βαίνει. πόδες οὖν τοῦ ἰαμβικοῦ ἕξ. ἴαμβος χορεῖος
σπονδεῖος δάκτυλος ἀνάπαιστος πυῤῥίχιος. με-
τρεῖται δὲ τὸ ἰαμβικὸν κατὰ διποδίαν ὅθεν καὶ τρί-
μετρον λέγεται. εἰ πῶς καὶ ἑξάμετρον ἔφημεν αὐτὸ
ἐν τῇ ἀρχῇ ἀλλ' ἁπλῶς εἰρημένον ἀντὶ τοῦ ἑξάποδον. τοῦ
δὲ ἰαμβικοῦ μέτρου χαρακτῆρές εἰσι δ΄. τρα-
γικὸς. κωμικὸς. σατυρικὸς. καὶ οὗτος ἰδί-
ως λεγόμενος ἰαμβικός. καὶ ἔστι τραγικοῦ μὲν ἴδι-
ον τὸ ἐπὶ πλεῖον μὲν ἐκ σπονδείων καὶ ἰάμβων συγ-
κεῖσθαι, σπανίως δὲ καὶ ἕνα τρισύλλαβον ἐπιδέχε-
σθαι. οἷον ἥκω Διὸς παῖς τήνδε θηβαίαν χθόνα. διό-

βαρίδυασι καὶ τὰ μακρὰ τῶν φωνηέντων πρὸς τὴν ἑξῆς συλλαβήν. ἤτοι ὅταν φωνῆεν ἐπιφέρηται τῷ διφθόγγῳ ἢ τῷ μακρῷ φωνήεντι ἢ τῷ ρ. ἐπειδὴ καὶ τοῦτο ὡς φωνῆεν τοῖς παλαιοῖς λαμβάνεται. καὶ διὰ τοῦτο καὶ δασύνεται ὅταν ταῦτα ἔμπροσθεν εὕρηται διφθόγγου ἢ μακροῦ φωνήεντος ἀντὶ κοινῆς συλλαβῆς ἡ δίφθογγος καὶ τὸ μακρὸν εὕρηται φωνῆεν. Ἀωρόλειοι. οἱ ἔξω ἤδη ὥρας λειούμενοι. τουτέστιν ἐν γήρᾳ καλλωπιζόμενοι

περὶ τῶν αὐτῶν.

Τὸ ἰαμβικὸν μέτρον ἐστὶ μὲν ἑξάμετρον. διαιρεῖται δὲ εἰς δύο. τὸ μὲν γὰρ αὐτοῦ καλεῖται τραγικόν τε καὶ κωμικὸν ᾧ καὶ τῶν παλαιῶν οἱ πολλοὶ ἐχρήσαντο. δέχεται δὲ τοῦτο ἐν μὲν τῇ α. καὶ γ. καὶ ε. βάσει πόδας ε. δάκτυλον σπονδεῖον χορεῖον ἀνάπαιστον. καὶ τὸν ὁμώνυμον ἴαμβον. ἐν δὲ τῇ β. καὶ τετάρτῃ τοὺς ἀπὸ βραχείας ἀρχομένους τουτέστιν ἀνάπαιστον χορεῖον καὶ ἴαμβον ἐν δὲ τῇ ἕκτῃ ἴαμβον ἢ πυρρίχιον. δεῖ γὰρ αὐτὴν πάντως δισύλλαβον. καὶ τὴν μὲν πρὸ τέλους βραχεῖαν. τὴν δὲ ἀπὸ τέλους ἀδιάφορον. τὸ δὲ ἕτερον τοῦ ἰαμβικοῦ μέρος καλεῖται καθαρόν τε καὶ τρίμετρον. τούτῳ δὲ ὀλίγοι τῶν ἀρχαίων ἐχρήσαντο. δέχεται δὲ ἐν μὲν τῇ

δῶν δύο καὶ συλλαβῆς ἐστὶ μιᾶς. πενθημιμερὲς δὲ καλεῖται ὅτι τὰ δύο ἥμισυ ἀναλυόμενα πέντε μέρη ποιοῦσιν. Ὡσαύτως καὶ τὸ δακτυλικὸν τετράμετρον τὸ καὶ ἑφθημιμερὲς καταληκτικὸν εἰς συλλαβὴν ποδῶν ὑπάρχον τριῶν ἥμισυ φανερὸν ὅτι ἑπτὰ μόρια ἥμισυ ἔχει. Ὑπερκατάληκτον μὲν εἰς δισύλλαβον ὅταν μετὰ συζυγίαν δύο συλλαβαὶ καταλήξωσιν εἰς συλλαβὴν δὲ ὅταν μετὰ τὴν συζυγίαν συλλαβὴ μία καταλήξῃ. Ἀκατάληκτον δὲ ὅταν ἡ συζυγία ἀπαρτισθῇ εἰς τὴν κατάληξιν. Καταληκτικὸν εἰς δισύλλαβον ὅταν μετὰ ἕνα πόδα συλλαβαὶ δύο καταλήξωσιν ὥστε παρὰ συλαβὴν πεπληρῶσθαι τὴν συζυγίαν. Καταληκτικὸν δὲ εἰς συλλαβὴν ὅταν μετὰ ἕνα πόδα εἰς συλλαβὴν λήξῃ λειπουσῶν δηλαδὴ δύο συλλαβῶν. Βραχυκατάληκτον δὲ ὅταν εἰς ἕνα πόδα ὁλόκληρος κατάληξις γένηται. ὁ ἐπίχαρμος τὸ οἰκεῖον δρᾶμα οὕτως ἐκάλεσε λόγον καὶ λογίαν. Ἐπὶ τῶν χρόνων πτολεμαίου τοῦ φιλαδέλφου ἑπτὰ ἄριστοι γεγόνασι τραγικοὶ οὓς πλειάδας ἐκάλεσαν διὰ τὸ λαμπροὺς εἶναι ἐν τῇ τραγικῇ. ὥσπερ ἄστρα τὰ ἐν τῇ πλειάδι. εἰσὶ δὲ οὗτοι ὅμηρος οὐχ ὁ ποιητὴς ἀλλ' υἱὸς ὁμηροῦς τῆς βυζαντίας ποιητρίδος. καὶ σωσίθεος καὶ λυκόφρων καὶ Ἀλέξανδρος καὶ αἰαντιάδης. καὶ σωσιφάνης καὶ φιλίσκος. Ἰστέον ὅτι ὅταν αἱ δίφθογγοι κα-

χρόνος οἱ μετρικοὶ ἤγουν οἱ γραμματικοὶ καὶ ἄλ-
λως οἱ ῥυθμικοί. οἱ γραμματικοὶ ἐκεῖνον μακρὸν
χρόνον ἐπίστανται τὸν ἔχοντα δύο χρόνους. καὶ κα-
ταγίνονται εἰς μεῖζόν τι. οἱ δὲ ῥυθμικοὶ λέγουσι τὸ
δεῖν εἶναι μακρότερον τοῦ δὲ φάσκοντες τὴν μὲν τῶν
συλλαβῶν εἶναι δύο ἡμίσεως χρόνον. τὴν δὲ τριῶν
τὴν δὲ πλειόνων οἷον τὴν ὡς. οἱ γραμματικοὶ λέγου-
σιν εἶναι δύο χρόνων. οἱ δὲ ῥυθμικοὶ δύο ἡμίσεως.
δύο μὲν τοῦ ω. μακροῦ ἡμίσεως δὲ χρόνου τοῦ σ. πᾶν
γὰρ σύμφωνον λέγεται ἔχειν ἥμισυν χρόνον. Ἰστέον
ὅτι παρὰ τοῖς μετρικοῖς ἡ ὀξυτονομένη συλλαβὴ
μείζων ἐστὶ τῆς βαρυνομένης οἷον ἧλος. συλλαβὴ
ἡ ἐν τῷ καλὸς μείζων ἐστὶ τῆς ἐν τῷ φίλος. γίνεται γὰρ
βραδύτης τις τοῦ χρόνου ὡς καὶ ἐν τῇ δασείᾳ λέ-
γεται διὰ τῆς ὀξείας, ἡ δὲ περισπωμένη ἐστὶ ἴσον δύο
τῆς μὲν μακρᾶς βραχυτέρα τῆς δὲ βραχείας μα-
κροτέρα πάλιν ὀξυτονουμένη συλλαβὴ ἐπιφερο-
μένου ἐγκλιτικοῦ καὶ προαναπέμποντος ἐν αὐτῇ τὸν
συλλαβῆς τὸν τόνον μείζων ἐστὶ τῆς ἁπλῶς ὀξυτονου-
μένης καὶ μὴ ἐπιφερομένου ἐγκλιτικοῦ οἷον ζεύς τε
καί τε χαλιφρονέοντα. Ὑγρὰ στοιχεῖα λέγε-
ται τὰ ἀμετάβολα. Ἡ αὐτὴ ἐστὶ συνεκφώνησις
καὶ συνίζησις. Κατάληξις καὶ ἀπόθεσις ταυ-
τόν ἐστι. Κατακλεῖδα φησὶ τὸν πρὸ τῆς κατα-
ληκτικῆς συλλαβῆς πόδα. μετὰ καὶ αὐτῆς τῆς συλ-
βῆς. Δακτυλικὸν τρίμετρον καταληκτικὸν
εἰς συλλαβὴν τὸ καλούμενον πενθημιμερὲς πο-

ἴαμβον καὶ δάκτυλον. ἔχει δὲ καὶ ἀποθέσεις ἑξ.
βραχυκατάληκτον, καταληκτικὸν εἰς συλλαβὴν,
καταληκτικὸν εἰς δισύλλαβον, ἀκατάληκτον, ὑπερ
κατάληκτον εἰς συλλαβὴν, ὑπερκατάληκτον εἰς
δισύλλαβον. δίμετρον μὲν καταληκτικὸν εἰς συλ
λαβὴν ὃ καὶ παροιμιακὸν καλεῖται τὸ ποτὲ δ' ἄρτε
μις οὐκ ἐχόρευσε καὶ κόρακος ἐν λαχαίνουσι πύτρῳ
δὲ καὶ κρατῖνος καὶ ἀρχίλοχος ἐχρήσαντο. τρίμετρον
δὲ καταληκτικὸν εἰς συλλαβὴν, τὸ καλούμενον σιμ
μίειον τὸ ἱστία ἀγνὰ τῶν ξείνων μεσατοίχων. τετρά
μετρον δὲ καταληκτικὸν τὸ καλούμενον ἀριστοφά
νειον. ᾧ καὶ ἀριστόξενος καὶ ἐπίχαρμος καὶ κρατῖνος
ἐχρήσαντο, τὸ. ὅτ' ἐγὼ τὰ δίκαια λέγων ἤνθουν καὶ σω
φροσύνη νενόμιστο. ἀναπαιστικὸν δὲ τετράμετρον
τὸ διὰ προκελευσματικῆς ἐκλύσεως τῶν ἀναπαί
στων γινόμενον ἐστὶ τὸ ἀριστοφάνους τὸ τίς ὄρεα βα
θύκομα τάδ' ἐπέσσυτο βροτῶν. ἐστὶ δὲ καὶ λογαοι
δικὸν ἀναπαιστικὸν ὅπερ ἐν μὲν ταῖς ἄλλαις χώ
ραις τοὺς αὐτοὺς ἐπιδέχεται πόδας τῷ ἀναπαιστι
κῷ καθαρῷ. ἐν δὲ τῷ τέλει ἴαμβον καὶ συλλαβὴν
ἀδιάφορον. τουτέστιν ἢ βακχεῖον ἢ ἀμφίβραχυν.
ἐστὶ δὲ ἐπισημότατον αὐτοῦ τὸ καλούμενον ἀρχε
βούλειον ᾧ καὶ καλλίμαχος ἐχρήσατο. ἔχον τὴν α.
πόδα ἀνάπαιστον ἢ σπονδεῖον ἴαμβον. τοὺς δὲ ἐφεξῆς
πάντας ἀναπαίστους. οἷον ἀγέτω θεὸς οὐ γὰρ ἐγὼ δίχα
τῶν ἀείδειν. νύμφα σὺ μὲν ἀστερίαν ὑπὰ μάζαν ἢ δὴ
φιλωτέρα. ἄρτι γὰρ ἡ σικελὰ μὲν ἔννα. ἐν τοῖς διὰ
μέσου μέντοι ἀναπαίστοις ὁ ἀλκμαὶ καὶ σπονδείους
παραλαμβάνει. ἰστέον δὲ ὅτι ἄλλως λαμβάνουσι τὸ

ἔχει. καὶ ταῦτα καταληκτικὰ τὰ εἰς συλλαβὴν καὶ εἰς δισύλλαβον καὶ ἀκατάληκτα. τῶν μὲν οὖν ἄλλων παραδείγματα οὐκ ἔχομεν. τετραμέτρων δὲ καταληκτικῶν εἰς δισύλλαβον τὸ θυρωρῷ πόδες ἑπταρόγυιοι. τὰ δὲ σάμβαλα πεντεβόεια. πίσσυγοι δὲ δέκ' ἐξεπόνασαν. ἀκαταλήκτων δέ. ἔρως δ' αὖτέ μ' ὁ λυσιμελὴς δονεῖ, γλυκύπικρον ἀμάχανον ὄρπετον. μὲν ἀπήχθετο. φροντὶς δ' ἦν ἐπὶ δ' ἀνδρομέδαν ποτί. πεντεμέτρων δὲ καταληκτικῶν εἰς δισύλλαβον. τίῳ σ' ὦ φίλε γαμβρὲ καλῶς εἰκάσδω. ὄρπακι βραδινῷ σε μάλιστ' εἰκάσδω. ἀκαταλήκτου δὲ τοῦ καὶ σαπφικοῦ καλουμένου ὃ καὶ τεσσαρεσκαιδεκασύλλαβόν ἐστι. ἠράμαν μὲν ἐγὼ σέθεν ἄτε πάλαι ποτά. ἑξαμέτρου δὲ καταληκτικοῦ εἰς δισύλλαβον τὸ κίκλομαι τινὰ τὸν χαρίεντα μένωνα καλέσαι.

Περὶ τοῦ λογαοιδικοῦ.

Λογαοιδικὸν δὲ καὶ αὐτὸ ἐν μὲν ταῖς ἄλλαις χώραις ὁμοίως δακτυλικῷ ἔχει. τελευταίαν δὲ τροχαϊκὴν συζυγίαν. καὶ τοῦ μὲν πρὸς δυσὶ δακτύλοις τροχαϊκὴν ἔχοντος συζυγίαν καλουμένου δὲ ἀλκαϊκοῦ παράδειγμα, τό. καί τις ἐπ' ἐσχατιαῖσιν οἰκοῖς. τοῦ δὲ πρὸς τρισὶ καλουμένου πραξιλλείου δέ. ὦ διὰ τῆς θυρίδος καλῶς βλέποισα παρθένε τὰν κεφαλὰν τὰ δ' ἔνερθεν νύμφα. ἡ δὲ τροχαϊκὴ συζυγία ἐνταῦθα ἢ δίτροχαιός ἐστιν. ἢ ἐπίτριτος β'.

Περὶ ἀναπαιστικοῦ.

Τὸ δὲ ἀναπαιστικὸν κατὰ διποδίαν μὲν βαίνεται. κατὰ πᾶσαν δὲ χώραν δέχεται ἀδιαφόρως σπονδεῖον καὶ ἀνάπαιστον. σπανίως δὲ καὶ προκελευσματικόν. παρὰ δὲ τοῖς δραματοποιοῖς καὶ

πεντάμετρον δὲ καταληκτικὸν μὲν εἰς συλλαβήν· ὡς ἔφατ' οὐδ' ἀπείθησεν ἄναξ ἀνδρῶν. καταληκτικὸν δὲ εἰς δισύλλαβον τὸ καλούμενον σιμμίειον· χαῖρε ἄναξ ἑταῖρε ζαθέας μάκαρ ἥβας. ἀκαταλήκτου δέ. εὗδον παννύχιοι δι' ἃ δ' οὐκ ἔχε νήδυμος. ἑξάμετρον δὲ ἀκαταληκτικὸν μὲν εἰς συλλαβὴν ἐκ τῶν ὁμηρικῶν οὐκ ἔχομεν. εἴπερ δ' ἔτι ἐντύχοι ἔστι τὸ μιᾷ συλλαβῇ πολυπλεῖον τοῦ πενταμέτρου ἀκαταλήκτου. καταληκτικὸν δὲ εἰς δισύλλαβον πάντα τὰ ὁμηρικὰ ἔπη. ἀκατάληκτον δὲ σπάνιον ἐξ αὐτῶν. ὡς τὸ κύκλωψ τῆ· πίε οἶνον ἐπεὶ φάγες ἀνδρόμεα κρέα.

Περὶ δακτυλικοῦ αἰολικοῦ.

Τὸ δακτυλικὸν αἰολικὸν κατὰ μὲν τὰς ἄλλας χώρας πάσας ὡσαύτως ἔχεται ὥσπερ τῷ κοινῷ τούς τε δακτύλους καὶ σπονδείους ὁμοίως καὶ κατὰ τὰς προθέσεις. τὸν δὲ πρῶτον πόδα ἔχει ἕνα τῶν δισυλλάβων ἀδιάφορον. ὅτι μὲν οὖν ἐστιν ἀκατάληκτον δάκτυλον ἢ ἀμφίμακρον ἔχει τὸν τελευταῖον πόδα. ἐὰν δὲ καταληκτικὸν εἰς δισύλλαβον μὲν σπονδεῖον ἢ τροχαῖον ἔχει τὸν τελευταῖον. εἰς συλλαβὴν δὲ ἀδιάφορον. ὑφίσταται δὲ καὶ ἐν τούτῳ κατὰ ἀφαιρέσεις δίμετρά τι καὶ τρίμετρα καὶ ἔτι τετράμετρα καὶ πεντάμετρα. μονόμετρα γὰρ οὐκ

χόρειον. τῶν πολιτῶν τοὺς ἀνδρας ὑμῶν δημιουργοὺς ἀποφαίνω.

Περὶ δακτυλικοῦ.

Τὸ δακτυλικὸν βαίνεται μὲν κατὰ μονοποδίαν αὔξεται δὲ μέχρι ποδῶν ἕξ. ἔχει δὲ διαφορὰς τρεῖς τὸ μὲν γὰρ αὐτοῦ ἐστὶ κοινόν. τὸ δὲ αἰολικόν. τὸ δὲ λογαοιδικόν. τὸ μὲν οὖν κοινὸν κατὰ πᾶσαν χώραν δέχεται ἀδιαφόρως δάκτυλον καὶ σπονδεῖον. ὑφίσταται δὲ κατὰ ἀφαίρεσιν δίμετρά τε καὶ τρίμετρα. μονόμετρα δὲ οὐκ ἔχει τῷ μὴ βαίνεσθαι κατὰ διποδίαν. συνέμπτωσιν γὰρ ἂν ἐποίει τῶν τοιούτων μέτρων πρός τε τὰ τροχαϊκὰ καὶ ἰαμβικά. ἔχει δὲ ἀποθέσεις τρεῖς. καταληκτικὸν εἰς συλλαβὴν, εἰς δισύλλαβον καὶ ἀκατάληκτον. καὶ δίμετρον μὲν ἀκατάληκτον, τὸ ὑμῖν μὲν θεοί. τρίμετρον δὲ καταληκτικὸν μὲν εἰς συλλαβὴν ὃ καὶ πενθημιμερὲς καλεῖται καὶ ἀρχιλόχειον τὸ ἐν δὲ βαρυσαέης. καταληκτικὸν δὲ δισύλλαβον ὡς τὸ οὐλομένην ἣ μυρί', ἀκατάληκτον δὲ τό. ἀτρεΐδαι τε καὶ ἄλλοι. τετράμετρον δὲ καταληκτικὸν μὲν εἰς συλλαβὴν τὸ καὶ ἑφθημιμερὲς ᾧ ἀλκμὰν κέχρηται. ταῦτα μὲν ὡς ἂν ὁ δῆμος ἅπας. καταληκτικὸν δὲ εἰς δισύλλαβον τὸ καὶ ἀρχιλόχειον. φαινόμενον κακὸν οἴκαδ' ἄγεσθαι. ἀκατάληκτον δὲ τὸ ἀρχιλόχειον ὃ καὶ δίμοιρον ἔπρις λέγεται. οὐκέθ' ὁμῶς θάλλεις ἁπαλὸν χρόα

δὲ οὐδ' ἀμειψίαν ὁρᾶτε. καταληκτικὸν δέ. νῦν δέ μοι
πρὸ τειχέων· ὃ καὶ εὐριπίδειον. ὑπερκατάληκτον
δὲ οὐδ' ἀμειψίαν ὁρᾶτε νῦν. τρίμετρον δὲ βραχυ-
κατάληκτον μὲν ὡς τοῦτο. οὐδ' ἀμειψίαν ὁρᾶτε
πτωχόν. ἀκατάληκτον δὲ νῦν δέ μοι πρὸ τειχέ-
ων θούριος ἄρης. καταληκτικὸν δὲ ὃ καὶ ἴαμβον
ἀκέφαλον ἔφαμεν καλεῖσθαι. (σὺ πάτερ γάμω)
μὲν οὐκ ἐδασάμην. ὑπερκατάληκτον δέ. ἔρχεται
πολὺς μὲν αἰγαῖον διαΐξας. τετράμετρον δὲ βρα-
χυκατάληκτον μέν. οὐδ' ἀμειψίαν ὁρᾶτε πτωχὸν
ὄντα ἐν ἡμῶν. ἀκατάληκτον δέ. κλῦθί μου γέρον-
τος εὔθειρα χρυσόπεπλε κούρα. καταληκτικὸν δέ.
ἔρξειν. πῆ δῆτ' ἄνολβος ἀθροίζεται στρατός. ὑπερ-
κατάληκτον δέ. κλῦθί μου γέροντος εὔθειρα χρυ-
σόπεπλε νῦν κούρα, πεντάμετρον δὲ βραχυκα-
τάληκτον μὲν τόδε. ἔρχεται πολὺς μὲν αἰγαῖον δια-
ΐξας ἀπ' οἰνηρᾶς δέ. ἀκατάληκτον δὲ τὸ αὐτὸ προ-
σκειμένου τῷ τέλει τοῦ χίου. καταληκτικὸν δὲ τὸ
αὐτὸ πάλιν λείποντος τοῦ δὲ καὶ τοῦ συνδέσμου. ἔρχεται
πολὺς μὲν αἰγαῖον διαΐξας ἀπ' οἰνηρᾶς χίου. ὑπερ-
κατάληκτον δὲ οὐκ ἔστιν ὥσπερ οὐδὲ ἐν τῷ ἰαμβικῷ.
ἔστι δὲ καὶ χωλὸν τροχαϊκὸν τετράμετρον καταληκτικὸν
ὃ τὸν παραλήγοντα πόδα σπονδεῖον ἔχει. ὡς τόδε. μὴ
πρωτίμως δῆτ' ἐμὲ χρηστῷ σκότῳ δικάζεσθαι. χωλὸν
δὲ λέγεται ὅτι τὸν παραλήγοντα πόδα σπονδεῖον ἔχει ἂν
ἀποστρέφεται τὰ καταληκτικὰ τροχαϊκά. ταῦτα γὰρ
φιλεῖ τὴν κατακλεῖδα ἢ χορεῖον ἢ τροχαῖον φέρειν.
τροχαίου. ἔρξειν πῆ δῆτ' ἄνολβος ἀθροίζεται στρατός.

θαι γὰρ ἴαμβον πλέον τῶν λβ΄. χρόνον ἀνέχεσθαι. Ἔστι δὲ καὶ ἕτερον ἰαμβικὸν καλούμενον χωλίαμβικὸν, ὃ τοῦ ὀρθοῦ τούτῳ διαφέρει. τὸ μὲν γὰρ ὀρθὸν τὴν τελευταίαν βάσιν ἴαμβον ἢ πυῤῥίχιον ἀπαρτίζει καὶ διαφορεῖ κατὰ τὸν παραλήγοντα πάντας δεχόμενον τοὺς εἰς ἴαμβον συντελοῦντας πόδας μηδὲν μικρολογούμενον περὶ τὴν τῶν συλλαβῶν ποσότητα. τὸ δὲ χωλὸν τὴν μὲν κατακλεῖδα ἤτοι τὴν βάσιν σπονδειακὴν ἀπαιτεῖ ἢ τροχαϊκὴν πάντως διὰ τὸ ἀδιάφορον τῆς τελευταίας συλλαβῆς. τὸν δὲ παραλήγοντα πόδα οὐ μόνον δισύλλαβον ἀλλὰ καὶ ἴαμβον πάντως ἢ σπονδεῖον. ἴαμβον μὲν ὡς τόδε. ἀκούσαθ' ἱππώνακτος. οὐ γὰρ ἀλλ' ἥκω σπονδεῖον δὲ ὡς τοῦτο. ἐπ' ἄκρων ἔχων ὥσπερ ἀλλ' αἰθαλύχων. καὶ περὶ μὲν ἰαμβικοῦ τοσαῦτα.

Περὶ τροχαϊκοῦ.

Ἔστι δὲ τὸ τροχαϊκὸν ὡσαύτως κατά τε τὰς τῶν ποδῶν παραυξήσεις καὶ τὰς τομὰς καὶ ἔτι τὰς ἀποθέσεις. βαίνεται δὲ παραπλησίως ἐκείνῳ κατὰ διποδίαν. ἐπισημότατα δ' αὐτοῦ τό, τε δίμετρον καταληκτικὸν καὶ ἔτι τὸ τρίμετρον καταληκτικὸν ὅ τινες καὶ ἀκέφαλον ἴαμβον καλοῦσι. ὅτι μιᾷ συλλαβῇ λείπει κατ' ἀρχὰς, ἰαμβικὸν τρίμετρον εἶναι. καὶ ἔτι τὸ τετράμετρον. μονόμετρον μὲν οὖν τροχαϊκὸν βραχυκατάληκτον ὡς τοῦτο. ζεῦ σ με. ἀκατάληκτον. κάρφεται γάρ. καταληκτικὸν ζεῦ πάτερ. ὑπερκατάληκτον ἔρχετολύς. δίμετρον δὲ βραχυκατάληκτον μέν. κάρφεται γὰρ ἤδη. ὃ καὶ ἰθυφαλλικὸν ἀκατάληκτον

τι κοὐκ ἐρῶ· καὶ μαίνομαι κοὐ μαίνομαι. καταληκτικὸν δὲ ὡς τοῦτο· ὁ μὲν θέλων μάχεσθαι· μιᾷ γὰρ συλλαβῇ λείπει πρὸς δ' διποδίαν ἀπαρτίσαι. ὑπερκατάληκτον δὲ ὡς τόδε· σπείρουσιν ὃς κατὰ πέτρας· μιᾷ γὰρ πλεονάζει τῆς διποδίας. τρίμετρον δὲ βραχυκατάληκτον μὲν, πάτερ Λυκάμβα ποῖον ἐφρασω, λείπει γὰρ ὅλῳ ποδί. ἀκατάληκτον δὲ ὡς τό· ἥκω φέρων σοι τῆς ἐρήμου καρδίας. καταληκτικὸν δὲ ὡς τό· ὅμως κακοῦ δὲ γήραος καθαιρεῖ. ὑπερκατάληκτον δὲ ὡς τόδε· πάτερ Λυκάμβα ποῖον ἐφράσω λόγον. τίς. τετράμετρον δὲ βραχυκατάληκτον μὲν ὡς τοῦτο· πάτερ Λυκάμβα ποῖον ἐφράσω λόγον. τίς σας. λείπει γὰρ ὅλῳ ποδὶ πρὸς τετράμετρον, ἀκατάληκτον δὲ ὡς τόδε· δέξαι με κωμάζοντα δέξαι λίσσομαι σε λίσσομαι· πλήρεις γὰρ ἔχει τὰς δ'. διποδίας, καταληκτικὸν δὲ ὡς τόδε· εἴ μοι γένοιτο παρθένος καλή τε καὶ τέρεινα. λείπει γὰρ μιᾷ συλλαβῇ πρὸς τετράμετρον. ὑπερκατάληκτον δὲ ὡς τόδε· οὐ ἦν γὰρ εἰκὸς τὴν φάτναν πεφυρμένην ψυχὴν γεωργεῖν. πεντάμετρον δὲ βραχυκατάληκτον μὲν τόδε· πάτερ Λυκάμβα ποῖον ἐφράσω λόγον. τίς σας παρήειρε. ἀκατάληκτον δὲ. πάτερ Λυκάμβα ποῖον ἐφράσω λόγον. τίς σας παρήειρε φρένας. καταληκτικὸν δὲ τόδε· πάτερ Λυκάμβα ποῖον ἐφράσω λόγον τίς σας φρένας ἀφεῖλεν. ὑπερκατάληκτον δὲ οὐκ ἔστιν ὅπου καὶ αὐτὸ τὸ ἀκατάληκτον σπανιώτατόν ἐστι διὰ τὸ μὴ βουλε-

Ἡφαιστίωνος

Περὶ ἰαμβικοῦ.

Τὸ ἰαμβικὸν μέτρον κατὰ μὲν τὸ ἐμφανέστατον αὐτοῦ μέχρι τοῦ τριμέτρου πρόεισι· κατὰ δὲ τὰ παρὰ τοῖς παλαιοῖς εὕροις κόμμα καὶ μέχρι τοῦ πενταμέτρου παραύξεται. δέχεται δὲ κατὰ μὲν περιττὰς χώρας τοὺς πέντε τούτους πόδας. ἴαμβον χορεῖον σπονδεῖον δάκτυλον ἀνάπαιστον. ἐς δὲ τὰς ἀρτίους ἀπὸ βραχείας ἀρχομένους, ἴαμβον φημὶ καὶ χορεῖον καὶ ἀνάπαιστον. κατὰ δὲ τὴν ἕκτην χώραν ἴαμβον μόνον ἢ πυρρίχιον. τρίμετρον δὲ ἔφαμεν τὸ ἓξ ἔχον πόδας ἢ χώρας ἰαμβικὸν καθὸ κατὰ διποδίαν βαίνοιτο τὸ τοιοῦτον μέτρον. ὑφίστανται δὲ ἀπὸ τούτου τοῦ μέτρου κατὰ ἀφαίρεσιν τε καὶ πρόσθεσιν μονόμετρά τε καὶ δίμετρα καὶ τετράμετρα καὶ πεντάμετρα. αἱ θέσεις δὲ αὐτῶν αὗται καὶ πάντων, καὶ γὰρ ἃ μὲν αὐτῶν ἐστὶν ἀκατάληκτα ἃ δὲ ὑπερκατάληκτα ἃ δὲ καταληκτικὰ ἃ δὲ βραχυκατάληκτα. μονόμετρον μὲν οὖν ἰαμβικὸν βραχυκατάληκτον, τοῦτο φεῦ φεῦ. λείπει γὰρ ὅλος πούς πρὸς τὸ μονόμετρον ἀπαρτίσαι. ἀκατάληκτον δὲ τοῦτο. φεῦ φεῦ ἰώ. καταληκτικὸν δὲ τοῦτο, ἄραρεν. εἰς συλλαβὴν γὰρ ἡ τελευταία χώρα λήγει. ὑπερκατάληκτον δὲ τοῦτο. ἅπερ λυκάμβα. ἡ γὰρ ποδία νῦν μιᾷ πλεονάζει συλλαβῇ. δίμετρον δὲ βραχυκατάληκτον μὲν τοῦτο. ἥλιε θοαῖς ἵπποις. λείπει γὰρ ὅλος πούς εἰς ἀπάρτισιν τῆς διποδίας. ἀκατάληκτον δὲ ὡς τοῦτο. ἐρῶ τι δεῦτε

σπονδείων ι, καὶ ἐστὶν ἡ μέθοδος οὕτως. ἑκάστη τῶν ε. χωρῶν, δύο δέχεται πόδας δάκτυλόν τε καὶ σπονδεῖον. καταγράφω τοίνυν πεντάκις τὴν δυάδα β. β. β. β. β. καὶ πολλαπλασιάσας τὴν πρώτην ἐπὶ τὴν β. ἤγουν δὶς δύο ποιῶ τέσσαρας ἅπερ τὰ ἀπὸ τῆς πρώτης καὶ β. γεγονότα ἤγουν τὰ τέσσαρα ἐπὶ τὴν τρίτην τουτέστι τὰ δύο. δὶς τέσσαρα λέγων καὶ ποιῶ η. καὶ ταῦτα ἐπὶ τὴν δ. ἤγουν τὰ δύο καὶ γίνονται ις. δὶς γὰρ τὰ ὀκτὼ ις. καὶ ταῦτα ἐπὶ τὴν ε. καὶ γίνονται λβ. δὶς γὰρ ις. τριάκοντα δύο ἔλθωμεν καὶ ἐπὶ τῶν ἰαμβικῶν. ἡ πρώτη χώρα δέχεται πόδας ε. ἴαμβον. χορεῖον. ἀνάπαιστον. δάκτυλον σπονδεῖον. ἡ δευτέρα τρεῖς ἴαμβον χορεῖον. ἀνάπαιστον ἡ τρίτη. πέντε ὁμοίως τῇ πρώτῃ. ἡ τετάρτη τρεῖς. ὁμοίως τῇ δευτέρᾳ. ἡ πέμπτη πέντε. καὶ ἐκτίθημι οὕτως ε. γ. ε. γ. ε. τῇ ὁμοίᾳ οὖν χρώμεθα μεθόδῳ. πολλαπλασιάζω τὴν α. ἐπὶ τὴν β. πεντάκις τὰ γ. ιε. καὶ ταῦτα ἐπὶ τὴν γ. πεντάκις. ιε. γίνονται οε. καὶ ταῦτα ἐπὶ τὴν δ. τρίς. οε. σκε. καὶ ταῦτα ἐπὶ τὴν ε. πεντάκις τὰ σκε. α, ρ κ ε. ὥστε εἶναι τὰ τριμέτρου ἰαμβικοῦ σχήματα α, ρ κ ε. διὰ τί οὖν τὴν ἕκτην χώραν οὐ μετροῦμεν ὅτι πάντως ἐστὶν ἴαμβος καὶ γὰρ πυρρίχιος ἢ τῷ ἀδιάφορον ἐστὶ. τὴν ἐσχάτην ἴαμβός ἐστιν. ὁ αὐτὸς οὖν ἀεὶ σχῆμα ἕτερον οὐ ποιεῖ καὶ ἐπὶ τοῦ ἡρωϊκοῦ δὲ ὁμοίως.

κὸν καὶ ἰωνικὰ δύο. ἐξάσημος δὲ ὅτι ἕκαστος τούτων ἑξάχρονός ἐστιν. ἐπιπλέκεται δὲ ἐξ ἀλλήλων τοῦτον τὸν τρόπον. τίθημι μέτρον ἰωνικὸν ἀπὸ μείζονος. βλαστεῖ δ' ἀπὸ γῆς δένδρεα παντοῖα φύοντα. τοῦτο ἀπὸ μείζονος ἰωνικὸν τετράμετρον βραχυκατάληκτον. ἀφαιρῶ αὐτοῦ τὴν α. συλλαβὴν τὸ καταλειπόμενον γίνεται χοριαμβικόν. στεῖ δ' ἐπὶ γῆς. ἀφαιρῶ καὶ τὴν β. τὸ καταλειπόμενον γίνεται ἰωνικὸν ἀπ' ἐλάσσονος ἀπὸ γῆς δέν. ἀφαιρῶ καὶ τὴν γ. τὸ καταλειπόμενον ἐστὶν ἀντισπαστικόν. πὸ γῆς δέν. εἰ δὲ καὶ τὴν δ. ἀφέλῃς ἀναδραμεῖται εἰς τὸ ἀρχαῖον τὸ ἀπὸ μείζονος γῆς δένδρεα. οὐ μόνον δὲ ἐν ταῖς προειρημέναις ἀφαιρέσεσιν ἀλλὰ καὶ ἐν ταῖς προσθέσεσιν αἱ εἰρημέναι σώζονται ἐπιπλοκαί. τὸ χάριεν δὲ τῆς παρατηρήσεως ἐστὶ τοιοῦτον. ἐν μὲν ταῖς ἀφαιρέσεσι μετὰ τὸ ἰωνικὸν γίνεται χοριαμβικὸν εἶτα ἀπ' ἐλάσσονος εἶτα ἀντισπαστικὸν εἶτα πάλιν τὸ ἀπὸ μείζονος. ἐν δὲ ταῖς προσθέσεσι τὸ ἀντισπαστικὸν εἶτα πάλιν τὸ ἀπὸ μείζονος ἐν δὲ ταῖς προσθέσεσι τὸ ἀντισπαστικὸν εἶτα τὸ ἀπ' ἐλάσσονος εἶτα τὸ χοριαμβικὸν εἶτα πάλιν τὸ ἀπὸ μείζονος. τοῦ μὲν ἡρωϊκοῦ μέτρου σχήματα εἰσὶ τριάκοντα δύο. ὅλων γὰρ ὄντων δακτύλων ἓν σχῆμα γίνεται. καὶ ὅλων σπονδείων ἕν. δάκτυλος δὲ μετὰ σπονδείων ε. σπονδεῖος δ' αὖ μετὰ δακτύλων δ' ε. δύο δὲ σπονδεῖοι μετὰ τριῶν δακτύλων ι. καὶ δύο δάκτυλοι μετὰ τριῶν

ὑφαιρεῖται ἢ προσλαμβάνει μίαν μακράν. δεῖ οὖν
σε ὅταν λαμβάνῃς δυαδικὴν τετράσημον ἐὰν μὲν
μακρὰν εὑρίσκῃς, μίαν ἀφαιρεῖν· ἐὰν δὲ βραχείας δύο
μίαν προστιθέναι μακράν. καὶ οὕτως τὸ μὲν δα-
κτυλικὸν γίγνεται ἀναπαιστικόν, τὸ δὲ ἀναπαιστικὸν δακτυ-
λικόν. ἐὰν μέντοι ὁ ἡρωϊκὸς στίχος καὶ σπονδεῖον
ἔχῃ συγκαταμεμιγμένον πάλιν τὸ ὅμοιον συμ-
βαίνει. ἐν γὰρ ταῖς ἁρμοζούσαις προσθέσεσί τε καὶ
ἀφαιρέσεσι, τὸ εἶδος εἰς ἀναπαιστικὸν εἶδος ὑγιὲς
ἀλλάσσεται ὡς οὖν τουτί. ὡς εἰπὼν πυλέων ἐξέσ-
συτο φαίδιμος Ἕκτωρ. υἱεῖς ἐποίησα ἀναπαιστικὸν
ἢ πάλιν βραχείας δύο. ὁ δὲ ὡς εἰπὼν πυλέων. διὰ
τί δὲ ἐν ταῖς πρώταις ἐπιπλοκαῖς κατὰ μίαν ἀφαι-
ροῦμεν ἢ προστίθεμεν. ἐν δὲ ταύταις ἔσθ᾽ ὅτε καὶ
δύο μάλιστα μὲν ἐπεὶ ἐκεῖναι ἐξ ἁπλῶν δύο
σύγκειται συλλαβῶν ταῦτα δὲ ἐκ τριῶν. καὶ ὡς περὶ
ἐν τῷ περὶ καταλήξεως διεσήμαινε τὸ καταληκτι-
κὸν καὶ ὑποκαταληκτικόν. καταληκτικὸν μὲν τὸ
καταλῆγον εἰς δισυλλαβίαν. ὑποκαταληκτικὸν
δὲ τὸ καταλῆγον εἰς μονοσυλλαβίαν, οὕτω κἂν
ταῦτα οὐ κατὰ μίαν μόνον, ἀλλ᾽ ἐνίοτε καὶ κατὰ
δύο. ἔτι δὲ κἀκεῖνο ῥητέον ὅτι ἐκεῖνα μὲν ἐν ἴσῳ κεῖ-
ται λόγῳ· ταῦτα δὲ ἐν διπλασίῳ. πρὸς οὖν τὴν
μίαν μακρὰν τὰς δύο δεῖ ἀφαιρεῖν ἢ προστιθέναι
βραχείας. ἵνα ἐν ἴσῳ λόγος διαρηθῇ. ἡ δὲ τρίτη ἐπι-
πλοκὴ καλεῖται μὲν τετραδικὴ ἑπτάδ᾽ ἢ δ΄. εἴδη
ἐξ αὐτῆς ἐπιπλέκεται ἀντισπαστικὸν χοριαμβικὸν

τὸ καταλειπόμενον γίνεται τροχαϊκὸν ἀπὸ τοῦ τριμέτρου τρίμετρον· ἀπὸ ἀκαταλήκτου· καταληκτικόν, καὶ αὖ πάλιν ἐὰν ἀφέλῃς ἰαμβικὸν γίνεται δὲ τροχαϊκόν· οὐ μόνον δὲ ἐν ταῖς ἀφαιρέσεσιν ἀλλὰ καὶ ἐν ταῖς προσθέσεσι τὸ τοιοῦτον τῆς ἐπιπλοκῆς διασώζεται· φέρε γὰρ τῷ προειρημένῳ στίχῳ προσθείην κατὰ τὴν ἀρχὴν μακρὰν συλλαβὴν πάλιν γίνεται τροχαϊκόν· νῦν ἰὼ καίκε μυσίαι τ' ἐπιρροαί. συμβαίνει οὖν κατὰ τὰς προσθέσεις ἢ ἀφαιρέσεις τὰ δι' ἀλλήλοις ἐπιπλέκεσθαι· ταῦτα περὶ τρισήμου δυαδικῆς· ἡ δὲ τετράσημος δυαδικὴ δύο μὲν εἴδη γεννᾷ δακτυλικὸν καὶ ἀναπαιστικόν· καὶ διὰ τοῦτο καλεῖται δυαδικὴ τετράσημος· ὅτι ὁ δάκτυλος καὶ ὁ ἀνάπαιστος τετράσημοι εἰσὶν ἤγουν τετράχρονοι. κληθείη δ' ἂν καὶ ὀκτάσημος εἰ κατὰ συζυγίαν μετροῖτο καὶ βαίνοιτο ὡς τὰ ἀναπαιστικά· ἐπιπλέκεται δὲ ἀλλήλοις ἀεὶ τὸν τρόπον τοῦτον· ἔστω στίχος ὅλος δακτυλικός· ἰλιόθεν με φέρων ἄνεμος κικόνεσσι πέλασσε· τούτου τοίνυν πρώτην ἀφελὼν συλλαβὴν καὶ τὸ λειπόμενον γίνεται ἀναπαιστικόν· καὶ αὖ πάλιν ἐὰν τὰς ἑξῆς ἀφέλῃς βραχείας δύο συλλαβὰς γίνεται δακτυλικὸν θέν με φέρων ἄνεμος κικόνεσσι πέλασσε· ἢ κατὰ τὴν ἀρχήν. ἐὰν προσθῶ δύο βραχείας ἀναπαιστικὸν τὸ εἶδος γίνεται ὅτε ἰλιόθεν· τὸ αὐτὸ οὖν ποιεῖ καὶ πάχυ τὸ ἀναπαιστικὸν πλὴν ὅτι τὰς δύο βραχείας κατὰ τὴν ἀρχὴν

ὑφαιρεῖται

Ἐγχειρίδιον

Περὶ ἐπιπλοκῆς.

Ἐπιπλοκή ἐστι τοῦ μέτρου τὸ ἀνώτατον γένος ἐξ ἧς τὰ μέτρα γίνεται. ἔστι μὲν οὖν ἐπιπλοκαὶ κατὰ μὲν τινας καὶ ἄλλαι. πλὴν αἱ νῦν ἀναγκαιότατοι τρεῖς. καὶ ἡ μὲν καλεῖται τρίσημος δυαδική. ἡ δὲ τετράσημος διαδική. ἡ δὲ ἑξάσημος τετραδική. καὶ δυαδικῆς μὲν τρισήμου εἴδη δύο. τό, τε ἰαμβικὸν καὶ τὸ τροχαϊκόν. τῆς δὲ τετρασήμου δυαδικῆς δύο. τό, τε δακτυλικὸν καὶ τὸ ἀναπαιστικόν. τῆς δὲ ἑξασήμου τετραδικῆς τέσσαρα τό, τε ἰωνικὸν τὸ ἀπὸ μείζονος τὸ χοριαμβικόν. τὸ ἀπ' ἐλάσσονος ἰωνικὸν καὶ τὸ ἀντισπαστικόν. ὠνομάσθησαν δὲ ἐπιπλοκαὶ ἐπειδὴ τὰ ἐκ μιᾶς ἐπιπλοκῆς εἴδη ἀπ' ἀλλήλων εἰς ἄλληλα τὰ εἴδη μεταπίπτει. ἐροῦμεν δὲ καὶ ἑκάστης τὸ ἴδιον. ἡ μὲν γὰρ πρώτη τρίσημος καλεῖται δυαδική. τρίσημος μὲν ὡς τῶν ποδῶν τριχρόνων ὄντων. δυαδικὴ δὲ ὅτι εἴδη δύο ἐξ αὐτῆς γίνεται τό, ἰαμβικὸν καὶ τὸ τροχαϊκόν. καὶ ἡ τετράσημος δὲ δυαδικὴ ὡσαύτως ὅτι οἱ πόδες τετράχρονοι εἰσί. δύο δὲ εἴδη ἐξ αὐτῆς ἀποτελεῖται. δακτυλικὸν καὶ τὸ ἀναπαιστικόν. καὶ ἡ ἑξάσημος δὲ τετραδικὴ ἀσφαλῶς εἴρηται. ἐὰν μὲν γὰρ κατὰ πόδα βαίνωμεν ἅπλου τρίσημος ὠνομάσθη δυαδική. ἐὰν δὲ κατὰ συζυγίαν ἑξάσημος τετραδική. μεταπίπτει δ' ἀπ' αὐτῶν εἰς ἄλληλα τὰ εἴδη τὴν δὲ τὸν τρόπον ἐκτίθημι καθαρὸν ἴαμβον τόν δε. ἰὼ χαῖρε μυσίαι τ' ἐπιρρόαι. τούτου εἰ ἀφέλης τὴν. α. συλλαβὴν

πολλάκις δὲ καὶ τὸν βραχὺν χρόνον ποιεῖ μακρόν. τὸ δὲ μέτρον λέγεται πολλαχῶς. καὶ γὰρ τὴν συμμετρίαν μέτρον προσαγορεύομεν ὡς ὁ εἰπὼν μέτρον ἄριστον. λέγεται μέτρον καὶ αὐτὸ τὸ μετροῦν καὶ τὸ μετρούμενον ὡς ὅταν λέγωμεν πῆχυν καὶ αὐτὸ τὸ μέτρον ἐν ᾧ μετροῦμεν ποσότητά τινα καὶ αὖ πάλιν αὐτὸ τὸ μετρούμενον ξύλον ὃ μὲν ἔχει πῆχυν πῆχυν λέγωμεν. μέτρον δὲ καὶ παρὰ τὸ μὴ πεζόν. ὡς ὅταν εἴπω τὰ μὲν πλάτωνος πεζά. τὰ δὲ ὁμήρου μέτρα. μέτρον καὶ εἶδος ἑκάστου. ὡς ὅταν εἴπω μέτρον ἰαμβικόν. καὶ μέτρον ἰωνικόν. μέτρον καὶ στίχος ἕκαστος ὡς ὅταν εἴπω ἡ α. ὁμήρου ῥαψωδία μέτρα ἔχει χ. ἤγουν στίχους. μέτρον καλοῦμεν καὶ τὴν διποδίαν ἥτις καὶ συζυγία. ὡς ὅταν τὸ ἰαμβικὸν τὸ ἀπὸ ἓξ ποδῶν συγκείμενον τρίμετρον καλοῦμεν μέτρου. καὶ τὸν χρόνον ὅν τινες τῶν ῥυθμικῶν σημεῖον προσαγορεύουσι. καὶ αὐτὸ τὸ μέτρον τουτέστι τὸ ποίημα μέτρον προσαγορεύεται καὶ ἕκαστον τῶν μετρούντων τῆς ὁμοίας τετύχηκεν ὀνομασίας, χρόνος γὰρ συλλαβὴν ποιεῖ. συλλαβὴ δὲ πόδα. ποὺς δὲ συζυγίαν. συζυγία δὲ στίχον. στίχος δὲ ποίημα. πάντα οὖν εἰκότως μέτρον προσαγορεύεται. ὡς παρὰ τὸ σείω σεῖστρον. καὶ παρὰ τὸ δέρω δόρτρον. καὶ παρὰ τὸ φέρω φόρτρον οὕτω παρὰ τὸ μείρω μέτρον. φωνή ἐστιν ἀὴρ πεπηγμένος. παρ' ὁμήρῳ ἡ πρὸς συλλαβὴν ὅταν λέγῃ πρὸς οἷ καὶ πήληκος ἐν τούτῳ κεῖται μακρᾶς.

Μέτρον ἐστὶ ποδῶν, ἢ βάσεως σύνταξις ἐαθῆσα δ τῇ διακονῆς παραλαμβανομένη· εἰ δὲ τὸ κρίνον ἐστὶν ἀκοὴ τὸ κοσμοῦν ἐστὶ φωνή. ὡς γὰρ τὸν ἦχον τῆς εὐρυθμίας ἐκτείνουσά τι καὶ συστέλλουσα ἡ φωνὴ σχηματίζει τὰς συλλαβὰς οὕτως αὐτὰς δεξαμένη κρίνει ἡ ἀκοή. Τὸν γὰρ ἐν ἀμφίσσῃ πόλεμον δι᾽ ὃν εἰς ἐλάτειαν ἦλθε φίλιππος μέχρι τοῦ ἐλάτειαν ἐστὶ στίχος ἡρωϊκός. ἀλλὰ μὴν καὶ ἰωνικὸν ὅταν λέγῃ· πολλῶν δὲ λόγων καὶ θορύβων γιγνομένων παρ᾽ ὑμῖν· τοῦτο γὰρ ἄντικρυς ἰωνικόν ἐστιν ἀπὸ μείζονος. ὁμοίως τῷ εὐμορφωτέρα μνασιδίκα τὰς ἀπαλὰς γυρίννω.

Περὶ διαφορᾶς μέτρου καὶ ῥυθμοῦ.

Διαφέρει δὲ μέτρου ῥυθμοῦ. ὕλη μὲν γὰρ τοῖς μέτροις ἡ συλλαβὴ καὶ χωρὶς συλλαβῆς οὐκ ἂν γένοιτο μέτρον. ὁ δὲ ῥυθμὸς γίνεται μὲν καὶ ἐν συλλαβῇ. γίνεται δὲ καὶ χωρὶς συλλαβῆς, καὶ γὰρ ἐν κρότῳ ὅταν χαλκέας ἴδωμεν τὰς σφύρας καταφέροντας ἅμα τινὰ ῥυθμὸν ἀκούομεν. καὶ ἵππων πορείας ῥυθμὸς ἐνομίσθη. καὶ κινήσεις δακτύλων καὶ μελῶν σχήματα καὶ χορδῶν κινήματα καὶ ὀρνίθων πτερίσματα. μέτρον δὲ οὐκ ἂν γένοιτο χωρὶς λέξεως ποιᾶς καὶ ποσῆς. ἔτι διαφέρει ἢ τὸ μὲν μέτρον πεπηγότας ἔχει τοὺς χρόνους μακρὸν καὶ βραχὺν καὶ κοινόν. ὁ δὲ ῥυθμὸς ὡς βούλεται ἕλκει τοὺς χρόνους.

Διάγραμμα τῶν εἰκοσιοκτὼ ποδῶν

διομήδης φιλόσοφος
ἰωνικὸς ἀπ' ἐλάσσονος. υυ––. προκελευσμα. υυυυ.
πολέμων δόλιος στησίχορος.
ἀνάπαιστος υυ–. χορεῖος. υυυ. παίων α'. –υυυ.
ὀνήσιμος κλεόβουλος.
παίων β'. υ.–υυ. παίων γ'. υυ–υ.
δορυμέδων.
παίων δ'. υυυ.–.
δημήτριος ἥρως.
ἰωνικῶς ἀπὸ μείζονος ––υυ. σπονδεῖος ––.
ἡρακλείδης. ἥφαιστος. ἡρώδης
δισπονδ. ––––. παλιμβάκχειος ––υ. μολοττὸς –––
ἀριστείδης.
ἐπίτριτος α'. υ–––.
ἐπίτριτος β'. –υ––. εὐρυμήδης
δημοσθένης καλλίξενος.
ἐπίτριτος γ'. ––υ–. ἐπίτριτος δ'. –––υ.
ἡγεμών. ἥλιος φοῖβος.
ἀμφίμακρος –υ–. δάκτυλος –υυ. τροχαῖος –υ.
ἀρχέδημος. εὐφορίων.
διτρόχαιος –υ–υ. χορίαμβος –υυ–.
ὅμηρος νοήμων γέλως
ἀμφίβραχυς υ–υ. βακχεῖος υ––. ἴαμβος υ–.
ἀνακρέων. ἀλέξανδρος.
διίαμβος υ–υ–. ἀντίσπαστος. υ––υ.

Ἐγχειρίδιον

μεσον	σὶν ὅ	σὶν αὐό
δὲ τὸ	μοια	μοια δὲ
αὐόμοι	τὰ δὲ	τοῖς πε
ον τέ	περιέ	ριεχομέ
τακται	χοντα	νοις τὰ
	οὔτε ἀλ	δὲ περιε
	λήλοις	χόμενα
	οὔτε	ἀλλήλοις
	τοῖς	μὲν ὅμοι
	περιε	α αὐόμοι
	χομέ	α δὲ τοῖς
	νοις	περιεχου
		σιν.

ὅμοιος	αὐόμ.	ὅμοιος	ὅμοιος	ὅμοιος
στροφὴ αὐτιστρο φος ἐ αὐό.	ἔπω δόςστρο αὐο. φὴ αὐτί πωδὸς στροφος ὅμ.	στροφὴ ἐ πωδὸς αὐτίστρο φος στρο	ἔπω δὸς στρο φὴ αὐτί στροφος	στροφὴ ἔπω δὸς ἐ πωδὸςὅμ.
ὅμ. στροφὴ αὐτίστρο φος ει αὐό. πωδὸς αὐό. στροφος	αὐό ἔπω δὸςστρο φὴ αὐτί	φὴ ἔπω δὸς αὐτί στροφος	ὅμ. ἔπω, δὸς ἔπω δὸς στρο ὅμ. φὴ ἐ/ο φὴ αὐτί/ὅμ. πωδὸς στροφος ὅμ. ἔπω/ ἔπω δὸς αὐτί δός.	αὐτίστρο φος στρ στροφος

στῆμαι ὠῶ ὁ
τα ὅ/ σιμμί/
μοια ἐστ. ας.
ἀλλή/
λοις τὰς
δὲ πα/
ρακο/
πὰς
ἀμφο/
τέρας
ἢ πη/
σας ἀλ
λήλαις
ἐστ. ὁμοί/
ας.

Ταῦτα ἐν τριά. τὰ δὲ ἔπω. ταῦτα ἐν τέτρα. καὶ πεν.

Εἰς ἐ/	Εἰς προ	ὡς με	Εἰς πε/	Εἰς πα
πῳδι	ῳδικὰ	σῳδι	ριοδικα	λινῳδι
κὰ ἐν	ἐν οἷς	δικὰ	ἐν οἷς	κὰ ἐν
οἷς ὅμοι	τὸ ἀνό	ἐν οἷς	τὰ μὲν	οἷς τὰ
οις ἀνό	μοιον	πού μέν	περιέ	μὲν πε/
μοιόν τι	προτέ	χειμὲν	χόμενα	ριέχοντα
ἐπιφέ/	τακται	τὰ ὅ	ἀλλή	ἀλλήλοις
ρεται.	τῶν ὁμοί/	μοια	λοις ἐστ/	ὅμοια ἐστ/
	ων.			

Τὰ μὲν
μονο/
στροφι/
κα ὅσα
ὑπὸ μι/
ᾶς στρο/
φῆς κα
ταμε/
τρεῖται.

τὰ δὲ κα
τὰ πε
ρικοπὴν
ἀνόμοιο
μερῆ ὅ
πόταν
ἐκθέμε
νος ὁ ποι
ητὴς ὁπό
σα δὴ
πρότεσυ
στήμα/
τα διά/
φορα ἐ
παράγη
ἐκ τοῦ αὐ
τοῦ συστή
ματος συ
νεστῶ
σαν πα
ρακο
πὴν ὥς
τε τὰ
ἐν ἑκα
τέρᾳ ἢ
ἑκάστη
περικο
πῇ συ/

τὰ δὲ ἀν
τιθετι
τικὰ ὅ
ποταν
ὁ ποιη
τὴς γρά
φη ὁπό
σα δὴ
πρότε
κῶλα
ὡς ἀνό
μοια καὶ
ὡς βού
λεται
τα τού
τοις ἀντα
ποδιδῷ
ὧν μὲν
πλῆθ
ταιῷ τὸ
α. τῷ δὲ
β. ἀπὸ
τέλους
τὸ β.
καὶ ἐφε
ξῆς ὡς
ἐν τῷ

τὰ δὲ μι
κτὰ κα
τὰ σχέ
σιν ἐν
ὅις ἐστι
μέρη τι
νὰ τοῦ
ἐπω/
δικοῦ
εἴδη του
πέστι
πρὸς
τὸ ὠ/
δικὸν
τὸ ἐπω
δικὸν
καὶ τὸ
μεσω
δικόν.

τὰ δὲ
κοινὰ
κατὰ
σχέσιν
τὰ μέ
σον μο
νοστρο
φικοῦ
καὶ ἐπω
δικοῦ
οἷον τὸ
μονο
στροφι
κῶς γρα
φὲν δύ
ναται καὶ
ἐπωδι
κῶς γε
γράφ
θαι δο
κεῖν.

Τὰ δὲ κατὰ σχέσιν.

Τὰ μὲν ἀπολελυμένα ἃ ὡς ἔτυχε γέγραπται καὶ οὐδὲ μέτρου ὡρισμένου οἷοι οἱ νόμοι.

τὰ δὲ μετρικὰ ἃ τακτὰ ἀπὸ μέτρῳ μὲν γέγραπται τινὶ οὔτε δὲ ὁμοιότητα ἔχει πρὸς ἄλληλα οὔτε ἀνακύκλησιν.

τὰ δὲ ἐξ ὁμοίων ἅπερ ὑπὸ ποδὸς ἢ συζυγίας ἢ περιόδου καταμετρεῖται αὐτῶν ἀριθμοῦ τινὸς ὡρισμένου ἐὰν γὰρ τεταγμένος ἀριθμὸς ᾖ οὐκ ἔστιν ἐξ ὁμοίων ἀλλὰ κατὰ σχέσιν.

τὰ δὲ μικτὰ καὶ συστηματικὰ ὅσα μέρος μέν τι ἔχει κατὰ σχέσιν μέρος δέ τι ἀπολελυμένου ἢ ἐξ ὁμοίων.

τὰ δὲ κοινὰ συστηματικὰ τὰ μέσον κατὰ σχέσιν καὶ ἐξ ὁμοίων.

κομματίου τῆς παραβάσεως καὶ τοῦ μακροῦ. οὐδὲ γίνονται δὲ καὶ ἐπὶ τοῦ μέλους καὶ τοῦ ἐπιρρήματου ἃ μηδὲν ἀνταποδιδῶνται. εἰ δὲ εἴη τὰ ἀνακυκλούμενα, τὸ, τὴν αὐτὴν στροφὴν τοῦ μέλους καὶ δ' ἀντεπίρρημα ἐπὶ τοῦ ἐπιρρήματος τίθεται ἡ ἔσω νενευκυῖα διπλῆ ὑπὲρ τοῦ δηλῶσαι ὅτι ἐστὶ τὰ ἀνταποδιδόμενα. ἐπὶ δὲ τοῦ ἀντεπιρρήματος ἡ ἔξω νενευκυῖα. εἰώθασι τοίνυν αὐτοὶ οἱ δραματοποιοὶ μεταξὺ ἰαμβείων τινῶν γράφειν ἑτέρῳ μέτρῳ ὅπως οὖν στροφάς. εἶτα πάλιν παραλαβόντες δι' ἰαμβείων τὸ προκείμενον, διέχειαν ἀνταποδιδόναι τὰς στροφάς. ἐφ' ἑκάστης οὖν στροφῆς τίθεται παράγραφος. ἐν δὲ ταῖς προτέραις στροφαῖς ἐπὶ τοῦ τελευταίου κώλου δύο τίθενται διπλαῖ ἡ μὲν κατ' ἀρχὰς ἔξω βλέπουσα. ἡ δὲ κατὰ τὸ τέλος ἔξω νενευκυῖα. δηλοῦνται ἡμῖν διὰ τῆς ἔσω βλεπούσης ὅτι ἀνταποδίδοται τινὰ αὐτοῖς. ἐν δὲ τοῖς ἀνταποδιδομένοις πάλιν ἐφ' ἑκάστης στροφῆς παράγραφος. ἐπὶ δὲ τοῦ τελευταίου κώλου δύο διπλαῖ. ἡ μὲν κατ' ἀρχὰς ἡ δὲ κατὰ τὸ τέλος ἀμφότεραι μέν τοι ἔξω νενευκυῖαι διὰ τοῦτο δηλοῦνται ἡμῖν ὅτι ἀνταποδίδοται.

Τὰ μὲν κα	Τὰ δὲ συστη/	τὰ δὲ μι/	τὰ δὲ κοινὰ
τὰ στίχον	ματικὰ ὑπὸ	κτὰ ὅσα	ὅσα ὑπὸ συστή
ὅσα ὑπὸ τοῦ	πλειόνων μέ/	μέρος μὲν	ματος μὲν
αὐτοῦ μέ/	τρων ἤγουν ἐν σω	τι ἔχει ὑπὸ	καταμετρεῖ
τρου κατα	μα παραλη	στίχον κα	ται αὐτὸ τὸ
μετρεῖται	φθέντα κατα	τὰ μέτρου/	σύστημα ἔχει
ὡς τὸ τοῦ	μετρεῖται.	μένον δὲ συ	τηρούμενον
ὁμήρου		στηματικ	

διπλῆ ἡ ἔξω βλέπουσα παρὰ μὲν κωμικοῖς καὶ τοῖς τραγικοῖς ἐστὶ πολλή· παρὰ δὲ τοῖς λυρικοῖς σπανία. παρὰ Ἀλκμᾶνι γοῦν εὑρίσκεται. ἔγραψε γὰρ ἐκεῖνος δεκατεσσάρων στροφῶν ᾄσματα. ὧν τὸ μὲν ἥμισυ τοῦ αὐτοῦ μέτρου ἐποίησεν ἑπτάστροφον. τὸ δὲ ἥμισυ, ἑτέρου. καὶ διὰ τοῦτο ἐπὶ ταῖς ἑπτὰ στροφαῖς ταῖς ἑτέραις τίθεται. ἡ δὲ διπλῆ σημαίνει τὸ μεταβολικῶς τὸ ᾆσμα γεγράφθαι. τούτοις τοῖς σημείοις τοῖς προειρημένοις πλὴν τοῦ ἀστερίσκου καὶ ἑτέροις τισὶν περὶ ὧν λέξομεν ἐν τοῖς δράμασι χρώμεθα. τῇ μὲν οὖν κορωνίδι κατὰ τρόπους τρεῖς ἤτοι ὅταν τῶν ὑποκριτῶν ἀπιόντων τινὰ καὶ ἀπαλλαγέντων καταλείπηται ὁ χορὸς ἢ ἔμπαλιν. ἢ ὅταν μεταβάσεις ἀπὸ τόπου εἰς τόπον γίνεσθαι δοκῇ τῆς σκηνῆς. τῇ δὲ παραγράφῳ ἤτοι κατὰ πρόσωπα ἀμοιβαῖα ἔν τε τοῖς ἰαμβικοῖς καὶ τοῖς χορικοῖς μεταξὺ τῆς τε στροφῆς καὶ τῆς ἀντιστροφῆς. ἐὰν μέντοι ἡ στροφὴ ἐξ ἀμοιβαίων τυγχάνῃ συγκειμένη οὐκ ἐξαρκεῖ πρὸς τὸ δηλῶσαι ὅτι πεπλήρωται ἡ στροφὴ ἡ παράγραφος ἐπιφερομένης ἄλλης στροφῆς. ἐπεὶ καὶ ἐφ' ἑκάστου κώλου οὐδὲν ἧττον τίθεται ἀλλὰ κεῖται καὶ ἡ ἔσω νενευκυῖα διπλῆ. > τοῦτο δὲ ἐὰν ἀντίστροφος ἐπιφέρηται ὡς ἐάν γε μεταβολὴ ᾖ μόνη στροφῶν ἡ ἔξω βλέπουσα τίθεται. εἰπόντων δὲ ἡμῶν ὅτι ἐστί τινα κατὰ περιορισμοὺς ἀνίσους ἀναπαιστικὰ γεγραμμένα. ἃ δὲ ἐν παρόδῳ ὁ χορὸς λέγει ἐφ' ἑκάστου περιορισμοῦ τίθεται ἡ παράγραφος. τῆς δὲ παραβάσεως μερῶν ὄντων ἑπτὰ ἐφ' ἓν ἕκαστον τῶν ἀπολελυμένων τῶν τριῶν τίθεται ἡ παράγραφος. τοῦ

φου καὶ τὸ καλούμενον ἀντεπίῤῥημα ὅπερ ἦν τῶν ἴσων κώλων τῷ ἐπιῤῥήματι.

Περὶ σημείων.

Τὰ σημεῖα παρὰ τοῖς ποιηταῖς ἄλλοις ἄλλως κεῖται. λέγω δὲ ὁποῖα ἐστὶν ἥτε παράγραφος —. καὶ ἡ κορωνὶς ⸎. καὶ ἡ ἔξω νενευκυῖα διπλῆ <. καὶ ἔξω ὁ ἀστερίσκος ※ καὶ εἴ τι ἄλλο τοιοῦτον. παρὰ μὲν οὖν τοῖς λυρικοῖς ἂν μὲν μονόστροφον ᾖ τὸ ᾆσμα ἡ καθ' ἑκάστην στροφὴν τίθεται ἡ παράγραφος εἶτα ἐπὶ τέλους τοῦ ᾄσματος τίθεται ἡ κορωνίς. ἐὰν δὲ κατὰ περικοπὴν τὰ ᾄσματα ᾖ γεγραμμένα ὥστε εἶναι στροφὴν ἀντιστροφὴν καὶ ἐπῳδόν. ἡ παράγραφος μὲν ἐπὶ τῇ τέλους τῆς στροφῆς καὶ ἀντιστροφῆς κεῖται. ἐπὶ δὲ τῇ ἐπῳδῷ κορωνίς. καὶ οὕτως ἡ παράγραφος ἡ διορίζει τά τε ὅμοια καὶ τὰ ἀνόμοια. ἐπὶ μέντοι τῷ τέλει τίθεται ὁ ἀστερίσκος γνώρισμα τοῦ τετελέσθαι τὸ ᾆσμα. ἐπεὶ ἡ κορωνὶς ἐπὶ πασῶν τίθεται τῶν ἐπῳδῶν. καὶ μάλιστα εἴωθεν ὁ ἀστερίσκος τίθεσθαι ἐὰν ἑτερόμετρον ᾖ τὸ ᾆσμα τὸ ἑξῆς ὃ καὶ μᾶλλον ἐπὶ τῶν ποιημάτων τῶν μονοστροφικῶν γίνεται σαπφοῦς τε καὶ ἀνακρέοντος καὶ ἀλκαίου. ἐπὶ δὲ τοῦ ἀλκαίου ἰδίως κατὰ μὲν τὴν ἀριστοφάνειον ἔκδοσιν ἀστερίσκος ἐπὶ ἑτερομετρίας ἐτίθετο μόνος. κατὰ δὲ τὴν νῦν τὴν ἀριστάρχειον καὶ ἐπὶ ποιήματος μεταβολῆς. καὶ ἡ μὲν

ὡς πρὸς τὸ λεγόμενον τῇ στροφῇ προσκεῖται. οἷον τὸ Βακχυλίδου. ἦ καλὸς Θεόκριτος οὐ μόνος ἀνθρώπων ὁρᾷς. καὶ πάλιν παρὰ τῷ αὐτῷ Βακχυλίδῃ· σὺ δ᾽ ἐν χιτῶνι μούνῳ παρὰ τὴν φίλην γυναῖκα φεύγεις. ὅταν μὲν οὖν βραχέα ᾖ τὰ ἐπιφθεγματικὰ, τότε πρόσεστιν αὐτοῖς μόνον. ἐὰν δὲ καὶ τοιαῦτα ὥστε στροφὴν ἐκπληροῦν καὶ προτετάχθαι μὲν τὴν τοῦ ποιητοῦ στροφὴν ἐπιζεῦχθαι δὲ τὴν τῶν ἐπιφθεγμάτων. εἶτα πάλιν τὰ ἴσα κατὰ τὸν αὐτὸν λόγον. ἔσται γὰρ τὸ τοιοῦτον σύστημα κατὰ περικοπὴν ἀνομοιομερῆ. ἔστι δέ τις ἐν ταῖς κωμῳδίαις ἡ καλουμένη παράβασις ἥτις ἐὰν τελεία γράφηται ἐστὶν αὐτῆς μέρη ἑπτά. καλεῖται δὲ παράβασις ἐπειδὴ εἰσελθόντες εἰς τὸ θέατρον καὶ ἀντιπρόσωποι ἀλλήλοις στάντες οἱ χορευταὶ παρέβαινον καὶ εἰς τὸ θέατρον ἀποβλέποντες ἔλεγόν τινα. τὰ δὲ μέρη τῆς παραβάσεως εἰσὶ ταῦτα. κομμάτιον ὃ καὶ παρὰ τοῖς παλαιοῖς ποιηταῖς οὕτως ὠνομάζετο. φησὶ γοῦν Εὔπολις ἀωθὸς τὸ κομμάτιον τοῦτο. δεύτερον δὲ ἡ ὁμωνύμως τῷ ὅλῳ καλουμένη παράβασις. τρίτον τὸ μακρὸν προσαγορευόμενον ὃ καὶ φαμὲν εἶναι ἐπιεικέστερον. οὐ μὴν ἀλλὰ καὶ διὰ τὸ ἀπνευστὶ λέγεσθαι ἔδοξεν εἶναι μακρότερον. ταῦτα μὲν οὖν ἐστὶν ἀπολελυμένα. ἕτερα δέ ἐστι κατὰ σχέσιν γεγραμμένα τό, τε μέλος καὶ τὸ ἐπίρρημα. ὅπερ ὡς ἐπὶ τὸ πλεῖστον ἑκκαίδεκα ἦν στίχων καὶ τὸ τῷ μέλει ἀντίστρο

μεταξὺ οὐ μέντοι ἴσοις μεγέθεσι ταύτην ἐπιζευγνυμένην ἀεὶ οἷα μάλιστα φιλεῖ γίνεσθαι ἐν τοῖς παρόδοις τῶν χορῶν· ἐκεῖ γὰρ μετὰ δέκα ἀναπαιστικὰ οὐ μὴν τῶν ἴσων συζυγιῶν. ἔστι δέ τινα ἐν τοῖς ποιήμασι καὶ τὰ καλούμενα ἐφύμνια ἃ ἀπὸ ταύτης τῆς προσηγορίας τετύχηκεν, ἐπειδὴ ἐφύμνιόν τι εἰώθασιν ἐπάγειν οἱ ποιηταὶ ταῖς στροφαῖς οἷά ἐστι καὶ τὰ τοιαῦτα. ἰὴ ἰὲ παιάν. καὶ ὦ διθύραμβε. ὅταν δὲ τὸ ἐφύμνιον μὴ μετὰ στροφὴν, ἀλλὰ μετὰ στίχον κέηται παραλαμβανόμενον ἄλλῳ στίχῳ μεσύμνιον καλεῖται τὸ ποίημα οἷόν ἐστι τὸ παρὰ σαπφοῖ. ὕψοι δὲ τὸ μέλαθρον ὑμήναον ἀέρατε, τέκτονες ἄνδρες ὑμήναον γαμβρὸς ἔρχεται ἴσως ἄρει. εἰσὶ δὲ ἐν τοῖς ποιήμασι καὶ οἱ ἀρρενικῶς οὕτω καλούμενοι ἐπῳδοί. ὅταν μεγάλῳ στίχῳ περιττόν τι ἐπιφέρηται οἷον πάτερ λυκάμβα ποῖον ἐφράσω τόδε. τίς σὰς παρήειρε φρενάς. καὶ ἔτι δ' ὅτι πρὸς ἄεθλα δῆμος ἠθροίζετο. ἐν δὲ βουθιάδης. ὅταν δὲ ἔμπαλιν ἡ τάξις ἢ προῳδὸς καλοῖτ' ὡς παρὰ ἀνακρέοντι. ἀρθεὶς δηὖτε ἀπὸ λευκάδος πέτρης εἰς πολιὸν κῦμα κολυμβῶ μεθύων ἔρωτι. ὥσπερ δὲ ταῦτα εὑρίσκεται οὕτω γένοιντ' ἂν καὶ μεσῳδοί. ὅταν περιέχῃ μέν τι μεῖζον μεταξὺ δὲ τὸ μεῖον ἢ τὸ τεταγμένον. ἔστι δέ τινα καὶ τὰ καλούμενα ἐπιφθεγματικὰ ἃ διαφέρει ταύτῃ τῶν ἐφυμνίων. ὅτι τὰ μὲν ἐφύμνια καὶ πρὸς νοῦν συντελεῖ. τὰ δὲ ἐπιφθεγματικὰ ἐκ περιττοῦ-

μὲν γὰρ τὴν ἔκδοσιν ὀκτάκωλός ἐστιν ἡ στροφὴ καὶ τὸ ᾆσμα μονοστροφικόν. δύναται δὲ καὶ ἑτέρως διαιρεῖσθαι εἴς τε τριάδα καὶ πεντάδα ἡ στροφὴ ὥστε φερεκράτειον εἶναι τὸ τελευταῖον τοῦ συστήματος τοῦ ἐκ τῶν τριῶν κώλων ἢ τῶν πέντε. δεδειγμένου δ' ἡμῖν τίνα ἐστὶ τὰ ἀπολελυμένα φαμὲν εἴδη ἡ τούτων εἶναι τά, τε ἄστροφα καὶ τὰ ἀνομοιόστροφα καὶ ἄτμητα. ἄστροφα μὲν οὖν ἐστὶν τὰ τηλικούτου μεγέθους ὄντα ἐπ' ἐλάχιστον ὡς μηδὲ στροφῆς ὅλης εἶναι αὐτὰ ὑπονοητικά. ἀνομοιόστροφα δέ ἐστιν ὅσα πάντως διαιρεῖται ἢ κατὰ πρόσωπον ἀμοιβαῖον ἢ χοροῦ πρὸς ἀποκριτὴν ὑπόκρισιν ἢ κατὰ ἐφύμνιον ἢ κατὰ ἐπῳδὸν ἢ κατὰ ἄλλο τι ἀναφώνημα. διαιρεῖται δὲ ἤτοι εἰς δύο ἢ εἰς πλείω. ἐὰν μὲν οὖν εἰς δύο διαιρεθῇ καλεῖται ἑτερόστροφον, ἐὰν δὲ εἰς πλείω ἀνομοιόστροφον. ἄτμητα δέ ἐστι τὰ τηλικαῦτα ὥστε δύνασθαι μὲν τέμνεσθαι μὴ μέντοι τεκμήριόν τι ὑπάρχειν τοῦ τὸν ποιητὴν αὐτὰ μήτε βραχυκαταληξίαν μήτε τι ἕτερον τῶν διοριζόντων τὰ ποιήματα οἷον ἐφύμνιον ἢ ἀναφώνημα. τῶν δὲ ἐξ ὁμοίων τὰ μέν ἐστιν ἀπεριόριστα, τὰ δὲ κατὰ περιορισμοὺς ἀνίσους. ἀπεριόριστα μὲν ὅσα ὁπόσα ὑπὸ τοῦ αὐτοῦ ποδὸς ἢ τῆς αὐτῆς συζυγίας καταμετρούμενα ἢ περιόδου περιγραφὴν οὐδεμίαν ἔχει μεταξύ, ἀλλὰ μέχρι τῆς τελευταίας ὅμοιά ἐστι. κατὰ περιορισμοὺς δὲ ἀνίσους ἐστὶν ὁπόσα ἐξ ὁμοίων συνεστῶτα ἔχει καταληξιν ἢ βραχυκαταληξίαν

ἐν οἷς περιέχει μὲν τὰ ὅμοια μέσου δὲ τὸ ἀνόμοιον τέτακται. παλινῳδικὰ δὲ ἐν οἷς τὰ μὲν περιέχοντα ἀλλήλοις ἐστὶν ὅμοια. ἀνόμοια δὲ τοῖς περιεχομένοις τὰ δὲ περιεχόμενα ἀλλήλοις μὲν ὅμοια ἐστὶν, ἀνόμοια δὲ τοῖς περιέχουσι. περιῳδικὰ δὲ ἐν οἷς τὰ μὲν περιεχόμενα ἀλλήλοις ἐστὶν ὅμοια, τὰ δὲ περιέχοντα οὔτε ἀλλήλοις οὔτε τοῖς περιεχομένοις. κατὰ περικοπὴν δὲ ἐστὶν ἀνομοιομερῆ, ὁπόταν ἐκθέμενος ὁ ποιητὴς ὁποσαδήποτε συστήματα ἐπαγάγῃ ἐκ τῶν αὐτῶν συστημάτων συνεστῶσαν παρακοπήν. ὥστε τὰ μὲν ἐν ἑκατέρᾳ ἢ ἑκάστῃ παρακοπῇ συστήματα, ἀνόμοια εἶναι ἀλλήλοις, τὰς δὲ παρακοπὰς ἀμφοτέρας ἀλλήλαις ὁμοίας ἢ πάσας. ἀντιθετικὰ δὲ ἐστὶν ὁπόταν ὁ ποιητὴς γράφῃ ὁποσαδήποτε κῶλα ὡς ἀνόμοια καὶ ὡς βούλεται. εἶτα τούτοις ἀνταποδῷ τῷ μὲν τελευταίῳ τὸ πρῶτον τῷ δὲ δευτέρῳ ἀπὸ τέλους τὸ β΄. καὶ οὕτω πάντα κατὰ τὸν αὐτὸν λόγον. τοῦτο δὲ τὸ εἶδος παρὰ μὲν τοῖς παλαιοῖς σπανιώτατόν ἐστι. παρὰ δὲ σιμμίᾳ τῷ ῥοδίῳ ἐστὶν οὕτω πεποιημένα ἐν τῷ ἐπιγραφομένῳ ᾠῷ. μικτὸν δὲ ἐστι κατὰ σχέσιν ποίημα ἐν ᾧ ἐστὶ μέρη τινὰ ἅπερ ἔφαμεν εἶναι τοῦ κατὰ σχέσιν εἴδη οἷον λόγου χάριν τό, τε ἐπῳδικὸν καὶ τὸ μεσῳδικόν. κοινὸν δὲ ἐστὶ κατὰ σχέσιν τὸ δύο συστήμασιν ὑποπεπτωκός. καθάπερ τὸ πρῶτον ἀνακρέοντος ᾆσμα. γουνοῦμαί σ' ἐλαφηβόλε ξανθὴ παῖ διός, ἀγρίων δέσποιν' ἄρτεμι θηρῶν. κατὰ

Ὑπολείπεται δ' ἡμῖν περί τε τῶν μικτῶν συστημάτων εἰπεῖν καὶ τῶν κοινῶν συστηματικῶν. λέγομεν τοίνυν ὅτι μικτὰ μέν ἐστι συστηματικὰ ὥσπερ εἴ τις τὴν πρώτην ᾠδὴν ἐν τῷ πρώτῳ Ἀλκαίου καὶ τὴν δευτέραν συνάψειε συστηματικῆς οὔσης αὐτῆς ἑκατέρας. κοινὰ δέ ἐστι συστηματικὰ τὰ δύο εἴδη συνυποπεπτωκότα οἷον συμβέβηκεν ἐπὶ τῶν ἐμὲ δείλαν ἐμὲ πασᾶν κακωτάτην. ἄπειρος μὲν γὰρ τὶς ὢν τῆς τοῦ ποιητοῦ προθέσεως ἐξ ὁμοίων φήσειεν ἂν εἶναι τὸ ᾆσμα. ὁ δὲ ἔμπειρος κατὰ σχέσιν ὡς καὶ ἐν τοῖς ἔμπροσθεν ἐπεδείξαμεν. τῶν δὲ κατὰ σχέσιν τὰ μέν ἐστι μονοστροφικὰ τὰ δὲ ἐπῳδικὰ τὰ δὲ κατὰ περικοπὴν ἀνομοιομερῆ τὰ δὲ ἀντιθετικά· τὰ δὲ μικτὰ κατὰ σχέσιν. μονοστροφικὰ μὲν οὖν ἐστιν ὅσα ὑπὸ μιᾶς στροφῆς καταμετρεῖται καθάπερ τὰ Ἀλκαίου καὶ τῆς Σαπφοῦς. καὶ ἔτι τοῦ Ἀνακρέοντος. ἐπῳδικὰ δέ ἐστιν ἐν οἷς συστήμασιν ὁμοίοις ἀνόμοιόν τι ἐπιφέρεται. τοῦ δὲ ἐπῳδικοῦ γένους τὰ μέν ἐστιν ὁμωνύμως αὐτῷ καλούμενα ἐπῳδικά. ἐπῳδικὰ μὲν οὖν ἐστιν ἐν οἷς ὁμοίοις ἀνόμοιόν τι ἐπιφέρεται δηλονότι ἐπ' ἔλαττον μέντοι τοῦ τῶν τριῶν ἀριθμοῦ οὐκ ἂν γένοιτό τι τοιοῦτον. ἐπὶ πλεῖον δὲ οὐδὲν αὐτὸ κωλύει ἐκτείνεσθαι. γίνεται δὲ ὥσπερ τριὰς ἐπῳδικὴ οὕτω καὶ τετρὰς καὶ πεμπτὰς καὶ ἐπὶ πλεῖον. ὥστε τά γε πλεῖστα Πινδάρου καὶ Σιμωνίδου πεποίηται. προῳδικὰ δέ ἐστιν ἐν οἷς τὸ ἀνόμοιον προτέτακται τῶν ὁμοίων. μεσῳδικὰ δὲ

ἐν οἷς

μένα. τὰ δὲ μετρικὰ ἄτακτα, τὰ δὲ ἐξ ὁμοίων, τὰ δὲ μικτὰ συστηματικά. τὰ δὲ κοινὰ συστηματικὰ περὶ ὧν ἐροῦμεν. κατὰ σχέσιν μὲν οὖν ἐστὶν ἃ δουλεύοντ' ἀποδώσει καὶ ἀνακυκλήσει ὁ ποιητὴς γράφει. ἀπολελυμένα δὲ ἃ εἰκῆ γέγραπται καὶ ἄνευ μέτρου ὡρισμένου οἷοι εἰσὶν οἱ νόμοι οἱ κιθαρῳδικοὶ τιμοθέου. μετρικὰ δὲ ἄτακτά ἐστιν ἅπερ μέτρῳ μὲν γέγραπται τινὶ οὔτε δὲ ὁμοιότητα ἔχει πρὸς ἄλληλα οὔτε ἀνακύκλησιν οἷον ἐστὶ τὸ σιμωνίδου ἐπίγραμμα· ἴσθμια δὶς νεμέα δὶς ὀλύμπια ἐστεφανώθην. οὐ πλάτει νικῶν σώματος ἀλλὰ τέχνα ἀριστόδημος θρασὺ ἀλεῖος πάλαι. τοιοῦτός ἐστι καὶ ὁ μαργίτης ὁμήρου. οὐ γὰρ τεταγμένῳ ἀριθμῷ ἐπῶν τὸ ἰαμβικὸν ἐπιφέρεται. ἐξ ὁμοίων δέ ἐστιν ἅπερ ὑπὸ περιόδων ἢ συζυγίας ἢ περιόδου καταμετρεῖται. ἄνευ ἀριθμοῦ τινὸς ὡρισμένου. ὡς ἐὰν τεταγμένος ἀριθμὸς ἢ οὐχ ἕξειν ἐξ ὁμοίων ἀλλὰ κατὰ σχέσιν ὡς ἐν τῷ παρ' ἀλκαίῳ ᾄσματι οὗ ἡ ἀρχή· ἔμε δείλαν ἔμε πασᾶν κατωτάτων παιδέχοισαν. ἄπειρος μὲν γάρ τις ὢν φήσειεν αὐτὸ ἐξ ὁμοίων εἶναι ἐξ ἰωνικῆς ἀπ' ἐλάσσονος συζυγίας καταμετρούμενον. ἡμεῖς δὲ ἐπειδὴ κατὰ δέκα ὁρῶμεν αὐτὸ συζυγίας καταμετρούμενον κατὰ σχέσιν αὐτὸ γεγράφθαι φαμέν. διόπερ καὶ τὰ μονοστροφικὰ ᾄσματα δέκα ὄντα συζυγιῶν οὕτω πεποιῆσθαι νομίζομεν. ἐστὶ δέ τινα τὰ ἐξ ὁμοίων πεποιημένα οἷον τὰ ἑρμείου παιωνικὰ ὄντα. ἐπάμοι δὶς τριάκοντα βασιλεῦς σχεδὸν καὶ τὰ ἑξῆς·

μῖξιν ὑφίσταται τά, τε μικτὰ γενικὰ προσαγο-
ρευόμενα καὶ τὰ κοινὰ συστηματικά. καὶ μικτὰ μὲν
γενικὰ ὡς αἱ τραγῳδίαι καὶ αἱ παλαιαὶ κωμῳδίαι.
μέρος μὲν γὰρ τούτων γέγραπται κατὰ στίχον·
μέρος δὲ κατὰ σύστημα. κοινὰ δὲ συστηματικὰ
ἅπερ καὶ ὁ κατὰ στίχον γεγράφθαι φάσκων ὑγιῶς
ἂν λέγοι καὶ ὁ κατὰ σύστημα. ὡς τὸ δεύτερον καὶ τρί-
τον Σαπφοῦς. διὰ μὲν γὰρ τὸ ἐν παλαιοῖς ἀντιγρά-
φοις κατὰ δύο ὁρᾶν παραγεγραμμένου ἕκαστον
ᾆσμα. καὶ ἔτι διὰ τὸ μηδὲν εὑρίσκεσθαι ἀριθμοῦ πε-
ριττοῦ κατὰ συστήματα νομίζομεν αὐτὰ γεγρά-
φθαι. πάλιν δὲ τῷ ὅμοιον ἑκάτερον εἶναι τῶν ἐν τῇ
δυάδι διστίχων καὶ τῷ δύνασθαι τὴν ποιήτριαν
κατὰ τύχην τινὰ ἀρτίου πάντα ἀριθμοῦ πεποιη-
κέναι φαίη τις ἂν κατὰ στίχον αὐτὰ γεγράφθαι.
δεδειγμένου δὲ ἡμῖν τί τε ἐστὶ στίχος καὶ τί κόμμα
καὶ τί κῶλον καὶ τί σύστημα ὅμως παρέντες ἡμεῖς
τὴν τοιαύτην ἀκριβολογίαν καὶ ταῦτα καίπερ
κατὰ κόμμα γεγραμμένα κατὰ στίχον γεγρά-
φθαι φαμέν. ἢ παῖς ἢ κατάκλειστος τὴν οἱ φασὶ
τεκόντες εὐγδύους ἀριθμοὺς ἔχειν ἴσον ὀλέθρῳ. τῶν
δὲ κατὰ στίχον τὰ μὲν ἐστὶ μικτὰ τὰ δὲ οὔ. καὶ
μικτὰ μὲν ὡς αἱ Μενάνδρου κωμῳδίαι. πῆ μὲν
γὰρ τετράμετρα ἐν τῷ αὐτῷ ποιήματι πῆ δὲ
τρίμετρα εὑρίσκεται. τὰ δὲ ἄμικτα ὡς αἱ Ὁμή-
ρου ῥαψῳδίαι. τῶν δὲ κατὰ συστήματα γεγραμ-
μένα τὰ μὲν ἐστὶ κατὰ σχέσιν τὰ δὲ ἀπολελυμ-

γέγραπται, οὐ μέντοι κατὰ τὴν αὐτὴν τάξιν παραβάλλονται ἀλλήλοις τὰ ἀντιστρέφοντα. ἀλλὰ τὸ πρῶτον ἀπὸ τέλους τῷ πρώτῳ παραβάλλεσθαι τῷ ἀπὸ τῆς ἀρχῆς, καὶ τὸ δεύτερον ἀπὸ τέλους τῷ δευτέρῳ τῷ ἀπὸ τῆς ἀρχῆς. τὸ δὲ τρίτον ἀπὸ τέλους τῷ τρίτῳ. καὶ ἐπὶ τῶν λοιπῶν οὕτω. ταύτης τῆς ἰδέας ἐστὶ τὸ ᾠὸν τοῦ Σιμμίου καὶ ἄλλα παίγνια. μικτὰ δὲ κατὰ σχέσιν ἐστὶν ὅσα ἐκ μέτρων ἐστὶ ἐκ πάντων μὲν κατὰ σχέσιν. ὁμοίως δὲ ἀλλήλοις κατὰ τὴν ἰδέαν ἔκ τε ἐπῳδικῶν καὶ μονοστροφικῶν ἢ κατὰ παρακοπήν. κοινὰ δέ ἐστι κατὰ σχέσιν ὅσα καθ' ἑτέραν μὲν ἰδέαν τῶν κατὰ σχέσιν γέγραπται. δύναται δὲ καὶ καθ' ἑτέραν γεγράφθαι δοκεῖν, οἷον ἃ μονοστροφικῶς γραφὲν δύναται τοῦτο καὶ ἐπῳδικῶς γεγράφθαι δοκεῖν.

Περὶ στίχου. κῶλον κόμματος καὶ συστήματος.

Στίχος ἐστὶ ποσὸν μεγέθους μέτρον. ὅπερ οὔτ' ἔλαττόν ἐστι τριῶν συζυγιῶν. τὸ δὲ ἔλαττον ὂν τριῶν συζυγιῶν ἐὰν μὲν πλήρεις ἔχῃ τὰς συζυγίας ἀκατάληκτόν ἐστι καὶ καλεῖται κῶλον. ἐὰν δέ τι ἐλλείπῃ κόμμα. σύστημα δέ ἐστι μέτρων συναγωγὴ ἤτοι δύο ἢ πλειόνων ἢ ὁμοίων ἢ ἀνομοίων. ἀνομοίων μὲν ὡς τὰ ἐλεγεῖα. ἑξαμέτρου γάρ ἐστι πρὸς πεντάμετρον κοινωνία καὶ οἱ ἐπῳδοί. τὸ δὲ ἐξ ὁμοίων ὡς τὸ β'. Σαπφοῦς ὡς προϊόντες δείξομεν. ὄντων δὲ τούτων τῶν ἀνωτάτω γενῶν κατὰ τὴν τούτων

ἐπίγραμμα ἰαθμιάδις νεμεάδις ὀλύμπια ἐστεφανώθην. οὐ πλάτει νικῶν σώματος ἀλλὰ τέχνᾳ. ἀριστοδάμας θρασὺς ἀλεῖος πάλαι. μικτὰ δὲ ὅσα μέρος μέν τι ἔχει κατὰ σχέσιν μέρος δέ τι ἀπολελυμένον ἢ ἐξ ὁμοίως κοινὰ δὲ ὅσα καθ᾽ ἑτέραν μὲν ἰδέαν γέγραπται τοῦ σώματος. δύναται δὲ καθ᾽ ἑτέραν γεγράφθαι δοκεῖν. οἷον φέρε εἰπεῖν ἐξ ὁμοίων ὄντα καὶ τὰ σχέσιν δοκεῖν γεγράφθαι. τοσαῦτα μὲν δὴ ταῦτα. πάλιν δὲ ἕκαστον τῶν προειρημένων ὑποδιαιρετέον. τῶν γὰρ κατὰ σχέσιν τὰ μέν ἐστι μονοστροφικὰ τὰ δὲ ἐπῳδικὰ τὰ δὲ κατὰ περικοπὴν ἀνομοιομερῆ. τὰ δὲ ἀπτιθετικά. τὰ δὲ μικτὰ κατὰ σχέσιν. τὰ μὲν οὖν μονόστροφα ἐστιν, ὅσα ὑπὸ μιᾶς στροφῆς καταμετρεῖται. τὰ δὲ ἐπῳδικὰ καλεῖται. ἐὰν δὲ ἐν τῇ α. προῳδικά. ἐὰν δὲ ἐν μέσῳ ὠδικά. ταῦτα μὲν οὖν καὶ ἐν τριάσιν ὁρᾶται ἐὰν δὲ ὑπὲρ ἐξ ἀνάγκη τὴν τριάδα. γίνονται καὶ ἄλλαι ἰδέαι δύο. ἤτοι γὰρ παραπῳδικά ἐστιν. ὅτε αἱ μὲν ἑκατέρωθεν ἀνόμοιαι ὦσιν ἀλλήλαις μὲν ὅμοιαι ταῖς δὲ περιεχούσαις ἀνόμοιαι, ἢ παλινῳδικὰ ὅταν αἱ ἑκατέρωθεν ἀλλήλαις μὲν ἀνόμοιαι ὦσιν. τὰ δὲ κατὰ περικοπὴν ἀνομοιομερῆ. τὰς δὲ περικοπὰς ὁμοίας ἀλλήλαις ἔχει τὰς δὲ ἐν ταῖς περικοπαῖς περιόδους ἀνομοίους. καλεῖται δὲ τὰ μὲν δυαδικὰ ὅσα δύο τὰς ἐν τῇ περικοπῇ περιόχους ἔχει. τὰ δὲ τριαδικὰ ὅσα τρία τὰ δὲ τετραδικὰ ὅσα τέσσαρα. καὶ ἐπὶ τῶν ἑξῆς κατὰ τὸν αὐτὸν λόγον. ἀπτιτετικὰ δὲ ὅσα κατὰ θέσιν μὲν

τὰ ὁμήρου καὶ τὰ ἐπῶν ποιῶν. ἔστι καὶ ὑπὸ κώλου ἢ κόμματος. ὡς τὸ καλλιμάχειον τοῦτο ποίημάτιον. ἢ παῖς ἢ κατάκλειστος τοὶ οἱ φασὶ τικόντες. καταμετρεῖται γὰρ ὑπὸ κόμματος αἰτιωαστικοῦ καλουμένου φερεκρατείου. συστηματικὰ δὲ ὅσα ὑπὸ πλειόνων μέτρων εἰς ἓν σῶμα παραληφθέντα καταμετρεῖται. ἢ συμπληροῦται. μικτὰ δὲ ὅσα μέρος μὲν τοι ἔχει ὑπὸ στίχου καταμετρούμενον. μέρος δὲ συστηματικόν. κοινὰ δὲ ὅσα ὑπὸ συστήματος μὲν καταμετρεῖται αὐτὸ δὲ τὸ συστηματικὸν ἐστὶ πληρούμενον. οἷα ἐστὶ τὰ ἐν δευτέρῳ καὶ τρίτῳ σαπφοῦς ἐν οἷς καταμετρεῖται μὲν ὑπὸ διστιχίας αὐτὴ δὲ ἡ διστιχία ὅμοια ἐστὶ κατὰ σχέσιν ἃ δὲ ἀπολελυμένα τὰ μὲν ἐξ ὁμοίων τὰ δὲ μετρικὰ ἄτακτα. τὰ δὲ μικτὰ τὰ δὲ κοινά. καὶ κατὰ σχέσιν μὲν ὅσα μετρεῖται ὑπὸ συστήματος. καλεῖται δὲ οὕτως διὰ τὸ ἔχειν τινὰ πρὸς ἄλληλα σχέσιν τὰ ἐν τῷ ποιήματι συστήματα ἐν τῷ καταμετρεῖσθαι. ἐξ ὁμοίων δὲ ὅσα ἐκ τοῦ αὐτοῦ ποδός ἐστιν ἢ τῆς αὐτῆς περιόδου ἀρχικῆς. οὔτε ὑπὸ στίχου οὔτε ὑπὸ συστήματος καταμετρούμενα. μετρικὰ δὲ ἄτακτα ὅσα ἐκ μέτρων μὲν ὁμολογούμενα συνέστη. τάξιν δὲ καὶ ἀνακύκλησιν οὐκ ἔχει οὔτε κατὰ στίχον οὔτε κατὰ συστήματα οἷός ἐστὶν ὁ μαργίτης ὁ εἰς ὅμηρον ἀναφερόμενος. ἐν ᾧ παρέσπαρται τοῖς ἔπεσιν ἰαμβικὰ καὶ ταῦτα οὐ κατ᾽ ἴσον σύστημα. τοιοῦτόν ἐστι καὶ τὸ σιμωνίδιον

πωκατὰ μὲν βριμούμενοι πόλιν δ' ἐπράθομεν·
προφανὴς γλουκουδ' ἔτις αἰδὼν πελέκεσι. διο-
νεῖται. τάχα δὲ καὶ τὸ κωμικὸν τὸ καλούμενον
ἐπιωνικὸν πολυσχημάτιστον συνέθεσαν. μάλιστα
δ' ἐν αὐτῷ ἀταξία πολλή· ἡ τοὺς σπονδείους ἐπ'
ἀρτίοις χώρας ἔχουσα τῶν ἰαμβικῶν συζυγιῶν· οἷον
παρ' εὐπόλιδι· ἐν χρυσῷ γένει· ὦ καλλίστη πόλι πα-
σῶν ὅσας κλέων ἐφορᾷ· ὡς εὐδαίμων πρότερόν τ'
ἦσθα, νῦν δὲ μᾶλλον ἔσῃ. καὶ τὸ εὐπολίδειον τὸ
καλούμενον ἀπὸ χοριαμβικὸν πολυσχημάτιστόν
ἐστι. ἐν ᾧ τὰς τροχαϊκὰς παρὰ τάξιν ποιοῦσι
δέχεσθαι τὸν σπονδεῖον. ἐνίοτε δὲ καὶ ἀντισπα-
στικὸν καθαρὸν ποιοῦσιν· οἷον· εὐφράνας ἡμᾶς. ἀπο-
πέμπω οἴκαδ' ἄλλον ἄλλοσε. ὁ σώφρων τε χ' ὡ
καταπύγων ἄριστ' ἠκουσάτην. καὶ τὸ κρατίνειον
δὲ τὸ ἀσυνάρτητον ἐκ χοριαμβικοῦ καὶ τρο-
χαϊκοῦ πολυσχημάτιστόν ἐστι. ἀρκέσει τοῦτο δεῖ-
ξαι ἡ παράβασις ἡ ἐν τοῖς ἀστρατεύτοις εὐπόλι-
δος πᾶσα. ἵνα μὴ νῦν μηκύνωμεν παραδείγμα-
τα παρατιθέμενοι τοσαῦτα περὶ μέτρων. περὶ δὲ
ποιήματος ἑξῆς ῥητέον.

Περὶ ποιημάτων.

Τῶν ποιημάτων τὰ μέν ἐστι κατὰ στίχον τὰ δὲ συ-
στηματικά. τὰ δὲ μικτά. τὰ δὲ κοινά. κατὰ στίχον
μὲν ὅσα ὑπὸ τοῦ αὐτοῦ μέτρου καταμετρεῖται. ὡς

φαλλικῶν δύο ἡ Σαπφὼ πεποίηκε. δεῦρο δηὖτε μοῖσαι χρύσεον λιποῖσαι. καὶ τὸ δ' ἐκ χοριαμβικῶν ἑφθημιμερῶν τῶν εἰς τὴν ἰαμβικὴν κατακλεῖδα ἡ αὐτὴ ποιεῖ τρία. ὄλβιε γαμβρέ. σοὶ μὲν δὴ γάμος ὡς ἄραο ἐκτετέλεσ' ἔχεις δὲ παρθένον αἰάρας, καὶ ὁ νοῦς συνῆψε τὴν λέξιν. μελίχρος δ' ἐπιμερτῷ κέχυται προσώπῳ τοσαῦτα περὶ τῶν ἀσυναρτήτων.

Περὶ πολυσχηματίστων.

Πολυσχημάτιστα δὲ καλεῖται ὅσα κατ' ἐπιλογισμὸν μὲν οὐδένα πλῆθος ἐπιδέχεται σχημάτων. κατὰ προαίρεσιν δὲ ἄλλως τῶν χρησιμωτάτων. ποιητῶν. τούτων δὲ ἐπισημότατα τάδε τὸ πριάπειον οὐ μόνον τῇ ἰαμβικῇ δευτέρᾳ χρώμενον ἀλλὰ καὶ χοριαμβικῇ. καὶ τὸν αἰτίπασαν. ἔσθ' ὅτε τὸν πρῶτον τοῦ παντὸς μέτρου εἰς σπονδεῖον περαιοῦσιν ἐάν τε ἀπὸ ἰάμβου ἄρχεται, ἐάν τε ἀπὸ τροχαίου. κατὰ τὸ δεδομένον. ἐάν τε ἀπὸ σπονδείου οἷον παρ' Εὐφορίωνι τῷ Χερρονησιώτῃ. οὐ βέβηλος ὦ τελεσταὶ τοῦ νέου Διονύσου. κἀγὼ δὲ ἐξ Εὐεργεσίης ὠργιασμένος ἥκω. ὁ δ' Εὐων πηλυσιακὸν παρὰ λοῖτμα. ὁμοίως δὲ καὶ ἐπὶ τῶν γλυκωνείων τοιαῦτα σχήματα παραλαμβάνεται. οἷον ἐν τοῖς Κορίννης γόροια ἄσομθύα Ταναγρίδεσι λευκοπέπλους. μεγάδ' ἐμὴ μέγα δὲ πόλις λιγουροκοτίλης ἐνοπῆς. ὧδε καὶ τόδε. καὶ πεντήκοντα ὁ ὑψιβίας. ἔτι δὲ καὶ πλείοσιν αὐτῇ κέχρηται σχήμασι. δούρατος ὥστ' ἐφ' ἵπ-

δ' ἐκ κισσοῦ χαῖτ' αἶξ. χαῖρ' ἔφασκ' ἐκ φαυτίδος πάντα φορητὰ πάντα τολμητὰ τῷδε τῷ χορῷ πλὴν ξενίου νόμοισι καὶ χοιρίωνος ὦ χάρον. τὸ μὲν οὖν καθαρὸν κρατίνειον τοιοῦτόν ἐστι. πολυσχημάτιστον δὲ αὐτὸ πεποιήκασιν οἱ κωμικοί, τοὺς γὰρ σπονδείους τοὺς ἐμπίπτοντας ἐν τοῖς ἰαμβικοῖς καὶ τοῖς τροχαϊκοῖς παρὰ τάξιν παραλαμβάνουσιν ἐν ταῖς μέσαις συζυγίαις τῇ τροχαϊκῇ καὶ τῇ ἰαμβικῇ. εὔπολις δὲ ἐν τοῖς ἀστρατεύτοις καὶ ἀτακτότατα συνέθηκε τὸ εἶδος. πῆ μὲν γὰρ τοιαῦτα ποιεῖ. ἄνδρες ἑταῖροι δεῦρ' ἤδη τὴν γνώμην προσέχετε. εἰ δυνατὸν καὶ μή τι μεῖζον πράττουσα τυγχάνει. πῆ δὲ τοιαῦτα καὶ ξυνεγινόμην αὐτοῖς ἀγαθοῖς φάγροισιν ὥσθ' ὅλον αὐτὸ χοριαμβικὸν ἐπίμικτον γενέσθαι ὅμοιον ἀνακρεοντείῳ τῷδε. σίμετρον εἶδον ἐν χορῷ πηκτίδ' ἔχοντα καλήν. πῆ δὲ καὶ ἐν ἄλλοις ἐχρήσατο λίαν ἀτάκτοις σχήμασι. καὶ τὸ ἐκ τῶν ἀντιπαστικῶν δὲ καταληκτικὸν δίμετρον δικατάληκτον ὁ φερεκράτης ἐν ὥσας σύμπτυκτον ἀνάπαιστον καλεῖ ἐν τῇ κοριαννοῖ. ἄνδρες πρόσχετε τὸν νοῦν συμπτύκτοις ἀναπαίστοις. καὶ τὸ ἐκ τῶν ἰαμβικῶν ἑφθημιμερῶν δικατάληκτον καλλίμαχος. δήμητρι τῇ πυλαίῃ τῇ τούτων ὁ πελασγῶν. ὅπερ προέταξεν αὐτοῦ συνθέτου τοῦ ἐκ δακτυλικῆς τετραποδίας ἢ ἰθυφαλλικοῦ τοῦδε. ἀκρίσιος τὸν υἱὸν ἐδείματο. ταῦθ' ὁ κωυκρατίτης, καὶ τὸ ἐξ ἰθυ-

πίδη. ἕως ἡνίχ' ἱππότας ἔλαμψεν ἀστήρ. πα-
ρὰ δὲ καλλιμάχῳ. ἔνεστ' ἀπόλλων τῷ χορῷ τῆς
λύρας ἀκούω. καὶ τῶν ἐρώτων ᾐσθόμην. ἔστι κα-
φροδίτη. ἄλλο ἀσυνάρτητον ὁμοίως κατὰ τὴν
πρότην ἀντιπάθειαν ἐκ τροχαϊκοῦ διμέτρου ἀ-
καταλήκτου καὶ ἰαμβικοῦ ἑφθημιμεροῦς. ὅπερ
ἐὰν παραλλάξῃ τὴν τομὴν γίνεται τροχαϊκὸν προ-
καταληκτικόν. ἔστι μοι καλὰ παῖς χρυσέοισιν ἀν-
θέμοισιν ἐμφερῆ ἔχουσα μορφὰν κλεὶς ἀγαπα-
τά. ἀντὶ τᾶς ἐγὼ οὐ λυδίαν πᾶσαν οὐδ' ἐραννάν.
τούτων δὲ τὸ μὲν β'. δῆλόν ἐστιν ἀπὸ τῆς το-
μῆς ὅτι οὕτως σύγκειται ὡς προείρηται ἐκ τοῦ
τροχαϊκοῦ διμέτρου ἀκαταλήκτου καὶ τοῦ ἑφθη-
μιμεροῦς ἰαμβικικοῦ. τὸ δὲ πρῶτον διὰ τὸ πρὸ
συλλαβῆς ἔχειν τὴν τομὴν ἐγένετο. προκατα-
ληκτικὸν ἐκ τροχαϊκοῦ ἑφθημιμεροῦς ἔστι μοι κα-
λὰ παῖς. καὶ διμέτρου ἀκαταλήκτου τοῦ χρυσέοι-
σιν ἀνθέμοισιν. τὸ δὲ τρίτον ἐξ ὑπερκαταλή-
κτου. ἀντὶ τᾶς ἐγὼ οὐ λυδίας, καὶ βραχυκα-
ταλήκτου. πᾶσαν οὐδ' ἐραννάν. ἀνακρέων δὲ οὐκ
ἰαμβικῷ ἀλλὰ χοριαμβικῷ ἐπιμίκτῳ πρὸς τὰς ἰαμ-
βικὰς ἐπήγαγε δ' ἰθυφαλλικόν. τὸν λυροποιὸν ἡρό-
μην στράττιν εἰ κομήσει. τούτου δὲ μεῖζόν ἐστι συλλα-
βῇ τῇ τελευταίᾳ τὸ καλούμενον κρατίνειον. ἔστι
γὰρ ἐκ χοριαμβικοῦ ἐπιμίκτου τὴν δευτέραν ἰαμ-
βικὴν ἔχοντος καὶ τροχαϊκοῦ ἑφθημιμεροῦς.

μὲν α΄. σπονδεῖον τὸν δὲ β΄. δάκτυλον. παρ' ἣν αἰτίαν τὸ μὲν β΄. ἀεὶ διπλασιαζόμενον τὴν ἐλεγείαν ποιεῖ. τὸ δὲ α΄. οὐκέτι ἐὰν μὴ ἐκ δύο δακτυλικῶν συνεστήκῃ. οἷον νηΐδες αἳ μούσῃς οὐκ ἐγένοντο φίλοι. τὸ μὲν β΄. διπλασιασθὲν ποιεῖ ἐλεγείαν. τὸ δὲ πρότερον οὔ. ὥστε αὐτὸ ποτὲ μὲν τέσσαρες καὶ δεκασύλλαβον ποτὲ δὲ δωδεκασύλλαβον. καὶ τοῦ μὲν τέσσαρες καὶ δεκασυλλάβου ἓν σχῆμα. παύσατε τῶν δ' ἐτέων ἡ δεκὰς οὐκ ὀλίγη. ὁμοίω δὲ τοῦ δωδεκασυλλάβου ἕν. τίκτεσθαι. βρονταῖν δ' οὐκ ἐμὸν ἀλλὰ διός. τοῦ δὲ τρὶς καὶ δεκασυλλάβου δύο σχήματα. ποτὲ μὲν πρῶτος ὁ δάκτυλος. νηΐδες αἳ μούσῃς οὐκ ἐγένοντο φίλοι. ποτὲ δὲ β΄. ῥέζειν καὶ στεφέων δύ' ἅδε τῷ παρίῳ. δεῖ δὲ τὸ ἐλεγεῖον τέμνεσθαι πάντως καθ' ἑκάτερον τῶν πενθημιμερῶν. εἰ δὲ μὴ ἔσται πεπλημμελημένον. οἷον τὸ καλλιμάχου ἱερά. νῦν δὲ διοσκουρίδεω γενεή. ἄλλο ἀσυνάρτητον ὁμοίως κατὰ τὴν α΄. ἀντιπάθειαν ἐξ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου καὶ τροχαϊκοῦ ἑφθημιμεροῦς τοῦ καλουμένου εὐριπιδείου. οἷον τὸ ἐν τοῖς ἀναφερομένοις εἰς ἀρχίλοχον. ἰοβάκχοις δήμητρος ἁγνῆς καὶ κόρης τὴν πανήγυριν σέβων, ἄλλο τοῦτο ἔλαττον κατὰ τὴν τελευταίαν συλλαβὴν τὸ καλούμενον εὐριπίδειον τέσσαρες καὶ δεκασύλλαβον. οἷον παρὰ μὲν αὐτῷ εὐρι-

» ἀρχή. ἢ ἐστὶ δίνομηνὴ τῷ τυῤῥάκκω τάρμενα
» λαμπρὰ κέατ' ἐν μυρσίνῳ. κέχρηται δὲ καὶ ἀνακρέ-
» ων ἐν πλείοσιν ᾄσμασιν. ὁ ῥοσόλεπτος μὲν ἄρης φιλέ-
» ειν μὲν αἰχμαί. τὸ δὲ ἀντεστραμμένον τούτῳ, ἰαμ-
» βέλεγος καλεῖται. τούτῳ δὲ ἐν συνεχείᾳ οὐκ ἴσ-
μεν τινὰ κεχρημένον. διεσπαρμένως δέ. πρῶτον
μὲν εὔβουλον θέμιν οὐρανίαν κείνων λυθέντων σαῖς
ὑπὸ χερσὶν ἄναξ. γίνεται δὲ καὶ τριπενθημιμερὲς
ἐκ τούτων τὸ καλούμενον πλατωνικόν. ἐν ᾧ τὰ μὲν
ἑκατέρωθεν δύο δακτυλικά εἰσι πενθημιμερῆ. τὸ
δὲ μέσον ἰαμβικόν. κέχρηται δὲ αὐτῷ πλάτων ἐν ξαν-
» τρίαις. χαῖρε παλαιογόνων ἀνδρῶν θεατῶν ξύλλο-
» γε παντοσόφων. ἀντεστραμμένον δὲ ἐστι τούτῳ τὸ
» πινδαρικὸν καλούμενον ὅς καί τι πῶς ἀγνῶ πέ-
» λεκει τίκετο ξανθὰν ἀθάναν. σοφοὶ δὲ καὶ τὸ μηδὲν
» ἄγαν ἔπος αἴνησαν περισσῶς.

Περὶ ἐλεγείου μέτρου.

Τοῦ δὲ δακτυλικοῦ πενθημιμεροῦς δύο λαμ-
βανομένου γίνεται τὸ ἐλεγεῖον ἀλλὰ τὸ μὲν δεύτε-
ρον αὐτοῦ μέρος ἑπτασύλλαβον ἀεὶ μένει. ἐκ δύο
δακτύλων καὶ συλλαβῆς. τὸ δὲ πρότερον κινου-
μένοις ἔχει τοὺς δύο πόδας. ὥστε ἢ δακτύ-
λους αὐτοῖς γενέσθαι ἢ σπονδείους. ἢ τὸν μὲν α.
δάκτυλον τὸν δὲ β. σπονδεῖον ἢ ἀνάπαλιν. τὸν

γεγονέναι διὰ τὴν ἐν ἑκατέρῳ ἰωνικὴν διαίρεσιν. ὥστε τὰς προειρημένας δύο μόνας εἶναι διαφορὰς τοῖς νεωτέροις πρὸς τὸν ἰαμβοποιὸν ἀρχίλοχον. κρατῖνος δὲ ὅταν λέγῃ ἐν τοῖς ἀρχιλόχοις· ἑρμονίδη βαθύπυγε ἀωρολείων τοῦτο τὸ μέτρον ἀγνοεῖ. ὅτι οὐκ ἄντικρυς μιμεῖται τοῦ ἀρχιλόχου τὸ ἐρασμονίδην. ἐν μὲν δὴ τοῦτο τῶν παρ' ἀρχιλόχῳ ἀσυναρτήτων· ἄλλο δὲ τὸ ἐκ δακτυλικῆς τετραποδίας καὶ τοῦ αὐτοῦ ἰθυφαλλικοῦ. οὐκ ἔθ' ὁμῶς θάλλεις ἁπαλὸν χρόα· κάρφεται γὰρ ἤδη. γίνεται δὲ ὁ τελευταῖος τῆς τετραποδίας διὰ τὴν ἐπὶ τέλους ἀδιάφορον καὶ κρητικός, καὶ βήσσας ὀρέων δυσπαιπάλους οἷος ἦν ἐπ' ἥβης. τοῦτο παρὰ τοῖς νεωτέροις πολὺ τὸ μέτρον ἐστίν· ὥσπερ καὶ παρὰ καλλιμάχῳ· τόν με παλαιστρίται ὀμόσας θεὸν ἑπτάκις φιλήσειν. παρὰ δὲ κρατίνῳ ἐν τοῖς σερίφοις οὐκέτι ἀκατάληκτόν ἐστι τὸ δακτυλικὸν τὸ ἡγούμενον τοῦ ἰθυφαλλικοῦ. ἀλλὰ καταληκτικὸν εἰς δισύλλαβον. χαίρετε πάντες θεοὶ πολύβωτον παντοῖαν σέριφον. τρίτον δέ ἐστι παρὰ ἀρχιλόχῳ ἀσυνάρτητον ἐκ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου. ἀλλά μ' ὁ λυσιτελὴς ὦ ἑταῖρε δάμναται πόθος. ἔνδοξόν ἐστι καὶ ἐπισύνθετον καὶ τὸ διπενθημιμερὲς δ' ἐγκωμιολογικὸν καλούμενον ὅπερ ἐκ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ τοῦ ἴσου. ᾧ κέχρηται μὲν καὶ ἀλκαῖος ἐν ᾄσμασιν οὐ ἤ

παιστοῦ καίγ' ἀπὸ δακτύλου ἀρχομένου τὸ ἀναπαιστικὸν ὡς ἰωνικοῦ λελυμένου παραλαμβάνεσθαι. τοῦ δὲ ἑξῆς χοριάμβου γινομένου, διὰ τὸ καὶ ἀπὸ ἰάμβου ἄρχοντος ἐν τῷ ἀναπαιστικῷ ὡς παρ' ἀρχίλοχος ἐν τῷ ἐρμονίδη χαρίλαε. ὡς δυναμένου καὶ τοῦ παίωνος δευτέρου ἀντὶ ἰωνικοῦ τοῦ ἀπὸ μείζονος παραλαμβάνεσθαι ἵνα μὴ ἀπεοικὸς τῷ προσοδιακῷ γένηται τὸ ἀναπαιστικὸν παραιτοῦνται τοίνυν τοὺς ἐν μέσῳ σπονδείους ἵνα μὴ ἀλλότριον γένηται τὸ ἀναπαιστικὸν τοῦ προσοδιακοῦ ὅπερ ἐστὶν ἐξ ἰωνικοῦ καὶ χοριαμβικοῦ. δύναται δέ τις βιαζόμενος καὶ ἑξῆς ὄντων δύο σπονδείων ὡς παρὰ ἀρχιλόχῳ ἀστῶν δ' οἱ μὲν κατόπισθεν. τὸν πρῶτον σπονδεῖον καὶ τὴν τοῦ δευτέρου συλλαβὴν μολοσσὸν ποιήσας καὶ λαβὼν αὐτὸν ἀντὶ ἰωνικοῦ τοῦ ἀπὸ μείζονος, τὸν ἑξῆς χορίαμβον ποιῆσαι. εἰ μὴ ἄρα ἐν τῷ προσοδιακῷ ἡ συναίρεσις τοῦ ἰωνικοῦ τουτέστιν ὁ μολοσσὸς μὴ ἐμπίπτοι. ὑπονοήσειε δ' ἄν τις καὶ τρίτην εἶναι διαφορὰν τῷ ἀρχιλόχῳ πρὸς τοὺς μετ' αὐτόν. καθ' ἣν ἀναπαίστῳ δοκεῖ τῷ πρώτῳ χρῆσθαι. ἐρέω πολὺ φίλταθ' ἑταίρων τέρψεαι δ' ἀκούων φιλέειν στυγνόν περ ἐόντα μὴ δὲ διαλέγεσθαι. ᾧ οὐκ ἐχρήσαντο ἐκεῖνοι. φαίνεται δὲ οὐδ' αὐτὸς κεχρημένος δύναται γὰρ ἀμφότερα κατὰ συνεκφώνησιν εἰς ἴαμβον περιίστασθαι. ἡ δὲ τοῦ ἀναπαίστου φαντασία

ἐποίησεν ἐκ τε ἀναπαιστικοῦ ἑφθημιμεροῦς καὶ τροχαϊκοῦ ἢ μιολίου τοῦ καλουμένου ἰθυφαλλικοῦ· ἐρασμονίδη χαρίλαε χρῆμα τοι γελοῖον. ὕστερον δὲ οἱ μετ' αὐτὸν οὐχ ὁμοίως αὐτῷ ἔγραψαν. οὗτος μὲν γὰρ τῇ τομῇ δι' ὅλου κέχρηται τοῦ ἑφθημιμεροῦς καὶ σπονδείους παρέλαβεν ἐν τῷ ἀναπαιστικῷ κύκλῳ οἷον· ἀστῶν δ' οἱ μὲν κατόπισθεν ἦσαν οἱ δὲ πολλοί. οἱ δὲ μετ' αὐτὸν τῇ μὲν τομῇ ἀδιαφόρως ἐχρήσαντο. ὥσπερ κρατῖνος. χαῖρ' ὦ μέγ' ἀχρειόγελως ὁ μὲν ταῖς ἐπιβδαῖς τῆς ἡμετέρας σοφίας κριτὴς ἄριστε πάντων, εὐδαίμον' ἔτικτέ σε μήτηρ ἰκρίων ψόφησιν. ἐνταῦθα γὰρ ὁμοίως τὸ τρίτον τέτμηται τοῖς ἀρχιλοχείοις τὰ δὲ πρὸ αὐτοῦ δύο πρὸ συλλαβῆς. καὶ μέντοι καὶ τοὺς σπονδείους παρῃτήσαντο τοὺς ἐν τῷ μέσῳ οἱ μετὰ τὸν ἀρχίλοχον. οὐχ ὡς ἀναπαιστικὸν ἡγούμενοι ἀλλὰ προσοδιακὸν τὸ ἐξ ἰωνικῆς καὶ χοριαμβικῆς τῆς ἰωνικῆς βραχεῖαν τὴν πρώτην δεχομένης. δύναται δὲ καὶ εἰς τρίτον ἀνάπαιστον διαιρεῖσθαι εἰ ἀπὸ σπονδείων ἄρχοιτο. οἷον τὸ σαπφοῦς. αὐτὰ δὲ σὺ καλλιόπα. τοῦ προσοδιακοῦ ἓν καὶ τοῦτο εἶδος τὸ ἐξ ἰωνικοῦ καὶ χοριαμβικοῦ συγκείμενον. τὸ τοίνυν ἀναπαιστικὸν εἴτις οὕτω διαιρεῖ διαιρέσει τῷ προσοδιακῷ ἐφαρμόζον. ἐὰν μὲν γὰρ σπονδεῖον ἔχῃ τὸν α΄. τοὺς ἑξῆς ἀναπαίστοις τὰς τοῦ δευτέρου ἀναπαίστου δύο βραχείας προτιθεὶς τῷ σπονδείῳ ποιήσει ἰωνικὸν ἀπὸ μείζονος. οἷς ἑξῆς χορίαμβον. δύναται δὲ καὶ ἀπὸ ἀνα

ἡ δὲ δευτέρα παιωνικὴν τὴν δὲ τρίτην τροχαϊκὴν ἑξάσημον ἢ ἑπτάσημον εἶτα τὴν ἐκ τροχαίου καὶ τῆς ἀδιαφόρου κατάκλειδα οἷον. τοιοῦτος εἰς θήβας παῖς ἅρματα ποσὶ χήμενος, μόλις μὲν ἐννήλεπτον ἔχεις ἐπ' ἀτράκτῳ λίνον. κανὼν δὲ αὐτοῦ οὗτος.
ᾱβ. ᾱβ. β̄β. ᾱα. βᾱ. βᾱ. βᾱ. ᾱβ. β̄β. ᾱβ.
β̄β. ᾱα. βᾱ. βᾱ. βᾱ. ᾱβ. ᾱβ. β̄β. ᾱβ. ᾱα.
βᾱ. βᾱ. βᾱ. ᾱβ. β̄β. ᾱβ. αβᾱ. ᾱ. βᾱ. βᾱ.
βᾱ. ᾱβ. ἀπ' ἐλάττονος δὲ ἐπιωνικὸν τρίμετρον ἀκατάληκτόν ἐστι παρ' ἀλκμᾶνι ὃ τὴν μὲν πρώτην ἔχει ἰαμβικὴν ἑξάσημον ἢ ἑπτάσημον. τὰς δὲ ἑξῆς δύο ἰωνικὰς ἑξασήμους καθαρὰς οἷον πολύσσον. αἷ γὰρ ἀπόλλων ὁ λύκιος ἰνὼ σάλας ὁ μίδοισαν ἀπομάσδων. κανὼν δὲ αὐτοῦ οὗτος. ᾱβ. ᾱβ.
ᾱα. β̄β. ᾱα. β̄β. β̄β. ᾱβ. ᾱα. β̄β. ᾱα. β̄. βᾱ.
καθαροῦ μὲν ὄντος τοῦ ἰωνικοῦ τοῦ ἀνακλωμένου δὲ ὄντος αὐτοῦ προταχθεῖσα ἰαμβικὴ ἑξάσημος ποιεῖ τὸν τοιοῦτον οἷον παρὰ σαπφοῖ. ἔχει μὲν ἀνδρομέδα καλὰν ἀμοιβὰν ψάφοι τὰν πολύολβον ἀφροδίταν. κανὼν δὲ αὐτοῦ οὗτος. ᾱ. β̄. ᾱ. β̄. ᾱ. ᾱ.
β̄. ᾱ. β̄. ᾱ. β̄. β̄. ᾱ. β̄. β̄. ᾱ. ᾱ. ᾱ. ᾱ. β̄. ᾱ.
β. β̄. α'.

Περὶ ἀσυναρτήτων.

Γίνεται δὲ καὶ ἀσυνάρτητα ὁπόταν δύο κῶλα μὴ δυνάμενα ἀλλήλοις συναρτηθῆναι μηδὲ ἕνωσιν ἔχειν ἀντὶ ἑνὸς μόνου παραλαμβάνηται στίχου. πρῶτος δὲ καὶ τούτοις ἀρχίλοχος κέχρηται τῇ μὲν γὰρ

λούμενον πινδαρικὸν ἑνδεκασύλλαβον· ὃ τὴν μὲν πρώτην ἀντισπαστικὴν ἔχει· τὰ δὲ λοιπὰ ὁμοίως τῷ σαπφικῷ χοριαμβικὴν καὶ ἰαμβικὴν κατάκλειδα· οἷον ὁ μουσαγέτας με καλεῖ χορεῦσαι ἄγρις ὦ κλυτὰ θεράποντα λατοῖ.

Περὶ ἐπιωνικοῦ.

Ἐπιωνικὸν δὲ ἀπὸ μείζονος τρίμετρον καταληκτικόν ἐστι τὸ καλούμενον ἀλκαϊκὸν ἑνδεκασύλλαβον· ὃ τὴν μὲν πρώτην συζυγίαν ἔχει ἰαμβικὴν ἤτοι ἑξάσημον ἢ ἑπτάσημον· τὴν δὲ δευτέραν ἰωνικὴν ἀπὸ μείζονος ἢ δὲ δευτέραν παιωνικήν· τὴν δὲ κατάκλειδα ἐκ τροχαίου καὶ τῆς ἀδιαφόρου· οἷον ἄναξ ἄπολλον παῖ μεγάλοιο διὸς μελάγχρος ἀιδὼς ἄξιος εἰς πόλιν· ὥστε εἶναι σχήματα μὲν αὐτοῦ δʹ. κανόνα δὲ τοιόνδε. ᾱβ. ᾱβ. ββ̄. ᾱα. βᾱ. ᾱβ. β̄β. ᾱβ. β̄β. ᾱα. βᾱ. ᾱβ. ᾱβ. ᾱβ. ᾱβ. ᾱα. βᾱ. ᾱβ. β̄β. ᾱβ. ᾱ.β. ᾱα. βᾱ. ᾱβ. τρίμετρον δὲ ἀκατάληκτον τὸ τούτου περιττεῦον συλλαβῇ τῇ τελευταίᾳ· καλούμενον δὲ ἀλκαϊκὸν δωδεκασύλλαβον· οἷον· ἰόπλοκ' ἄγνα μελλιχόμειδε σαπφοῖ· καὶ ἐστὶν ὁ κανὼν οὗτος· ᾱβ. ᾱβ. β̄β. ᾱα. βᾱ. β̄. ᾱβ. β̄β. ᾱβ. ᾱβ. ᾱα. βᾱβ. ᾱβ. τετράμετρον δὲ καταληκτικὸν ἐπιωνικὸν ὃ τὴν μὲν πρώτην ἔχει ἰαμβικὴν ἤτοι ἑξάσημον ἢ ἑπτάσημον· τὴν δὲ δευτέραν ἰωνικὴν

ἢ καί που ποτὲ ἐμπέσοι οὖν βραχὺ εὑρίσκεσθαι οἷον. ὁ ταῦρος δ' ἔοικε κορύξειν τὴν ἀρχήν. φθάσαντος δ' ἐν τοῖς ἔργοις προσῳδήσεται νῦν τοσαῦτα περὶ τῶν ἐννέα μονοειδῶν καὶ ὁμοειδῶν μέτρων.

Περὶ τῶν κατ' ἀντιπάθειαν μίξεων.

Τῆς δὲ κατὰ ἀντιπάθειαν μίξεως νῦν τὰ πυκνότατα παραθησόμεθα, ἐπὶ χοριαμβικὸν μὲν οὖν τὸ σαπφικὸν καλούμενον ἑνδεκασύλλαβον οἷον ποικιλόθρον' ἀθάνατ' ἀφροδίτα. τοῦτο δὲ τὴν μὲν πρώτην συζυγίαν ἔχει τροχαϊκὴν ἑξαμέτρον ἢ ἐπίτασιν μὲν τὴν δὲ δευτέραν χοριαμβικὴν τὴν δὲ κατάκλειδα ἐξ ἰάμβου καὶ τῆς ἀδιαφόρου ὥστε εἶναι τὰ πάντα δύο σχήματα περὶ τὴν τετάρτην συλλαβὴν τῇ μὲν βραχεῖαν γινομένην, τῇ δὲ μακράν. θάτερον μὲν οὖν σχῆμα, τὸ ποικιλόθρον' ἀθάνατ' ἀφροδίτα προκεῖται. θάτερον δὲ ἄγε τοι δ' ἐλθ' αἴποτε κατ' ἔρωτα εἰς εἶναι τὸν κανόνα τοιοῦτον βᾱ. βᾰ. βᾰ. ᾱβ. ᾱβ. ᾱβ. εᾱ. β̄β. βᾱ. ᾱβ. ᾱβ. ᾱβ. ἐστὶ δὲ παρ' ἀλκαίῳ ἐν καὶ ἄλλῳ ὁ πρὸ τοῦ ὅρου ἐστὶν εὕρημα, ἢ καὶ σαπφικὸν καλεῖται ἀντίον. χαῖρε κυλλάνας ὃς μεδέεις σὲ γάρ μοι. τοιούτοις χρῶνται τρισὶν εἰς ἑκάστην στροφήν. εἶτ' ἐπιφέρουσι τὸ διχοριαμβικὸν πενθημιμερὲς συνεμπίπτον δακτυλικῷ τῷ εἰς δεύτερον τροχαῖον. οἷόν ἐστι τὸ πότνια θυμόν. τοῦτο μὲν οὖν ἀπὸ τροχαϊκῆς ἐστὶ συγχοριαμβικὸν. ἀπὸ δὲ ἀντισπαστικῆς τὸ κα-

» πρῶμ' ἁλίων μυχῶν. καὶ πάλιν. σὺ μὲν δὴ ἵππος δὴ,
» πῶλος ἐγχέσπαλος. ἔδωκεν αἰχμὰν ἐνυάλιος δὴ,
» σκοπὸν ἔχειν. ἓν δὲ ποίημα ἐπετήδευσε συνθεῖναι
ὥστε τὰς ἑκατέρωθεν τοῦ κρητικοῦ μακρὰς λύσας
τῶν ἐκ πέντε βραχειῶν παραλαμβάνει πλὴν τῆς
τελευταίας. ἐφ' ἧς τὸν δ'. παίωνα. ἔσθ' ὅτε δὲ καὶ
ἐπὶ τῆς παρατελεύτου κέχρηται. σέ ποτε διὸς ἀλλὰ
πύματα νεαρὲ κόρε νεβροχίτων. συντιθέασι δέ τι
νες καὶ ἑτέρῳ τρόπῳ τὸ τετράμετρον. ὥστε
τρεῖς εἶναι τοὺς καλουμένους τετάρτους παίωνας.
» εἶτα τελευταῖον τὸν κρητικόν. θυμελικὰν ἴθι μάκαρ
» φιλοφρόνως εἰς ἔριν. ᾧ δὴ ἔφαμεν τρόπῳ συνεχῶς
κεχρῆσθαι αὐτοὺς ἐπὶ τοῦ τετραμέτρου. ὥστε τοῖς
τρισὶ παίωσι τοῖς πρώτοις ἐπάγειν κρητικόν.
» τούτῳ καὶ ἐπὶ τοῦ πενταμέτρου θεόπομπος ὁ κω
» μικὸς ἐχρήσατο ἐν παισίν. ἀφ' οὗ καὶ θεοπόμπειον
» καλεῖται. πάντ' ἀγαθὰ δὴ γέγονεν ἀνδράσιν ἐ
μῆς ἀπὸ συνουσίας. δύναται δὲ καὶ μέχρι τοῦ ἑξα
μέτρου προκόπτειν τὸ μέτρον διὰ τὸ τριακοντά
σημον μὴ ὑπερβάλλειν, καὶ εἴη ἂν ἑξάμετρον κατα
ληκτικὸν τὸ καλούμενον τοῦ ἀλκμᾶνος ἐκ μόνων ἀμ
» φιμάκρων. ἀφροδίτα μὲν οὐκ ἔστιν. μάργος δ' ἔ
» ρως οἷα παίσδα. ἄκρ' ἐπ' ἄνθη καβαίνων. ἅ μή μοι
» θίγης τῶ κυπαρίσκω. δεδηλώσθω δὲ ὅτι καὶ ὅλα
» ᾄσματα κρητικὰ συντίθεται. ὥσπερ καὶ παρὰ
» βακχυλίδῃ. ὦ περικλειτέ δ' ἀλλ' ἀγνοήσειν μὲν
» οὐ σ' ἔλπομαι. τὸ δὲ βακχειακὸν σπάνιόν ἐστιν. ὥστε

λεῖται δὲ καὶ ὑπὸ τῶν ποιητῶν κρητικὸν ὥσπερ
ὑπὸ κρατίνου ἐν τροφωνίῳ. ἔγειρε δὴ νῦν μοῦσα κρη-
τικὸν μέλος. εἶτα ἀναφέρει. χαῖρε δὴ μοῦσα χρο-
νία μὲν ἥκεις. ὅμως δ' ἦλθες οὖν πρὶν ἐλθεῖν ἴαθι σα-
φές. ἀλλ' ὅπως. ἐπιτηδεύουσι δὲ ἔνιοι τῶν ποιητῶν
τοὺς πρώτους καλουμένους παίωνας παραλαμ-
βάνειν ἀντὶ τῆς τελευταίας χώρας ἐς ἣν τὸν κρητι-
κὸν παραλαμβάνουσιν. οὕτω γοῦν τὸ πολυθρύλ-
λητον τετράμετρον συντιθέασιν. οὗ παραδείγμα-
τα ἐκ τῶν Ἀριστοφάνους γεωργῶν. πόλι φίλη κέ-
κροπος αὐτοφυὲς ἀττική. χαῖρε λιπαρὸν δάπε-
δον οὖθαρ ἀγαθῆς χθονός. κέχρηται δὲ αὐτῷ καὶ ἐν
ἄλλοις δράμασιν ὁ Ἀριστοφάνης καὶ ἐν σφηξίν. ὦ
μακάρι' αὐτόμενες ὥς σε μακαρίζομεν, καὶ ὁ πο-
λις ἐν κόλαξι. φημὶ δ' ἐβροτοῖσιν πολὺ πλεῖστα πα-
ρέχειν ἐγὼ, καὶ πολὺ μέγιστ' ἀγαθὰ, ταῦτα δ' ἀπο-
δεχόμεν. ὅμως δ' ἐν τοῖς γεωργοῖς ἀριστοφάνης ἐποίη-
σε τὸν τέταρτον παίωνα ἀντὶ τοῦ α. οὐ τηρήσας τὸ
πρῶτον παρατήρημα. ἐν ἀγορᾷ δ' αὖ πλάτανον εὖ
διαφυτεύσομεν. ἐν δὲ ταῖς προτέραις θεσμοφορια-
ζούσαις καὶ κρητικὸν πολλάκις ἐν μέσοις τοῖς τε-
τραμέτροις παρέλαβε. μήτε μούσας ἀνακαλεῖν
ἑλικοβοστρύχους μήτε χάριτας βοᾶν εἰς χορὸν ὀλυμ-
πίας. ἐνθάδε γάρ εἰσιν ὥς φησιν ὁ διδάσκαλος.
σιμμίας, δ' ἐπετήδευσε ἐν τοῖς ποιήμασι τοὺς
πλείστους κρητικοὺς παραλαμβάνειν. μᾶτερ ὦ
πότνια κλῦθι νυμφῶν ἁβρᾶν. δωρικυμοκλύταν

γράψαι· ἐν οἷς καὶ τὰ τοὺς τρίτους παίωνας ἔχοντα καὶ τὸν παλιμβάκχειον, καὶ τὰς τροχαϊκὰς ἀδιαφόρως παραλαμβάνουσι πρὸς τὰ καθαρά, ὡς καὶ τὰ πολυθρύλλητα ταῦτα παραδείγματα δῆλα· γάλλαι μητρὸς ὀρείης φιλόθυρσοι δρομάδες· αἷς ἔντεα παταγεῖται καὶ χάλκεα κρόταλα. καὶ τῷ βραχυκαταλήκτῳ δὲ ἀνακρέων ὅλα ᾄσματα συντέθεικε· μεγάλῳ δ' ηὖτέ μ' ἔρως ἔκοψεν ὥστε χαλκεὺς πελέκει· χειμερίῃ δ' ἔλουσεν ἐν χαράδρῃ. Τῶν δὲ τριμέτρων τὸ μὲν ἀκατάληκτον· προσελεξάμην οὖν ἀρ κυπρογένειαν· παρὰ τῇ σαπφοῖ· παρὰ δὲ ἀνακρέοντι ἑτέρως ἐσχημάτισται· ἀπό μοι θανεῖν γένοιτ'· οὐ γὰρ ἂν ἄλλη λύσις ἐκ πόνων γένοιτ' οὐδ' ἅμα τῶνδε. τὸ δὲ καταληκτικόν· διονύσου σαῦλαι βασσαρίδες. τὸ δὲ ἀκατάληκτον κατὰ τὸν ἀνακλώμενον χαρακτῆρα πολὺ παρὰ τῷ ἀνακρέοντί ἐστιν· παρὰ δ' ηὖτε πυθόμανδρον κατέδυν ἔρωτα φεύγων. τῷ δὲ καθαρῷ ἑφθημιμερεῖ ὅλον ᾆσμα τιμοκρέων συνέθηκε. σικελὸς κομψὸς ἀνὴρ ποτὶ ταν ματέρ' ἔφα.

Περὶ παιωνικοῦ.


Τὸ δὲ παιωνικὸν εἴδη μὲν ἔχει τρία· τό, τε κρητικὸν· τὸ βακχειακὸν ὃ καὶ ἀνεπιτήδειόν ἐστι πρὸς μελοποιΐαν· τὸ δὲ κρητικὸν ἐπιτήδειον. δέχεται δὲ καὶ λύσεις τὰς εἰς τοὺς καλουμένους παίωνας· κα-



ἔρχεθ' ὤρα, ἐγὼ δὲ μόνα καθεύδω.

Περὶ τοῦ ἀπ' ἐλάσσονος ἰωνικοῦ.

Τὸ ἀπ' ἐλάσσονος ἰωνικὸν συντίθεται μὲν καὶ καθαρὸν συντίθεται δὲ καὶ ἐπίμικτον πρὸς τὰς τροχαϊκὰς διποδίας οὕτως· ὥστε τὴν πρὸ τῆς τροχαϊκῆς ἀεὶ γίνεσθαι πεντάσημον. τουτέστι τρίτην παιωνικὴν καὶ τὴν τροχαϊκὴν ὁπόταν προτάττοιτο τῆς ἰωνικῆς γίνεσθ' ἑπτάσημον τροχαϊκήν· τὸν καλούμενον β'· ἐπίτριτον. ἔσθ' ὅτε δὲ ἡ μὲν τρίτη παιωνικὴ συναιρεῖται εἰς παλιμβάκχειον τῆς δὲ ἐπιφερομένης τροχαϊκῆς· ὁ πρότερος λύεται εἰς τρίβραχυν· ἐμπίπτουσι δὲ καὶ οἱ μολοττοὶ ἐπὶ τῶν περιττῶν χωρῶν ἐν τοῖς ἀπ' ἐλάσσονος ἰωνικοῖς ὥσπερ ἐπὶ τοῖς ἀπὸ μείζονος ἐπὶ τῶν ἀρτίων· καὶ ὅλα μὲν οὖν ᾄσματα γέγραπται ἰωνικά, ὥσπερ ἀλκμᾶνι· ἑκατὸν μὲν διὸς υἱόν· τάδε μῶσαι κροκόπεπλοι σαπφοῖ δὲ τίμε πανδιονὶς ὠράνα χελιδών· ἀλκαίῳ δὲ πολλά· ὥσπερ καὶ τόδε· ἔμε δείλαν, ἔμε πᾶσαν κακότητα παίδ' ἔχοισαν. τῶν δὲ ἐν τῷ μέτρῳ μεγεθῶν τὸ μὲν ἐπισημότατόν ἐστι τὸ τετράμετρον καταληκτικόν· οἷόν ἐστι τὸ φρυνίχου τοῦ τραγικοῦ τουτὶ τὸ γέ μην ξένια δούσαις λόγος ὥσπερ λέγεται ὀλέσαι καὶ ποτέ μιν ὀξεῖ χαλκῷ κεφαλαί, καὶ παρὰ φρυνίχῳ τῷ κωμικῷ· ἀδ' ἀνάγκας θ' ἱερὸν σκαθαρδεῖν φράσομεν. τοῦτο μέντοι καὶ γαλιαμβικὸν καὶ μητρωακὸν καὶ ἀνακλώμενον καλεῖται, ὕστερον δὲ ἀνακλώμενον ἐκλήθη διὰ τὸ πολλὰ τοὺς νεωτέρους εἰς τὴν μητέρα τῶν θεῶν



μὲν ἐφαίνεθ' ἀσελάνα, αἱ δ' ὡς περὶ βωμὸν ἐστάθησαν. τὰ δὲ δίμετρα ἀκατάληκτα διχῶς συνέθεσαν οἱ αἰολεῖς, τὰ μὲν γὰρ ἐκ δύο ἰωνικῶν καὶ τροχαϊκῆς ἐποίησαν βάσεως. οἷον κρῆσσαι νύ ποθ' ὧδ' ἐμμελέως πόδεσσιν ἄρχευντ' ἀπαλοῖς ἀμφ' ἐρόεντα βωμόν. ἔνια δὲ ἐκ μιᾶς ἰωνικῆς καὶ δύο τροχαϊκῶν. οἷον τριβώλετες. οὐ γὰρ ἀρκάδεσσι λώβα. τῶν δὲ τετραμέτρων ἐπισημότατόν ἐστι τὸ βραχυκατάληκτον. τὸ καλούμενον. σωτάδειον. τοῦτο δὲ κατὰ τρεῖς χώρας δέχεται ἰωνικὴν συζυγίαν ἢ τροχαϊκὴν ἢ τὴν ἐξ ἀναπαίστου καὶ πυρριχίου. ἢ τὴν ἐκ τριβράχεος καὶ τροχαίου, ἢ τὴν ἐκ μακρᾶς καὶ τεσσάρων βραχειῶν. ἢ τὴν ἐκ βραχειῶν ἕξ. οἷον. ἥρην ποτέ φασιν δία τὸν τερπικέραυνον. καὶ τετράμετρον δὲ ἀκατάληκτον διαφόρως συνετέθησαν. καὶ γὰρ τρισὶν ἰωνικαῖς μίαν τροχαϊκὴν τὴν τελευταίαν ἐπήγαγον. καλεῖται δὲ αἰολικὸν ὅτι σαπφὼ πολλῷ αὐτῷ ἐχρήσατο. οἷον δύμορφοτέρα τᾶς ἀπαλᾶς γυρίνω. ἀσαροτέρα σοῦ δ' ἀμέ πω ὠράνα σέθεν τυχοῦσα. παρατηρεῖν δὲ χρὴ ὅτι τὴν ᾱ. συζυγίαν καὶ ἀπὸ βραχείας ἀρχομένην ποιοῦσιν. ὥσπερ καὶ ἐν τοῖς τριμέτροις πόας τέρεν ἄνθος μαλακὸν μάτοισαι. ἐνίοτε δὲ ἐναλλὰξ τὰς ἰωνικὰς ταῖς τροχαϊκαῖς παραλαμβάνουσι. ἀντὶ μὲν τῶν ἰωνικῶν ἔσθ' ὅτε τὰς δευτέρας παιωνικὰς παραλαμβάνοντες. ἀντὶ δὲ τῶν ἑξασήμων τροχαϊκῶν, ἔσθ' ὅτε τὰς ἐπτασήμους τροχαϊκὰς οἷον δέδυκε μὲν ἀσελάνα καὶ πληϊάδες. μέσαι δὲ νύκτες παρὰ δ'

τὸ γ᾿ ἄριστον πυθῶδ᾿ ἀμεῖσα παιδὸς βραδίναι δι᾿ ἀ/
φροδίταν. τὸ δὲ ἀκατάληκτον καλεῖται σαπφι/
κὸν ἑκκαιδεκασύλλαβον. ᾧ τὸ τρίτον σαπφοῦς
ὅλον γέγραπται. πολλὰ δὲ καὶ ἀλκαίου ἄσματα. νύμ
φαις ταῖς διὸς ἐξ αἰγιόχου φασὶ τετυκμέναις. σιμ
μίας δὲ καὶ τῷ ὑπερκαταλήκτῳ κέχρηται. τὸν συ/
γνὸν μελανίππου φόνον. οἱ πατροφονῶν ἔρυθοι
ὅπερ καλεῖται σιμμιακόν. ὁ δὲ ἀλκαῖος καὶ πεντ᾿
ἀμέτρῳ ἀκαταλήκτῳ ἐχρήσατο. κρονίδα βασι/
λῆος γένος αἴαν τὸν ἄριστον παιδ᾿ ἀχιλλέα.

Περὶ τοῦ ἀπὸ μείζονος ἰωνικοῦ.

Τὸ ἀπὸ μείζονος ἰωνικὸν συντίθεται μὲν καὶ κ/αθαρὸν συντίθεται δὲ καὶ πρὸς τὰς τροχαϊκὰς ἐπί/μικτον. ὅτε μέν τοι ἀκατάληκτόν ἐστι καθόλου σπα/νίως εἰς τὸ ἰωνικὸν περαιοῦται. διὰ τὸ ἀπρεπῆ εἶναι τὴν ἰωνικὴν ἐπὶ τέλους οὖσαν. ἔστι τοίνυν ἐν τῷ ἰω/νικῷ ἐπίσημα ἑφθημιμερῆ μὲν τὰ τοιαῦτα, οἷς ἡ πλέσιλλα ἐχρήσατο, ἀδ᾿ ἄρτεμις ὦ κόραι φεύγοι σα τὸν ἀλφεόν. καὶ δίμετρον ἀκατάληκτον τὸ καλούμενον κλεομάχειον. ἐν ᾧ καὶ οἱ μολοσσοὶ ἐπὶ τῶν ἀρτίων χωρῶν ἐμπίπτουσι καὶ οἱ χορίαμ/βοι οἷον. τίς τὴν ὕδριαν ἡμῶν ἐφόφοισ᾿ ἐγὼ πίνων. καὶ τρίμετρα βραχυκατάληκτα τὰ καλούμενα πραξίλλεια. ἃ τὴν μὲν πρώτην ἔχει ἰωνικὴν τὴν β᾿. τροχαϊκὴν οἷά ἐστι τὰ τοιαῦτα σαπφοῦς πλήρης

σύλλαβον· ἢ ἱππωνάκτειον· οἷον καὶ κνίσσῃ τι/
νὰ θυμιήσας. τῶν δὲ τριμέτρων τὸ μὲν καταλη/
κτικὸν τὸ μόνην τὴν πρώτην ἀντισπαστικὴν ἔχον
τὰς δὲ ἑξῆς ἄλλας ἰαμβικὰς φαλαίκειον καλεῖται
οἷον χαῖρ' ὦ χρυσόκερως βαβάκτρα κὴλ· πὰν
πελασγικὸν ἄργος ἐμβατεύων. τὸ δὲ ἀκατά/
ληκτον τὸ μόνην τὴν τελευταίαν ἔχον ἰαμβικὴν
καλεῖται ἀσκληπιάδειον. οἷον ἦλθεν ἐκ περάτων
γᾶς ἐλεφαντίναν λαβὰν τῷ ξίφεος χρυσοδέταν
ἔχων. τὸ δὲ μέσην μὲν ἔχον τὴν ἀντισπαστικὴν τρε/
πομένην κατὰ τὸν ἕτερον πόδα ἐς τὰ δ'. τοῦ δι
συλλάβου σχήματα. ἑκατέρωθεν δὲ τὰς ἰαμβικὰς
ὧν ἡ α. καὶ ἀπὸ σπονδείου ἄρχεται ἀλκμαϊκὸν
καλεῖται δωδεκασύλλαβον. οἷον κόλπος ἐδέξαθ'
ἁγναὶ χάριτες κρόνῳ. τῶν δὲ τετραμέτρων τὸ
μὲν καταληκτικὸν, καθαρόν ἐστι τὸ τοιοῦτον. κα/
ταθνάσκει κυθέρει' ἁβρὸς ἄδωνις. τί κε θεῖμεν καὶ
τύπτεσθε κόραι καὶ κατερύκεσθε χιτῶνας. τὸ δὲ
τὴν β'. ἰαμβικὴν ἔχον καλεῖται πριάπειον οἷον.
ἠρίστησα μὲν ἰτρίου λεπτοῦ μικρὸν ἀποκλάς. οἴνου
δ' ἐξέπιον κάδον. νῦν δ' ἁβρῶς ἐρόεσσαν ψάλλω
πηκτίδα τῇ φίλῃ κωμάζων παιδὶ ἁβρῇ. πολυ/
σχημάτιστον μὲν οὖν αὐτὸ ποιοῦσι, ἀλλά τό γε κα/
θαρῶς ἐσχηματισμένον ἐστὶ τοιοῦτον. ἐστὶ δὲ πυκνὸν
καὶ τὸ τὴν β'. μόνην ἀντισπαστικὴν ἔχον ᾧ μέ/
τρῳ ἔγραψεν ᾄσματα καὶ σαπφώ. ἐπί τε τοῦ
ἑβδόμου. γλυκεῖα μᾶτερ οὔτοι δύναμαι κρέκειν

τῷ πελέκει. ἀνδροθέα δ' ὦρον ὁ Φωκεὺς κρατερᾶς μηδ' ὅσ' ὑγιᾶς ἤρα τιν' ὦ γ' ἀθάνα. κἂν τοῖς διορύξι, λούσετε τὸν γᾶς τε βαθυστέρνου ἄνακτ' ἀκμονίδαν ἀλλ' οὐδ' ὅς ἐδράσατο. πλὴν εἰ μὴ ἄρα ὁ φίλικος οὐχ ὡς πρῶτος εὑρηκὼς τὸ μέτρον λέγει. ἀλλ' ὡς πρῶτος τούτῳ τῷ μέτρῳ τὰ ὅλα ποιήματα γράψας.

Περὶ ἀντισπαστικοῦ.

Τὸ ἀντισπαστικὸν τὴν μὲν πρώτην συζυγίαν ἔχει τρεπομένην κατὰ τὸν πρότερον πόδα εἰς τὰ δ'. τῶν δισυλλάβου σχήματα. τὰς δ' ἐν μέσῳ καθαρὰς ἀντισπαστικάς. τὴν δὲ τελευταίαν ὁπότε ἐστὶν ἀκατάληκτον ἰαμβικήν. ἐὰν δὲ, ἀναμίσγεται ταῖς ἰαμβικαῖς οὐ μόνον τὴν α'. συζυγίαν ἔχει τρεπομένην κατὰ τὸν πρότερον πόδα. ἀλλὰ καὶ τὴν ταῖς ἰαμβικαῖς ἑπομένην. ἐστὶ δ' ὅτε καὶ λύεται ὁ α'. ποὺς εἰς τρίβραχυν, καὶ ἐστὶν ἐπίσημα ἐν αὐτῷ τάδε πενθημιμερὲς μὲν τὸ καλούμενον δοχμαϊκὸν οἷον κλύειν μαίεται τὸν ἐγχώριον. ἑφθημιμερὲς δὲ τὸ καλούμενον φερεκράτειον. ἄνδρες πρόσχετε τὸν νοῦν ἐξευρήματι καινῷ συμπτύκτοις ἀναπαίστοις. δίμετρον δὲ ἀκατάληκτον τὸ καλούμενον γλυκώνιον, αὐτοῦ τοῦ γλύκωνος εὑρόντος αὐτό. καὶ πρὸς ἡνίχ' ὁ μαινόλης ὀδόντι σκυλακοκτόνῳ κύπριδος θάλος ὤλεσε. δίμετρον δὲ ὑπερκατάληκτον τὸ καλούμενον σαπφικὸν ἐννέα

ἀπρεπέστερά ἐστιν. τὰ δὲ εἰς τὸν ἀμφίβραχυν ἢ
βακχεῖον, δίμετρα μὲν τὰ ἐξ αἰολοσίκωνος ἀρι-
» στοφάνους. οὐκ ἔστιν ὦ γυναῖκες πᾶσι κακοῖς ἡμᾶς
» φλῶσιν ἑκάστοτ' ἄνδρες. δεινὰ γὰρ ἔργα δρῶσαι
» λαμβανόμεθ' ὑπ' αὐτῶν. τρίμετρα δὲ οἷον τὰ ἀνὰ
» κρέοντος δακρυόεσσαν τ' ἐφίλησεν αἰχμάν. τε-
» τράμετρα δὲ ἃ καὶ συνεχέστερά ἐστιν οἷον ταυτὶ
τὰ σαπφοῦς. δεῦτε νῦν ἀβραὶ χάριτες καλλίκο-
μοί τε μοῦσαι. ἀνακρέων δὲ ἐπετήδευσε τὴν πρώ-
την συζυγίαν δι' ὅλου ᾄσματος ἐκ τριβράχεος καὶ
ἰάμβου ποιῆσαι. ὡς εἶναι κοινὴν λύσιν, τῆς τε χοριαμ-
» βικῆς καὶ τῆς ἰαμβικῆς. ἀναπέτομαι δὴ πρὸς ὄλυμ-
» πον πτερύγεσσι κούφαις. πολὺ δ' ἐστὶ καὶ τὸ πρὸς
τῇ κατακλεῖδι τὴν δευτέραν συζυγίαν ἰαμβικὴν
ἔχειν. οἷόν ἐστι παρὰ μὲν ἀνακρέοντι ἐκ ποταμοῦ ᾽πα-
νέρχομαι πάντα φέρουσα λαμπρά. παρὰ δὲ ἀρι-
» στοφάνει ἐν ἀμφιάρεῳ, οἵδ' ἀμὲν ἀρχαῖοι τι δρῶν κοὐ-
» κὶ λέληθ' ἐμαυτόν, καὶ τῷ πενταμέτρῳ δὲ καλλί-
» μαχος ὅλον ποίημα τὸν βράγχον συνέθηκε. δαί-
» μονες εὐυμνότατοι φοῖβέ τε καὶ ζεῦ διδύμων γε-
» νάρχαι. φίλικος δὲ ὁ κερκυραῖος εἷς ὢν τῆς πλειά-
δος ἑξάμετρον συνέθηκεν ὅλον ποίημα. τῇ χθονίῃ
» μυστικὰ δήμητρί τε καὶ περσεφόνῃ καὶ κλυμένῳ
» τὰ δῶρα. τοῦτο δὲ καὶ ἀλαζονεύεται εὑρηκέναι. φί-
» λικος λέγων. καινογραφοῦς συνθέσεως τῆς φιλί-
» κου γραμματικοὶ δῶρα φέρω πρὸς ὑμᾶς. ψεύδεται
» δὲ πρὸ γὰρ αὐτοῦ, σιμμίας ὁ ῥόδιος ἐχρήσατο ἐν τῇ

Περὶ λογαοιδικοῦ.

Ὥσπερ δὲ ἐν τῷ δακτυλικῷ ἦν τι λογαοιδικὸν οὕτω καὶ ἐν τοῖς ἀναπαιστικοῖς, τὸ εἰς βακχεῖον περαιούμενον. οὗ ἐστὶν ἐπισημότατον, τὸ μετὰ τέτταρας πόδας αὐτὸν ἔχον τὸν βακχεῖον. ἂν ὁ πρῶτος γίνεται καὶ σπονδεῖος καὶ ἴαμβος. καλεῖται μὲν οὖν ἀρχεβούλειον ἀπὸ ἀρχεβούλου θηβαίου ποιητοῦ χρησαμένου αὐτῷ καθαρῶς. γέγραπται δὲ καὶ καλλιμάχῳ. ἀγέτω θεὸς οὐ γὰρ ἐγὼ δίχα τῶν δ᾽ ἀείδειν. τοῦτο μὲν οὖν ἀπὸ ἀναπαίστου. ἀπὸ δὲ σπονδείου. νύμφα σὺ μὲν ἀστερίαν ὑπ᾽ ἄμαξαν ἤδη. ἀπὸ δὲ ἰάμβου. φιλώτερα ἄρτι γὰρ οἱ σκελαὶ μὲν ἔνια τοὺς δὲ μετὰ τὸν πρῶτον πόδας τρεῖς οἱ μὲν ἐν συνεχείᾳ γράψαντες τὸ μέτρον πάντως ἀναπαίστους ἐφύλαξαν. ἀλκμὰν δέ που καὶ σπονδείους παραλαμβάνει.

Περὶ χοριαμβικοῦ.

Τὸ χοριαμβικὸν συντίθεται μὲν καὶ καθαρὸν συντίθεται δὲ καὶ ἐπίμικτον πρὸς τὰς ἰαμβικάς. ὡς ἐπίπαν δὲ ὅτε καὶ καταληκτικόν ἐστιν εἰς τὴν ἰαμβικὴν κατάκλειδα περαιοῦται. τουτέστιν εἰς ἀμφίβραχυν ἢ βακχεῖον διὰ τὴν ἀδιάφορον. περαιοῦται μὲν γὰρ καὶ εἰς τὴν ἰδίαν τὸν δάκτυλον ἢ κρητικόν. οἷον δίμετρον μὲν τὸ ἰσοτόνοι μείρακες. τρίμετρον δὲ οὐδὲ λεόντων σθένος οὐδὲ τροφαί. τετράμετρα δὲ. αἱ κυθερείας ἐπαινεῖ τ᾽ ὄργια λυκωλένου. ἀλλὰ τῷ ταῦτα συνεχέστερα εἶναι

βόνου. ὥστ' οὐκ ἀκότως αὐτὸ μόνον παροιμιακὸν καλοῦσι. κρατῖνος δὲ ἐν ὀδυσσεῦσι συνεχεῖ αὐτῷ ἐχρήσατο. σιγᾶν νῦν ἅπας ἔχε σιγὰν καὶ πάντα λόγον τάχα πεύσῃ. ἡμῖν δ' ἰθάκη πατρίς ἐστι, πλεόμεθα δ' ἅμ' ὀδυσσεῖ θείῳ. πρῶτος δὲ ἀρχίλοχος ἐχρήσατο τῷ μεγέθει τούτῳ ἐν τοῖς τετραμέτροις προτάξας αὐτὸ τοῦ ἰθυφαλλικοῦ. τὸ γὰρ ἐρασμονίδη χαρίλας ἑφθημιμερές ἐστιν ἀναπαιστικόν. ἐχρήσατο δὲ τῷ πρώτῳ ποδὶ καὶ ἰάμβῳ ὡς ἔκ τε παραδείγματος ἐστὶ δῆλον καὶ σπονδείῳ. δήμητρί τε χεῖρας ἀνέξων. ἀναπαίστῳ δὲ τῷ πρώτῳ ἐπὶ μόνων δύο στίχων κεχρῆσθαι δοκεῖ. ἐρέω πολὺ φίλταθ' ἑταίρων, καὶ φιλέειν στυγνόν περ ἐόντα. ταῦτα δὲ ἀμφότερα κατὰ συνεκφώνησιν ἴαμβον ἔχει τὸν πρῶτον πόδα. τῷ ἀναπαιστικῷ ὑποτέλλοιτο καὶ τὸ προκελευσματικὸν ὑπ' ἐνίων καλούμενον. οἷον τὸ τετράμετρον τοῦτο τὸ ἀριστοφάνειον. τὶς ὄρεα βαθύκομα τάδ' ἐπέσσυτο βροτῶν. γίνεται δὲ ἑκάστου τῶν πρώτων τριῶν ποδῶν ἀναπαίστων λελυμένων εἰς τὸν προκελευσματικόν, τετράμετρον ἀκατάληκτον ἀναπαιστικόν. τινὲς δὲ αὐτὸ κατὰ πόδα διαιροῦντες πυῤῥιχαϊκὸν καλοῦσι. τοῖς δὲ χαριεστέροις δοκεῖ ἀναπαιστικὸν εἶναι. αὐτὶ ἑκάστου ἀναπαίστου προκελευσματικοῦ παραλαμβανομένου ἐπὶ τῶν ἄλλων χωρῶν. ἐπὶ δὲ τῆς τελευταίας φυλαττομένου αὐτοῦ καθαροῦ καὶ μὴ λελυμένου.

τίνου παρ' Ἐπιχάρμῳ· ὃς καὶ ὅλα δύο δράματα τούτῳ τῷ μέτρῳ γέγραφε, τούς τε χορεύοντας καὶ τὸν ἐπινίκιον. ἀριστόξενος δὲ ὁ σελινούντιος ἐπιχάρμου πρεσβύτερος ἐγένετο ποιητής, οὗ καὶ αὐτὸς ἐπίχαρμος μνημονεύει ἐν λόγῳ, καὶ λογίνα· οἱ τοὺς ἰάμβους καὶ τὸν ἄριστον τρόπον ὧν πρᾶτος ἁγήσαθ' ὡριστόξενος. καὶ τούτου τοίνυν τοῦ ἀριστοξένου μνημονεύεταί τινα τούτῳ τῷ μέτρῳ γεγραμμένα· τὶς ἀλαζονείαν πλείσταν παρέχει τῶν ἀνθρώπων τοὶ μάντεις. τὸ μέντοι τὸν σπονδεῖον ἔχον εἶναι μὴ τὸν ἀνάπαιστον παραλήγοντα εἰσὶν οἱ λακωνικὸν καλοῦσι προφερόμενοι παραδείγματα· ἄγετ' ὦ σπάρτας ἔνοπλοι κοῦροι ποτὶ τὰν ἄρεως κίνασιν. ὅτι μέντοι καὶ ἐν τῷ ἀριστοφανείῳ καλουμένῳ ἀδιαφόρως εὑρίσκεται ὁ παραλήγων, ἀνάπαιστος ἢ σπονδεῖος, δηλώσει κρατῖνος· εἰς γὰρ τοὺς ὀδυσσέως εἰσβάλλων τούτῳ τῷ μέτρῳ ἐχρήσατο· τί ἐς οὖν πέντον καλεῖ χθὼν αὔραι· νέφος οὐράνιον τὸ δ' ὁρῶμαι, ἐποίησε δέ τινα στίχον, καὶ σπονδείῳ τῷ παραλήγοντι κεχρημένον· ὡς αἰ μᾶλλον τοῖς πηδαλίοις ἡ ναῦς ἡμῶν πειθαρχῇ. περὶ μὲν οὖν τοῦ τετραμέτρου ταῦτα· ἱστία ἁγνὰ ἀπ' εὐξείνων μέσσα τοι ἔχων· τὸ δὲ δίμετρον καταληκτικὸν καλεῖται μὲν παροιμιακὸν διὰ τὸ παροιμίας τινὰς ἐν τούτῳ τῷ μέτρῳ εἶναι· πότε δ' ἄρτεμις οὐκ ἐχόρευσε, καὶ κόρχορος ἐν λαχάνοισιν εἶναι, παροιμίαι εἰσὶ καὶ αὐλικαὶ καὶ ἰαμβικαί, καὶ οὐ τούτου τοῦ μέτρου

περὶ λογαοιδικῶν.

Ἔστι δέ τινα καὶ λογαοιδικὰ καλούμενα δακτυλικά· ἅπερ ἐν μὲν ταῖς ἄλλαις χώραις δακτύλους ἔχει· τελευταίαν δὲ τροχαϊκὴν συζυγίαν, ἔστι δὲ αὐτῶν ἐπισημότατον τό, τε πρὸς δύο δακτύλους ἔχον τροχαϊκὴν συζυγίαν. καλούμενον δὲ ἀλκαϊκὸν δεκασύλλαβον, καί τις ἐπ' ἐσχάτοις αὐτῶν οἰκεῖος. καὶ τὸ πρὸς τρισὶ καλούμενον πραξίλλειον. ὦ διὰ τῶν θυρίδων καλὸν ἐμβλέποισα, παρθένε τὰν κεφαλὰν, τὰ δ' ἔνερθε νύμφα.

Περὶ ἀναπαιστικοῦ.

Τὸ ἀναπαιστικὸν κατὰ πᾶσαν χώραν δέχεται σπονδεῖον ἀνάπαιστον. σπανίως δὲ καὶ προκελευσματικόν. παρὰ δὲ τοῖς δραματοποιοῖς, καὶ ἴαμβον καὶ δάκτυλον. εἰσὶ δὲ αὐτῷ ἀποθέσεις ἕξ, κατὰ συζυγίαν διαιρούμεναι. ὑπερκατάληκτον εἰς δισύλλαβον. ὑπερκατάληκτον εἰς συλλαβήν. ἀκατάληκτον. καταληκτικὸν εἰς δισύλλαβον. καταληκτικὸν εἰς συλλαβήν. βραχυκατάληκτον. ἐπισημότατον δὲ ἐν αὐτῷ ἐστί, τὸ τετράμετρον καταληκτικὸν εἰς συλλαβήν τὸ καλούμενον Ἀριστοφάνειον. ὅτ' ἐγὼ τὰ δίκαια λέγων ἤνθουν καὶ σωφροσύνη νενόμιστο. κέκληται δὲ ἀριστοφάνειον οὐκ ἀριστοφάνους αὐτὸ εὑρόντος πρώτου. ἐπεὶ καὶ παρὰ κρατίνῳ ἐστί· χαίρετε δαίμονες οἳ λεβάδειαν βοιώτιον οὖδας ἀρούρης. ἀλλὰ διὰ τὸ τὸν ἀριστοφάνην πολλῷ αὐτῷ κεχρῆσθαι. καὶ πρὸ κρα-

ρον ὕμνῳ καὶ χαρίεντα τίθει χορόν. ταῦτα μὲν οὖν κοινὰ δακτυλικά.

Περὶ αἰολικῶν.

Τὰ δὲ αἰολικὰ καλούμενα τὸν μὲν πρῶτον ἔχει πόδα ἕνα τῶν δισυλλάβων ἀδιάφορον ἤτοι σπονδεῖον ἢ ἴαμβον ἢ τροχαῖον ἢ πυρρίχιον. τοὺς δὲ ἐν μέσῳ δακτύλους πάντας. τὸν δὲ τελευταῖον πρὸς τὴν ἀπόθεσιν δάκτυλον δὲ ἢ κρητικὸν διὰ τὸ τῆς τελευταίας ἀδιάφορον. ἐὰν ἀκατάληκτον ᾖ. ἐὰν δὲ καταληκτικόν, καὶ τὰ ἀπὸ τούτου μεμειωμένα εἰς δισύλλαβον καὶ συλλαβήν. τὸ μὲν οὖν αἰολικὸν ἔπος τὸ καταληκτικὸν τοιοῦτόν ἐστι. κέλλομαί τινα τὸν χαρίεντα μένωνα καλέσαι. εἰ χρὴ συμποσίας ἐπόνασιν ἐμοὶ γεγενῆσθαι. πεντάμετρα δὲ καταληκτικὰ εἰς δισύλλαβον. τίῳ σ' ὦ φίλε γαμβρὲ καλῶς εἰκάσδω ὄρπακι βραδινῷ μάλιστ' εἰκάσδω. τὸ δὲ τετράμετρον. θυρόποδες ἑπταρόγυιοι. τὰ δὲ σάμβαλα πεντεβόεια, πίσυγγοι δὲ δέκ' ἐξεπόνασαν. τῶν δὲ ἀκαταλήκτων τὸ μὲν πεντάμετρον καλεῖται σαπφικὸν τεσσαρεσκαιδεκασύλλαβον οὗ τὸ β'. σαπφοῦς ὅλον γέγραπται. ἠράμαν μὲν ἐγὼ σέθεν ἄτθι πάλαι ποκά. τὸ δὲ τετράμετρον ἀκατάληκτόν ἐστι τοιοῦτον. ἔρος δ' αὖτέ μ' ὁ λυσιμελὴς δόνει γλυκύπικρον ἀμάχανον ὄρπετον ἄτθι. σοὶ δ' ἐμέθεν μὲν ἀπήχθετο. φροντὶς δ' ἦν ἐπὶ ἀνδρομέδαν ποτῇ.

μειωμένα ἤτοι συλλαβῇ ἢ δύο συλλαβαῖς, καὶ τὸ
μὲν καλεῖται καταληκτικὸν εἰς συλλαβὴν τὸ δὲ κα
ταληκτικὸν εἰς δισύλλαβον. ἐπισημότατα δ᾽ ἐστὶν
ἐν αὐτῷ τό, τε ἑξάμετρον καταληκτικὸν εἰς δισύλ
» λαβον ὃ καλούμενον ἔπος. οἷον μῆνιν ἄειδε, θεὰ πη
» ληϊάδεω ἀχιλλῆος. ἀπὸ γὰρ τῆς ἐσχάτης λέξεως τῆς
» λῆος. λείπεται ὁ δάκτυλος μιᾷ συλλαβῇ, καὶ τὸ
πεντάμετρον καταληκτικὸν εἰς δισύλλαβον τὸ
» καλούμενον σιμμίδιον. οἷον. χαῖρ᾽ ἄναξ ἑταρε
» ξαθέας μακαρῆδας. καὶ τὸ τετράμετρον καταλη
κτικὸν εἰς δισύλλαβον ᾧ πρῶτος ἐχρήσατο ἀρχί
» λοχος ἐν ἐπωδοῖς. οἷον φαινόμενον κακὸν οἴκα
δ᾽ ἄγεσθαι. ὕστερον δὲ καὶ ἀνακρέων τούτῳ τῷ μέτρῳ
» ὅλα ᾄσματα συντέθεικεν. ἁδυμελὲς χαρίεσσα
χελιδοῖ, καὶ μνᾶται δ᾽ ἠῦτε φαλακρὸς ἄλεξις.
ταῦτα μὲν οὖν τῶν εἰς δυσύλλαβον καταληκτι
κῶν παραδείγματα. τῶν δὲ εἰς συλλαβήν. τῷ μὲν
πενθημιμερεῖ πρὸς δύο ποσὶν οὐσῶν τῶν συλλα
» βῶν ἀρχίλοχος κέχρηται ἐν ἐπωδῇ. οἷον ἐν δὲ βα
πουσιάδης. τῷ δὲ ἑφθημιμερεῖ ἀλκμάν. ταῦτα μὲν
ὡς αὖ ὁ δῆμος ἅπας, καὶ τῶν ἀκαταλήκτων δὲ
τὸ τετράμετρον ἀρχίλοχος ἔνδοξον ἐποίησε διὰ
τὸ προτάξαι αὐτῷ τροχαϊκοῦ καλουμένου ἰθυφα
λικοῦ. οὕτως. οὐκ ἔθ᾽ ὁμῶς θάλλεις ἁπαλὸν χρόα,
κάρφεται γὰρ ἤδη. ἀλκμὰν δὲ καὶ ὅλας στροφὰς
τούτῳ τῷ μέτρῳ κατεμέτρησε. μῶσ᾽ ἄγε καλλιό
πα, θύγατερ διός. ἄρχ᾽ ἐρατῶν ἐπέων, ἐπὶ δ᾽ ἵμε

ρον ὕμνῳ

οἱ δὲ μετὰ ταῦτα καὶ ἐπήγαγον αὐτὸ ἰαμβείῳ· ὥσπερ ὁ Καλλίμαχος· Ἑρμᾶς ὁ περφεραῖος αἰνεῖ θεός. ἐμμι τῷ * φυγαίχμα. ὁμοίως δὲ καὶ τὸ τετράμετρον βραχυκατάληκτον ἐπίσημόν ἐστιν. οἷον οὐδ᾽ ἀμειψίαν ὁρᾶ τι πλωχὸν ὄντ᾽ ἐφ᾽ ἡμῖν, καὶ τῶν ἀκαταλήκτων δὲ τὸ τετράμετρον ἔνδοξόν ἐστι οἷον τουτὶ τοῦ ἀνακρέοντος. κλῦθί μευ γέροντος εὐέθειρα χρυσόπεπλε κούρα. τὰ μὲν οὖν ἐπισημότατα ἐν αὐτῷ ταῦτά ἐστι τῷ δὲ δακτύλῳ τῷ κατὰ τὰς περιττὰς ἐμπίπτοντι χώρας ἥκιστα οἱ ἰαμβοποιοὶ ἐχρήσαντο ποιηταί· σπανίως δὲ καὶ οἱ τραγικοί. οἱ δὲ κωμικοὶ συνεχῶς ὥσπερ καὶ τῷ ἰαμβικῷ τῷ ἐπὶ τῆς ἀρτίου ἀναπαίστῳ. ἑκάτερον γὰρ ἄλογον. οὔτε γὰρ ἐν τῷ ἰαμβικῷ ἐχρῆν ἀνάπαιστον ἐπὶ τῆς ἀρτίου χώρας. ἐφ᾽ ἧς οὐδὲ σπονδεῖ ἐγχωρεῖ. οὐ ὁμοίως λύσις ὁ δάκτυλος. ἔτι μέντοι καὶ ἐν τοῖς καταληκτικοῖς καὶ ὁ τρίβραχυς ἐγχωρεῖ καθάπερ προειρήκαμεν, οὐ μόνον ὁ τροχαῖος ὥστινες οἴονται. παράδειγμα τόδε. τῶν πολιτῶν ἄνδρες ὑμῖν ἀποφανῶ. τῆς γὰρ καταληκτικῆς οὔσης ἀποφανῶ δῆλον ὡς ὁ παρακείμενος ποὺς ἀπὸ φα. ἐστὶ τρίβραχυς.

Περὶ δακτυλικοῦ

Τὸ δακτυλικὸν δέχεται δακτύλους καὶ σπονδείους κατὰ πᾶσαν χώραν. πλὴν τῆς τελευταίας. ἐπὶ ταύτης δὲ ἢ μὲν ἀκατάληκτον εἴη, δάκτυλον. ἕξει ἢ διὰ τὴν ἀδιάφορον κρητικὸν ἤγουν ἀμφίμακρον. ἢ δὲ καταληκτικὸν τὰ ἀπ᾽ αὐτοῦ με-

Περὶ τροχαϊκοῦ.

Τὸ τροχαϊκὸν κατὰ μὲν τὰς περιττὰς χώρας δέχεται τροχαῖον τρίβραχυν· ἴαμβον καὶ δάκτυλον· κατὰ δὲ τὰς ἀρτίους τούτοις τε καὶ σπονδεῖον καὶ ἀνάπαιστον. ὅτι δὲ ἐστὶ καταληκτικὸν, τὸν παραλήγοντα μάλιστα μὲν τροχαῖον δέχεται· ἐστὶ δ᾽ ὅτε καὶ τρίβραχυν· ἐὰν δὲ ᾖ βραχυκατάληκτον οὐ βούλεται τὸν παραλήγοντα πεντάσημον ἔχειν· ἐστὶ δὲ ἐπίσημα ἐν αὐτῷ καταληκτικὰ δίμετρον μὲν καταληκτικὸν τὸ καλούμενον εὐριπίδιον ἡλικύθιον οἷόν ἐστι· νῦν δέ μοι πρὸ τειχέων θούριος πολὼν ἄρης· τρίμετρον δὲ καταληκτικὸν οἷόν ἐστι τὸ ἀρχιλόχου, ὅπερ ἀκέφαλον ἴαμβον καλοῦσι· ζεῦ πάτερ γάμον μὲν οὐκ ἐδαισάμην· τετράμετρον δὲ καταληκτικὸν οἷον ἐρξίη· πῇ δ᾽ ἦτ᾽ ἄνολβος ἀθροίζεται ὁ στρατός· τοῦτο δὲ τὸ τετράμετρον γίνεται καὶ χωλὸν τοῦ παρατελεύτου ποδὸς σπονδείου γενομένου οἷόν ἐστι καὶ τὸ· μητρότιμε δ᾽ ἦν τέμε χρὴ τῷ σκότῳ δικάζεσθαι, καὶ τῷ πενταμέτρῳ δὲ καὶ περαιτέρω ὄντι ὑπερμέτρῳ πολλοὺς κεχρῆσθαι συμβέβηκεν· οἷόν ἐστι καὶ τὸ καλλιμάχου· ἔρχεται πολὺς μὲν αἰγαῖον διαπλεύσας ἀπ᾽ οἰνηρῆς χίου· ἐστι δὲ ἐν αὐτῷ ἐπίσημον καὶ τὸ δίμετρον βραχυκατάληκτον τὸ καλούμενον ἰθυφαλλικὸν· ᾧ πρῶτος μὲν ἀρχίλοχος κέχρηται. συζεύξας αὐτῷ δακτυλικὸν τετράμετρον οὕτως, οὐκέθ᾽ ὁμῶς θάλλεις ἁπαλὸν χρόα κάρφεται γὰρ ἤδη.

ἴαμβον ἔχει ἢ πυῤῥίχιον διὰ τὴν ἀδιάφορον, τοῦτο δὲ ἢ σπονδεῖον ἢ τροχαῖον. καὶ ὅτι ἐκεῖνο μὲν οὖν τῶν παραληγόντων μετὰ τῶν δισυλλάβων δύο ἰάμβους καὶ σπονδείους δέχεται, καὶ τρισυλλάβοις τὸν δάκτυλον· τὸν τρίβραχυν καὶ τὸν ἀνάπαιστον· τὸ δὲ χωλὸν οὐ δέχεται τοὺς παραλήγοντας τρισυλλάβοις πόδας οὔτε δάκτυλον οὔτε τρίβραχυν οὔτε ἀνάπαιστον. ἀλλὰ μάλιστα μὲν ἴαμβον ὅτε καὶ εὐπρεπέστερός ἐστι. ὡς τὸ ἀκούσαθ᾽ ἱππώνακτος. οὐ γὰρ. ἀλλ᾽ ἥκω. ἔσθ᾽ ὅτε καὶ σπονδεῖον, ὅτε καὶ τραχύτερον γίνεται. ὡς τὸ ἐς ἄκρον ἥκων ὥσπερ ἀλλᾶντα ψύχων. ἐπειδὴ δὲ πᾶσα μέτρου ἀρχὴ ἀδιάφορος. καὶ ὁ ἴαμβος ἐδέξατο ἀρχῇ τὸν σπονδεῖον. τούτου δὲ κοινωνήσαντος τῷ μέτρῳ καὶ οἱ ἀπ᾽ αὐτοῦ λυθέντες ἐκοινώνησαν. δάκτυλος φημὶ καὶ ἀνάπαιστος. ὁ γὰρ χορεῖος τοῦ ἰάμβου ἐστὶ λύσις. ὁ τοίνυν τὸν σπονδεῖον ἐν ταῖς ἀρτίαις οὐ δέχεται, οὐδὲ τὸν ἀπ᾽ αὐτοῦ λυθέντα ἀνάπαιστον ὀφείλει δέχεσθαι. παρὰ μὲν οὖν τοῖς ἰαμβοποιοῖς τοῦτο σώζεται. παρὰ δὲ κωμικοῖς οὐ λίαν αὐτὸ ποιουμένοις συμμετρίας οὐκέτι. τὸν δὲ τροχαῖον ὡς ἀντιπαθεῖ τῷ ἰάμβῳ παρῃτήσαντο. εὑρίσκεται δὲ παρὰ τοῖς κωμικοῖς συνεχῶς ὁ ἀνάπαιστος. τὸν γὰρ βίον οὗτοι μιμούμενοι θέλουσι δοκεῖν διαλελυμένως διαλέγεσθαι καὶ μὴ ἐμμέτρως, ὁ δὲ ἀνάπαιστος διαλελυμένην ποιεῖ τὴν φράσιν διὰ τὸ πιτράσημον, ἰαμβοποιοὶ μέντοι καὶ τραγῳδοποιοὶ ὡς μὴ ὄντες τοιοῦτοι συνεχῶς κέχρηνται.

Περὶ ἰαμβικοῦ.

Τὸ ἰαμβικὸν δέχεται μὲν κατὰ τὰς περιττὰς
χώρας, τουτέστι πρώτην τρίτην πέμπτην ἴαμβον.
τρίβραχυν. σπονδεῖον, δάκτυλον. ἀνάπαιστον. κα-
τὰ δὲ τὰς ἀρτίους, τουτέστι δευτέραν. τετάρτην
ἕκτην, ἴαμβον. τρίβραχυν καὶ ἀνάπαιστον. τοῦτο
δὲ παρὰ μὲν κωμικοῖς συνεχῶς, παρὰ δὲ τοῖς ἰαμ-
βοποιοῖς καὶ τραγικοῖς σπανιώτερον. ὅτε μὲν οὖν
ἀκατάληκτόν ἐστι τὴν τῆς τελευταίας τὸν ἴαμβον
δέχεται μόνον ἢ τὸν πυρρίχιον διὰ τὴν ἀδιάφορον.
ὅταν δὲ καταληκτικὸν τὸν ἴαμβον παραλήγοντ-
τα ἢ σπανίως τρίβραχυν ὥστε γίνεσθαι τὴν κα-
τακλεῖδα ἤτοι ἀμφίβραχυν ἢ βραχεῖον. ἐστὶ δὲ
ἐπίσημα ἐν αὐτῷ ἀκατάληκτα μὲν τρίμετρα, οἷα
» τὰ ἀνακρεόντια ὅλα ᾄσματα γέγραπται. οἷον ἐρῶ
» τε δηῦτε κοὐκ ἐρῶ, καὶ μαίνομαι κοὐ μαίνομαι. τρίμε-
» τρα δὲ ὡς τὸ ἔσται ξένοι εἰλίχοις ἐοικότες. τετρά-
» μετρα δὲ οἷον τὸ τοῦ ἀλκαίου. δέξαι με κωμάζοντ-
» τα δέξαι λίσσομαί σε λίσσομαι. καταληκτικὰ δὲ
δίμετρα μὲν ὡς τὸ καλούμενον ἀνακρεόντειον.
» οἷον ὁ μὲν θέλων μάχεσθαι πάρεστι γὰρ μαχέσθω
τρίμετρα δὲ οἷον τὸ τοῦ ἀρχιλόχου ὄγμος. καὶ
κοῦ δὲ γῆρας καθαιρεῖ. τετράμετρα δὲ οἷον τὸ
τοῦ ἱππώνακτος. εἴ μοι γένοιτο παρθένος καλή τε
καὶ τέρεινα. ἔστιν ἐπίσημον ἐν τοῖς ἀκαταλήκτοις
καὶ τὸ χωλὸν καλούμενον. ὅπερ τινὲς μὲν ἱππώ-
νακτος, ἄλλοι δὲ ἀνανίου εὕρημα φασὶν εἶναι. δια-
φέρει δὲ τοῦ ὀρθοῦ ᾗ ἐκεῖνο μὲν τὸν τελευταῖον

κεῖται διποδίας· ὑπερκατάληκτα δὲ ὅσα πρὸς τῷ τελείῳ προσέλαβε μόριον ποδός· οἷον ἐπὶ ἰαμβικοῦ· εἶμ' ὥστ' ἄτρωτος ἀλλ' ὦ λυθεῖσα· τοῦτο μὲν οὖν πλέονι συλλαβῇ περιττεύει. δύναται δ' οὖν καὶ δισυλλάβῳ περιττεύειν· ὁπόταν ἑκατέρας τῶν ἐν τῇ συζυγίᾳ ποδῶν τρισύλλαβος ᾖ οἷον ἐπὶ ἀναπαιστικοῦ· ἄδ' ἄρτεμις ὦ κόρα· τοῦτο γὰρ πρὸς τῇ ὁλοκλήρῳ συζυγίᾳ δισύλλαβον ἔχει τὸν τελευταῖον ὅπερ ἀναπαίστου μιᾷ ἐνδεῖ συλλαβῇ· καλοῦνται δὲ ταῦτα πάντα ἀποθέσεις· παντὸς μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία συλλαβή ὥστε δύνασθαι εἶναι αὐτὴν καὶ βραχεῖαν καὶ μακράν. οἷον ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ εὗδον παννύχιοι Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος· ἐν μὲν γὰρ τῷ α· μακρά ἐστιν ἡ τελευταία συλλαβή ἐν δὲ τῷ δευτέρῳ βραχεῖα· τοῦ μέτρου εἰς τελείαν περατοῦται λέξιν· ὅθεν ἐπίληπτά ἐστι τὰ τοιαῦτα σιμωνίδου, ἐκ τῶν ἐπιγραμμάτων· ἦ μέγα ἀθηναίοισι φόως γένεθ' ἡνίκ' ἀριστογείτων ἵππαρχον κτεῖνε καὶ ἁρμόδιος. καὶ πάλιν νικομάχου τοῦ περὶ ζωγράφων ἐλεγείαν πεποιηκότος· οὗτος δή σοι ὁ κλεινὸς ἀν' ἑλλάδα πᾶσαν ἀπολλόδωρος· γιγνώσκεις τοὔνομα τοῦτο κλυών· ταῦτα μὲν οὖν ἐγένετο διὰ τὴν τῶν ὀνομάτων ἀνάγκην· οὐ γὰρ ἐνεχώρει. ἔνιοι δὲ καὶ παίζουσιν οἱ κωμικοί· ὡς εὔπολις ἐν βάπταις· ἀλλ' οὐχὶ δυνατόν ἐστι· οὐ γὰρ ἄλλο προβούλευμα βαστάζουσι τῆς πόλεως μέγα.

καὶ βραχείας καὶ δύο μακρῶν ἐπίτριτος β΄. ἡ καὶ τροχαϊκὴ ἐπιπλάσιμος, ὁ καὶ καρικὸς. ἐκ δύο μακρῶν καὶ βραχείας καὶ μακρᾶς ἐπίτριτος γ΄. ἡ ἰαμβικὴ ἐπιπλάσιμος. ὁ καὶ ῥόδιος ἐκ γ΄. μακρῶν καὶ βραχείας δ΄. ἐπίτριτος. ἡ ἀντισπαστικὴ ἐπιπλάσιμος. ὁ καὶ μονογενής.

Περὶ ἀποθέσεως μέτρων

» Ἀκατάληκτα καλεῖται μέτρα ὅσα τὸν τελευταῖον πόδα ὁλόκληρον ἔχει. οἷον ὡς ἐπὶ δακτυλικοῦ. Μῶσ' ἄγε Καλλιόπα θύγατερ Διός. καταληκτικὰ δὲ ὅσα μεμειωμένον ἔχει τὸν τελευταῖον πόδα οἷον ἐπὶ ἰαμβικοῦ. χαίροισα νύμφα χαιρέτω δ' ὁ γαμβρός. ἐνταῦθα ἡ βρος τελευταία συλλαβὴ ἀντὶ ὅλου ποδὸς ἰαμβικοῦ κεῖται. ἐὰν δὲ τρισύλλαβος ἢ ὁ ποὺς ὃ τὸ μέτρον συνιστὰς δύναται καὶ παρὰ δύο συλλαβὰς εἶναι τὸ καταληκτικὸν. οἷον ἐπὶ δακτυλικοῦ. ἐν δὲ Βατουσιάδης. ἐνταῦθα γὰρ ἡ δης. συλλαβὴ ἀντὶ τρισυλλάβου κεῖται δακτυλικοῦ. ἐπὶ δὲ τῶν τοιούτων τὸ μὲν παρὰ συλλαβὴν καλεῖται καταληκτικὸν εἰς δισύλλαβον. τὸ δὲ παρὰ δύο συλλαβὰς καταληκτικὸν εἰς συλλαβήν. βραχυκατάληκτα δὲ καλεῖται ὅσα ἀπὸ διποδίας ἐπὶ τέλους ὅλῳ ποδὶ μεμείωται. οἷον ἐπὶ ἰαμβικοῦ. ἄγ' αὖτ' ἐς οἶκον τὸν Κλεησίππου. ἐνταῦθα γὰρ ὁ, σίππου. ποὺς ἀντὶ ὅλης ἰαμβικῆς

ὁ καὶ χορεῖος. τετράχρονοι δὲ τρεῖς ἐκ μα-
κρᾶς καὶ δύο βραχειῶν δάκτυλος. ἐκ βραχεί-
ας καὶ μακρᾶς καὶ βραχείας ἀμφίβραχυς.
ἐκ δύο βραχειῶν καὶ μακρᾶς ἀνάπαιστος. πεν-
τάχρονοι δὲ οἱ ἴσοι τούτοις τρεῖς. ἐκ βραχεί-
ας καὶ δύο μακρῶν βραχεῖος. ἐκ μακρᾶς καὶ βρα-
χείας καὶ μακρᾶς ἀμφίμακρος ἢ κρητικός. ἐκ
δύο μακρῶν καὶ βραχείας παλιμβάκχειος.
ἑξάχρονος δὲ εἷς ἐκ τριῶν μακρῶν μολοττός. τε-
τρασύλλαβοι δὲ οἱ τούτων διπλασίονες ἑκκαί-
δεκα. ὧν τετράχρονος εἷς. ἐκ δ΄. βραχειῶν
ὁ προκελευσματικός. πεντάχρονοι δὲ δ΄. ἐκ
μακρᾶς καὶ τριῶν βραχειῶν παίων. α΄. ἐκ
βραχείας καὶ μακρᾶς καὶ δύο βραχειῶν παί-
ων β΄. ἐκ δύο βραχειῶν καὶ μακρᾶς καὶ βρα-
χείας παίων, γ΄. ἐκ γ΄. βραχειῶν καὶ μα-
κρᾶς παίων. δ΄. ἑξάχρονοι δὲ ἕξ. ἐκ
δύο βραχειῶν καὶ δύο μακρῶν ἰωνικὸς ἀπ᾽ ἐ-
λάττονος. ἐκ βραχείας καὶ δύο μακρῶν καὶ
βραχείας ἀντίσπαστος. ἐκ δύο μακρῶν καὶ δύο
βραχειῶν ἰωνικὸς ἀπὸ μείζονος. ἐκ μακρᾶς καὶ βρα-
χείας καὶ μακρᾶς καὶ βραχείας τροχαϊκὴ ταυ-
τοποδία. ἢ διτρόχαιος. ἐκ βραχείας καὶ μακρᾶς
καὶ βραχείας καὶ μακρᾶς ἰαμβικὴ ταυτοπο-
δία ἢ διίαμβος ἐκ μακρᾶς καὶ δύο βραχειῶν καὶ
καὶ μακρᾶς χορίαμβος. ἑπτάχρονοι δὲ δ΄. ἐκ βρα-
χείας καὶ γ΄. μακρῶν ἐπίτριτος α΄. ἐκ μακρᾶς

» ἣν Πηλιάδα δεξιὸν κατ' ὦμον. ἐν δὲ τοῖς ἔπεσι σπα-
νίως. ὥσπερ Κριτίας ἐν τῇ πρὸς Ἀλκιβιάδην ἐλε-
γείᾳ οὐκ ᾤετο ἐγχωρεῖν τὸ τοῦ Ἀλκιβιάδου ὄνομα
» φησὶ γάρ, καὶ νῦν Κλεινίου υἱὸν Ἀθηναῖον στεφανώσω,
» Ἀλκιβιάδην νέοισιν ὑμνήσας τρόποις. οὐ γάρ πως
» ἦν τοὔνομα ἐφαρμόζειν ἐλεγείῳ, νῦν δ' ἐν ἰαμβείῳ
κείσεται οὐκ ἀμέτρως. ἔστι μέντοι καὶ ἔπει ὡς
παρὰ Κορίννῃ ἐν τῷ πέμπτῳ. ἢ διανεκῶς εὕδεις οὐ
» μὰν πάρος ἦσθα Κόριννα, καὶ παρὰ Πραξίλλῃ ἐν
» διθυράμβοις ἐν ᾠδῇ ἐπιγραφομένῃ Ἀχιλλεύς. ἀλλὰ
» τεὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον. τὰ μὲν γὰρ
» τοιαῦτα ὠχ' ἑκατόγχειρος καλέσας. καὶ θῖν' ἐφ'
» ἁλὸς πολιῆς, οὐ μᾶλλον συνεκφώνησιν ἔχει ἢ συ-
ναλοιφήν. ἔστι δ' ὅπου καὶ βραχεῖα καὶ μακρὰ
ἀντὶ βραχείας παραλαμβάνεται. ὡς ἐν τῷ δεν-
δρέῳ ἐφεζόμενοι ὄπα λειριόεσσαν ἱεῖσι, καὶ χρυ-
σέῳ ἀνὰ σκήπτρῳ.

Περὶ ποδῶν.

Ἐκ τῶν συλλαβῶν εἰσὶν οἱ πόδες. ὧν δισύλ-
λαβοι μὲν δ'. δίχρονος μὲν εἷς ἐκ δύο βραχει-
ῶν ὁ πυῤῥίχιος. τρίχρονοι δὲ β'. ἐκ μακρᾶς καὶ
βραχείας τροχαῖος. ἐκ βραχείας καὶ μακρᾶς
ἴαμβος. τετράχρονος δὲ εἷς ἐκ δύο μακρῶν. σπον-
δεῖος. τρισύλλαβοι δὲ οἱ τούτων διπλασίονες.
. τρίχρονος εἷς ἐκ τριῶν βραχειῶν τρίβραχυς

ὥστε καὶ τὸ ἐλήλυθμεν ἐδείξαμεν ἐν ἄλλοις μέτροις συνήθως αὐτοῖς λεγόμενον. ὡς παρὰ ἀχαιῷ ἐν κύκνῳ κύκνου ἢ πρῶτα πρὸς δόμον ἐλήλυθμεν παρ' ᾧ καὶ τὸ β'. ἐστὶν ἀκολούθως πρόσωπον. τοιοῦδε φωτὸς πρὸς δόμους ἐλήλυθε. τρίτος δέ ἐστι τρόπος ὅταν βραχεῖα συλλαβὴ τελικὴ λέξις ᾖ. μὴ ἐπιφερομένων τῶν τῆς θέσεως μακρᾶς συμφώνων. ἀλλ' ἤτοι ἑνὸς ἢ μηδενός. ὡς ἐν τῷ. οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον. ἢ αὐτὰρ ἐπεὶ δ' ἀναβῶν γένετο ἰαχή τε. καὶ νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης. ἀλλά τά γ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται, καὶ μὲν οἱ λύκιοι τέμενος τάμον ἔνθα καὶ εἰς μόρος λόγου ἡ κοινὴ ἔληξε καὶ εἰς τὴν τοῦ προδὸς τελευταίαν. οὐ γὰρ ἄλλαι κοιναὶ ἃς πρὸ ἀρκτικῶν προσῳδιῶν ἦσαν. αὕτη δὲ καὶ τοῦ προδὸς καὶ τῆς λέξεως ληκτικὴ λέγω δὴ ἡ μέν.

Περὶ συνεκφωνήσεως.

Συνεκφώνησίς ἐστιν ὁπόταν δύο συλλαβαὶ σύμφωνοι μὴ ἔχουσαι μεταξὺ ἀλλήλων ἀντὶ μιᾶς παραληφθῶσι. τρόποι δέ εἰσι τῆς συνεκφωνήσεως οἵδε. ἢ γὰρ μακραὶ εἰς μίαν μακρὰν παραλαμβάνονται. δίζον. ἢ οὐχ ἅλις ὅτι γυναῖκας ἀναλκίδας ὑποδροπουδής, καὶ βουκόλ' ἐπεὶ οὔτι κακῶ. ἢ βραχεῖα καὶ μακρὰ εἰς μίαν μακράν. νέα μὲν μοι κατεάξε ποσειδάων ἐνὶ πόντῳ. πλέων σὺν οἴνοπα πόντον. ἢ δύο βραχεῖαι εἰς μίαν βραχεῖαν ὅπερ ἐν τοῖς ἄλλοις εὑρίσκεται μέτροις ὡς παρὰ ποταδῆ. σείων μελί-

ἡμίφωνον ἢ οὐκέτι κοινή ἐστιν ἡ προκειμένη· ἀλλὰ
τελέως μακρά. προτάσσεται δὲ ἡμίφωνον ὑγροῦ·
τὸ μὲν μ. τοῦ ν. οἷον ἀμνός· τὸ δὲ σ. τοῦ μ. οἷον ἐσμός,
καὶ τὸ σ. τοῦ λ. κατὰ πάθος ὡς ἐν τῷ ἀμάσλης,
καὶ σπανίως τοῦ ν. ὡς ἐν τῷ μάσνης. ἃ δὴ ὀνόμα-
τα παρὰ ξάνθῳ ἐστὶν ἐν τοῖς λυδιακοῖς. ἤδη μέντοι
ἡ διὰ τοῦ μ. ν. σύνταξις ἐποίησέ που καὶ βραχεῖ-
αν. ὡς παρὰ κρατίνῳ ἐν πανόπταις, ἀπὸ τριογνώ-
μης εὐπλήσμοσιν μνημονικοῖσι, καὶ παρ' ἐπιχάρ-
μῳ ἐν μεγαρίδι. εὔυμνος καὶ μουσικὰν ἔχουσα
πᾶσαν φιλόλυρος ἠχή. καὶ παρὰ Καλλιμάχῳ·
τῷ μὲν ὁ μνησάρχιος ἔφη ξένος. ἐὰν μέντοι ἐν τῇ
προτέρᾳ συλλαβῇ τελικὸν ᾖ τὸ ἄφωνον, τῆς δὲ
δευτέρας ἀρχικὸν τὸ ὑγρὸν οὐκέτι γίνεται κοινὴ
συλλαβή. ἀλλ' ἄντικρυς μακρά. ὡς παρὰ ἀλκαίῳ.
ἐκ μελάσας ἀλγέων. ἐκ δ' ἀσαμίνθου βαίτης. φησὶ
δὲ ὁ ἡλιόδωρος τὸ μ. ἐπιφερόμενον ἄλλῳ ἧττον τῶν
ἄλλων ὑγρῶν κοινὰς ποιεῖν ἐν τοῖς ἔπεσι συλλα-
βάς. διὰ τοῦτο καὶ κρατῖνος ἐν τοῖς χείρωσι πεποίη-
κε. σκῆψιν μὲν χείρωνας ἐληλύθαμεν ὡς ὑποθήκας ἀν-
τὶ τῶν ἐληλύθαμεν ὅπως ἐξηλείψαμεν ἰδιώτης ὤν. πρὸς
γὰρ δὴ μυρίαν τῶν τὴν χρῆσιν παρὰ τοῖς ἄλλοις ἔδειξα
μέντοι καὶ παρ' αὐτῷ τῷ κρατίνῳ πολλάκις οὖσαν. ὡς
ἐν κλεοβουλίναις. ἐστὶν ἄκμων καὶ σφῦρα νεανίᾳ εὐ-
τρίχι πώλῳ. καὶ ἐν πανόπταις. κρανία διττὰ φορεῖ.
ὀφθαλμοὶ δ' οὐκ ἀριθμητοί. καὶ ἐν ὥραις. οὐδὲ πρὸς
εἶδος ἄρ' οἶμαι οὐδ' ἔνι προσιδόντι τεκμαρτόν. ἀλ-

χωρεῖν οὔτε εἰς ἔπος οὔτε εἰς ἐλεγείαν. φησὶ γοῦν ἀρχελέως· ἦν γὰρ σύμμετρον ὧδε λέγειν. καὶ παρθένιος δὲ ἐπικήδειον εἰς ἀρχελαΐδα γράφων ἐλεγειακὸν, τὸ τελευταῖον μόνον στίχον ἀντὶ ἐλεγείου ἰαμβικὸν

» ἐποίησεν. ἐν ᾧ τὸ ὄνομα ἐρεῖν ἔμελλεν· ἀμυχρὰν
» οὔνομ' ἔσκετ' ἀρχελαΐδος. διὰ τοῦτο καὶ παρ' ὁμήρῳ συστέλλομεν τὴν πηνελέοιο ἄνακτος. ῥίνθων μὲν γὰρ καὶ ἐν ἰάμβῳ ἐπισημασίας ἠξίωσε τὸ τοιοῦ-
» τον. ἐν γὰρ ὀρέστῃ δράματι φησὶν, ὅδ' ἐ διόνυσος αὐτὸς
» ἐξόλη θείης. ὅδ' ἱππώνακτος τὸ μέτρον οὔ μοι μέλ-
λοι, ὅμως μέντοι καὶ ἐν ἔπεσιν εὑρίσκεται ὡς πα-
» ρὰ θεοκρίτῳ, ὑψηλᾶς ἐς πόντον ὁρῶν ἄλλα τε τοιαῦ-
» τα, καὶ παρ' ὁμήρῳ, οἷδ' ἀρετὴν οἷος ἐσσὶ. τίς σε
» χρὴ ταῦτα λέγεσθαι. καὶ παρὰ ἀνακρέοντι ἐν ἐλεγεί-
» αις οὐδ' ἔτι τοι πρὸς θυμόν. ὅμως γέ μεν ὡς ἀδιαί-
» στως. ἐπὶ μὲν γὰρ τῶν τοιούτων. σοὶ ναίουσ' ὑπερφή-
» ται αἰπολόπεδες χαμαιεῦναι, καὶ ἔδμεναι οἷα
» σύες χαμαιευνάδες αἰὲν ἔδουσιν. ἴσως διὰ τὸ

φαντασίαν τινὰ παρέχειν τοῦ ἀπηρτῆσθαι τὴν λέξιν ἐν τῷ χαμαὶ. ὡς μία ἡ χαμαί. ἀκούεσται. τῇ μέντοι ῃ. διφθόγγῳ ἐὰν παρακολουθήσῃ τὸ τοιοῦτον, τελείως τραχὺς ὁ στίχος γίνεται. οἷον ἕκτορ υἱὲ πριάμοιο. δεύτερος δέ ἐστι τρόπος ὅταν βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι ἐπιφέρηται ἐν τῇ ἑξῆς συλλαβῇ σύμφωνα δύο. ὧν τὸ μὲν α. ἄφωνόν ἐστι, τὸ δὲ β. ὑγρόν. οἷον ὅπλοἄκρον. πάτροκλέ μοι δειλῇ. ὅταν δὲ δ. προηγούμενον

» βουλεῦσιν στερέας ἄπο, νοῦς δ᾽ ἦ παρά. καὶ ἐμπεδο-
» κλῆς. ἄλς ἐπάγει ῥιπῇσιν ἕως μένος ἠελίοιο, ἢ ἐν
» τῇ ἑξῆς ἐστὶ συλλαβῇ, οἷον ἕκτωρ δ᾽ ἐγκλιθῆσιν.
ἔνθα καὶ δεῖ παρατηρεῖν μὴ τὸ μὲν α. ἄφωνον
ᾖ. τὸ δὲ β. ὑγρόν. αἱ γὰρ τοιαῦται κοιναὶ ὡς ἑξῆς
εἰρήσεται, ἢ λήγει μὲν εἰς ἓν, ἔχει δὲ καὶ τὴν ἑξῆς ἀρ-
χομένην ἀπὸ ἑτέρου οἷον ἄλλος. ἢ εἰς διπλοῦν λήγει
οἷον ἕξ. ἢ τὴν ἑξῆς ἔχει ἀπὸ διπλοῦ ἀρχομένην οἷον
ἔξω.

Περὶ κοινῆς συλλαβῆς.

Κοινὴ γίνεται συλλαβὴ κατὰ τρόπους τρεῖς
ἤτοι ὅταν μακρῷ φωνήεντι ἢ διχρόνῳ μηκυνομένῳ ἢ
» διφθόγγῳ ἐπιφέρηται φωνῆεν οἷον. ἄνδρα μοι ἔννε-
» πε μοῦσα πολύτροπον. ὃς μάλα πολλὰ πλάγ-
» χθη. ἐπεὶ τροίης ἱερὸν πτολίεθρον ἔπερσε. τοῦ κέρα
ἐγκεφαλῆς ἐκ καὶ δεκάδωρα. ῥᾶον μὲν οὖν γίνε-
ται ἡ τοιαύτη κοινὴ συλλαβὴ εἴγε ἡ συλλαβὴ εἰς
μέρος λόγου εἴη πεπερατωμένη ὡς ἐν τοῖς προκει-
μένοις παραδείγμασι. σπανιώτερον δὲ ἐπὶ μέσης
λέξεως. οὐ μὴν ἀλλ᾽ ὅμως εὑρίσκεται καὶ μάλιστα ἐν
» τοῖς ἄλλοις μέτροις. ἐν μὲν ἰαμβικῷ, αἰσχύλος ἐν
» νιόβα, οἶστρος τοιαύτης παρθένου λοχεύεται. ἐν δὲ
ἰωνικῷ τῷ ἀπὸ μείζονος σωτάδου ἐξ ἀδώνιδος
» τόδε. τίνα τῶν παλαιῶν ἱστοριῶν θέλετ᾽ ἐσακοῦσαι.
ἐν δὲ ἀντισπαστικῷ ἀνακρέοντος. οἴκου νῦν ἐπὶ λη-
δαίου. ἐν δὲ τοῖς ἔπεσι σπανιώτερον οὕτως. ὡς τὸ τοῦ
ἀρχελάου σοφοκλῆς ἐν ταῖς ἐλεγείαις οὐκ ᾤετο εἶν

ἘΓΧΕΙΡΊΔΙΟΝ ἩΦΑΙΣΤΊΩΝΟΣ ΠΕΡῚ ΒΡΑΧΕΙΆΣ ΣΥΛΛΑΒΗ͂Σ.

b

Ραχεῖα ἐστὶ συλλαβὴ, ἡ ἔχουσα βραχὺ φωνῆεν ἢ βραχυνόμενον μὴ ἐπὶ τέλει λέξεως οὕτως ὡς μὴ εἶναι μεταξὺ τούτου τοῦ φωνήεντος καὶ τοῦ ἐν τῇ ἑξῆς συλλαβῇ σύμφωνα πλείονα ἑνὸς ἁπλοῦ. ἀλλ' ἤτοι ἓν ἢ μηδὲ ἕν. Περὶ μακρᾶς.

Μακρά ἐστι συλλαβὴ ἡ ἔχουσα μακρὸν φωνῆεν ἢ μηκυνόμενον. ἢ μίαν τὴν καλουμένην δίφθογγον. οὕτως ὡς ἑξῆς εἶναι σύμφωνον ἤτοι τελικὸν αὐτῆς τῆς συλλαβῆς, ἢ τῆς ἑξῆς ἀρκτικὸν οἷον θὴς θῶς γαῦς παῖς. εἰ δὲ μὴ οὐκ εἰσὶν ἄντικρυς μακραὶ ἀλλὰ κοιναὶ ὡς ἑξῆς ῥηθήσεται. θέσει δὲ μακραὶ γίνονται ὅταν βραχέος ὄντος ἢ βραχυνομένου φωνήεντος σύμφωνα πέσῃ μεταξὺ αὐτοῦ τε καὶ τοῦ τῆς ἑξῆς συλλαβῆς φωνήεντος πλείονα ἑνὸς ἁπλοῦ ἢ ἓν διπλοῦν. γίνεται δὲ τοῦτο καὶ ἀεὶ ῥαδίως. ἤτοι γὰρ λήγει εἰς δύο σύμφωνα, οἷον τίρυνς. καὶ οὐκέτι τεῖχος ἐπήρκεσε. καὶ κεῖνος ἐν σάλεσιν ἥμενος μάκαρς αἰὴρ. καὶ τιμοκρέων ἐν τοῖς ἐπιγράμμασι. ὦ ξυμ-

ἘΓΧΕΙΡΊΔΙΟΝ ἩΦΑΙ-ΣΤΊΩΝΟΣ.

ENCHIRIDION HEPHÆ-STIONIS.


NIL CANDIDIVS

Η γραμματικὴ διαιρεῖται·

εἰς ἀναγνω/
στικόν,

ἐξηγητικόν.

διορθωτι/
κόν,

καὶ κριτι/
κόν.

εἰς ὑπόκρι/
σιν,

προσῳδί/
αν,

καὶ διαστο/
λήν.

εἰς τόνους,

εἰς χρόνους,

εἰς πνεύμα/
τα,

καὶ πάθη.

Florentiæ per hæredes Philippi Iuntæ Anno Domini M. D. XXVI. Cle. septimo Ponti. Maximo.

προσῳδίαι ἐπάνω φωνηέντων τίθενται. τῶν δὲ τριῶν τούτων, ἡ μὲν μία ἡ ἀπόστροφος, ἐπάνω, συμφώνων τίθεται, ἐπ' ἐμοῦ, ἐπάνω γὰρ τίθεται τοῦ συμφώνου τοῦ ὄντος τελευταίου τῆς πρώτης λέξεως. δηλοῦσα ὡς ὧδε πάθος γέγονε. καὶ φωνῆεν ἦν μετὰ τοῦ συμφώνου. καὶ ἀπεστράφη. ἡ δὲ ὑφὲν καὶ ὑποδιαστολὴ, ὑποκάτω τίθενται καὶ ἡ μὲν ὑφὲν δηλοῖ ἕνωσιν ὡς φιλόθεος. ἀρχομένη ἀπὸ τοῦ τελευταίου φωνήεντος τῆς πρώτης λέξεως καὶ τὴν μετὰ ταῦτα λέξιν, ὁμοῦ συμπεριλαμβάνουσα. ἔστιν. οὗς. ἃ μὲν βούλει ἀπεῖν ὑπάρχει ὠτίον. τίθης τὴν ὑποδιαστολὴν ὑποκάτω τοῦ ν. καὶ τὰ τρία ταῦτα ἡ ἀπόστροφος. ὑφέν. καὶ ὑποδιαστολὴ, οὐκ ἐγένοντο ἀπὸ στοιχείων. αἱ δὲ ζ'. προσῳδίαι, ἀπὸ στοιχείων τὴν γένησιν ἔχουσιν. ἡ μὲν ὀξεῖα καὶ βαρεῖα, ἀπὸ τοῦ λ'. στοιχείου. οἱ δὲ περισπωμένη καὶ μακρὰ καὶ βραχεῖα: ἀπὸ τοῦ θ'. ἡ δὲ δασεῖα καὶ ψιλὴ, ἀπὸ τοῦ γ'. οὐδ' ὅρος τῆς προσῳδίας ἁρμόζει τοῖς πάθεσιν. ὁμωνύμως οὖν λέγονται καὶ οὐ συνωνύμως. ἐπεὶ γὰρ καὶ ἐν ταύταις πρὸς τὰ πάθη ᾄδονται αἱ φωναί. διὰ τοῦτο προσῳδίαι λέγονται ἐν τῷ αὔτ' ἐμοῦ βλέπων τὴν ἀπόστροφον. οὐ λέγω αὐτὲ ἐμοῦ. ἀλλ' αὔτ' ἐμοῦ. καὶ ἐν τῷ χειρίσοφος βλέπων τὴν ὑφὲν, οὐ λέγω, χειρὶ σοφός. καὶ ἐν τῷ οὐκ ἔστιν, ἄξιος, πείθομαι ἡ ὑποδιαστολὴ ὑποκάτω τοῦ ν'. κειμένη, λέγειν ἄξιος ὥστε κατὰ τὴν ἐτυμολογίαν, λέγονται τὰ πάθη προσῳδίαι, ἀλλ' οὐ κατὰ τὸν ὅρον. Τέλος.

φησὶν· ὅτι πάντα τὰ ἀπὸ ὅλων εἰς μέρη ὁμοιομερῆ διαιρούμενα, οὐ μόνον τοῦ ὅλου τὸν ὁρισμὸν ἐπιδέχονται καὶ τὸ ὄνομα, ἀλλὰ καὶ ἀλλήλων. ἐνταῦθα δὲ οἱ τόνοι, οὐ καλοῦνται χρόνοι· οὐδὲ οἱ χρόνοι, τόνοι. οὐδὲ τὸν ὁρισμὸν ἀλλήλων ἐπιδέχονται. ἀλλ' οὐ ἢ εἰς ἀνομοιομερῆ μέρη. διότι τὰ ἀνομοιομερῆ, οὔτ' ἀλλήλοις, οὔτε τῷ ὅλῳ ὁμωνύμως λέγεται, ἀλλ' οὐδὲ τὸν ὁρισμὸν ἐπιδέχονται τῷ ὅλῳ, τὸν αὐτόν. ἡ χεὶρ, οὐ κληθείη ἄνθρωπος. οὐδὲ τὸν ὁρισμὸν τοῦ ἀνθρώπου ἐπιδέξεται. ἔτι δὲ οὐδ' ὡς γένος εἰς εἴδη. εἰ γὰρ καὶ τὸν ὁρισμὸν ἐπιδέχεται καὶ τὸ ὄνομα τῆς προσῳδίας ὥσπερ τὰ εἴδη τοῦ γένους, ἀλλὰ τὰ εἴδη ὁλοκληρόν τι ἀποτελοῦσιν. οἷον ὁ ἐπιστάμενος ἓν μόνον εἶδος τῆς ῥητορικῆς, τέλειος ῥήτωρ ἐστίν. ὁ δ' ἐπιστάμενος τοὺς τόνους μόνους ἀκριβῶς. οὐχὶ καὶ τοὺς χρόνους. καὶ τὰ πνεύματα, οὐκ ἔστι τέλειος γραμματικὸς κατὰ τοῦτο. Τούτων οὕτως ἐχόντων. καὶ ὑπ' οὐδεμίαν διαίρεσιν ἀναγομένης τῆς προσῳδίας, ὁ φιλόπονος λέγει. ὅς καὶ περὶ τῶν προσῳδιῶν διαλαμβάνει, ὡς οὐκ ἔστιν αὕτη διαίρεσις, ἀλλ' ὑποδιαίρεσις. διαίρεσις μὲν τῆς γραμματικῆς ὡς ὅλου εἰς μόρια, εἰς ταῦτα τὰ δ΄. ἀναγνωστικόν. ἐξηγητικόν. διορθωτικόν. καὶ κριτικόν. τὸ ἀναγνωστικὸν ὑποδιαιρεῖται εἰς ὑπόκρισιν, προσῳδίαν, διαστολήν. ἡ δὲ προσῳδία, εἰς τόνους, εἰς χρόνους, εἰς πνεύματα καὶ πάθη. τὰ δὲ πάθη, οὐκ εἰσὶ κυρίως προσῳδίαι, ἀλλὰ καταχρηστικῶς. ἃς. ζ΄.

ὅταν τὴν κεφαλὴν διέλωμεν, ῥῖνα, ὀφθαλμοὺς, ὦτα· ταῦτα γὰρ οὔτε τῷ τοῦ ὅλου ὀνόματι λέγονται, οὔτε τῷ ἀλλήλων, οὔτε τὸν ὁρισμὸν τοῦ ὅλου δέχονται, ἢ ἀλλήλων, ἢ ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα, ὡς ἡ κύων φωνὴ διαιρεῖται. εἰς τὸν ἀστρῷον θαλάσσιον· χερσαῖον· ἢ ἀπὸ οὐσίας εἰς συμβεβηκότα· ὡς ὅταν εἴπωμεν τῶν ἀνθρώπων οἱ μὲν εἰσὶ λευκοί· οἱ δὲ μέλανες. ἢ ἀπὸ συμβεβηκότων εἰς συμβεβηκότα. τῶν λευκῶν τὰ μὲν εἰσὶ θερμὰ ὡς ἡ ἄσβεστος· τὰ δὲ ψυχρὰ, ὡς χιών· καὶ ἀφ᾽ ἑνὸς πρὸς ἕν· ὡς ἀπὸ τῆς ἰατρικῆς τὸ ἰατρικὸν βιβλίον· τὸ ἰατρικὸν ὄργαλεῖον· ἀφ᾽ ἑνὸς γὰρ τῆς ἰατρικῆς, πρὸς ἓν τὴν ὑγείαν ἀφορῶσιν· ἔνιοι μὲν οὖν ἔφασαν ὅτι ἀπὸ ὁμωνύμου φωνῆς, εἰς διάφορα σημαινόμενα, ἐστὶν ἡ διαίρεσις· οὐ καλῶς δὲ λέγουσι. διότι ἐπὶ τῶν ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα διαιρουμένων, οὐχ εὑρίσκεταί τι κοινὸν, οὐ δὲ ὁρισμὸν ἐπιδέξονται ἅπαντα· οἷον ὁ ἀστρῷος κύων, οὐκ ἐπιδέξεται τοῦ ζώου τὸν ὁρισμόν. ἐνταῦθα δὲ καὶ οἱ χρόνοι καὶ τὰ πνεύματα καὶ οἱ τόνοι, ἐπιδέχονται τὸν τῆς προσῳδίας ὁρισμόν· πλὴν τῶν παθῶν· ἅτινα οὐ κυρίως δεχόμεθα προσῳδίας· ἄλλοι δὲ φησὶν ὅτι ἀπὸ ὅλου εἰς μέρη ὁμοιομερῆ, γέγονεν ἡ διαίρεσις· ἐπεὶ καὶ τὸν ὁρισμὸν τοῦ ὅλου ἐπιδέχονται. καὶ τὸ ὄνομα· καὶ προσῳδίαι καλοῦνται οἱ τόνοι· οἱ χρόνοι· τὰ πνεύματα καὶ τῆς προσῳδίας τὸν ὅρον ἐπιδέχονται. ἀλλ᾽ ἀπιθανῶ· οὗτοι

προσῳδίαι ἐκφέροντες κατὰ διάλεκτον προάγονται. κατὰ ἀναλογίαν καὶ κανόνα. ἀναλογίαν λέγει τὴν τῶν ὁμοίων παράθεσιν. ὃ μὲν ὅμοιος κατὰ ἀναλογίαν ἐκφέρεται. τὰ γὰρ διὰ τοῦ ιος ἅπαντα προπαροξύνονται. τὸ ἑτεροῖος. παντοῖος. γελοῖος. καὶ ὅμηρος τῇ ἀναλογίᾳ ἀκολουθῶν, ἀεὶ τὸν ὅμοιον ποτὶ τὸν ὅμοιον φησίν, οἱ δ' ἀττικοὶ ὁμοῖος λέγουσι. καὶ ἡμεῖς μὲν ἀναλόγως τρόπαιον λέγομεν, ὡς ἔλαιον. σπήλαιον οἱ δ' ἀττικοὶ τροπαῖον. τὸ ἀχιλλεὺς καὶ πηλεύς, ἡμεῖς ὀξύνομεν. οἱ δ' αἰολεῖς βαρύνουσι. οὕτω καὶ τὸ εἱρκτός, οἱ ἀττικοὶ δασύνουσιν, ἡμεῖς δὲ ψιλοῦμεν. οὐ μόνον οἱ τόνοι εἰσὶ προσῳδίαι. ἀλλὰ καὶ οἱ χρόνοι, καὶ πνεύματα. καὶ γὰρ οἱ χρόνοι τάσιν ἔχουσι. καθὸ ὁ μὲν αὐτῶν ἐκτείνεται. ὁ δὲ συστέλλεται. καὶ τὸ μὲν, ἐπιτεταμένος πρόεισιν ἐκ τοῦ θώρακος. τὸ δ' ἐξ ἄκρων τῶν χειλέων συνεσταλμένως. Ἡ προσῳδία διαιρεῖται εἰς τόνους, εἰς χρόνους, εἰς πνεύματα, καὶ εἰς πάθη. ζητητέον κατὰ ποῖον τρόπον τῆς διαιρέσεως διαιρεῖται αὕτη. ὀκταχῶς γὰρ ἡ διαίρεσις. ἀπὸ γένους εἰς εἴδη. ὡς τὸ ζῶον εἰς ἄνθρωπον καὶ ἵππον. ἢ τὸ φυτὸν εἰς ἐλαίαν καὶ ἄμπελον. ἢ ἀπὸ εἴδους εἰς ἄτομα. ὡς ἄνθρωπος εἰς τοὺς κατὰ μέρος ἀνθρώπους. ἢ ἀπὸ ὅλου εἰς μέρη. καὶ αὕτη διχῶς. ἢ εἰς ἀνομοιομερῆ, ἢ εἰς ὁμοιομερῆ. εἰς ὁμοιομερῆ μὲν ὅταν καὶ τοῦ ὀνόματος ὅλου καὶ ἀλλήλων μετέχωσι τὰ μέρη καὶ τοῦ ὁρισμοῦ. ὁ μέγας λίθος, τέμνεται εἰς μικρὰ λιθίδια, ἅτινα καὶ τοῦ ὅλου λίθου τὸ ὄνομα, καὶ ἀλλήλων ἔχει τὸν ὁρισμόν. εἰς ἀνομοιομερῆ. ὡς

ἐπειδ᾽ εἰσὶ μὲν καὶ ἐγγράμματοι φωναὶ, οὐ δηλοῦσι δέ τι, τούτου χάριν τὸ περὶ ὑγιοῦς. ἤγουν σημαινούσης τί. περιποιωμένη τάσις φησίν. οὐκ ὀφείλει ὡς ἔτυχεν ἐκφέρεσθαι. ἀλλ᾽ ὑγιῶς καὶ ὀρθῶς, κατὰ τὸ ἀπαγγελτικὸν τῆς λέξεως ἐκφερομένη. ὀρθὴ τάσις, κατὰ ἀπαγγελίαν τῆς λέξεως ἐκφέρεται. ὁ ἁγνὸς τὸ μὲν σημαίνει τὸν καθαρὸν, ὀξύνεται. τὸ δὲ τὴν βοτάνην ἄγνος λέγεις. καὶ παροξύνεται. τὸ ἀργὸς τὸ μὲν ὀξύνεται, σημαίνει τὸν ῥάθυμον. τὸ δὲ παροξύνεται. ἄργος λέγεις. καὶ σημαίνει ὄνομα πόλεως. δεῖ οὖν φησὶ τὴν ὀρθὴν τάσιν, κατὰ τὴν σημασίαν τῆς λέξεως ἐκφέρεσθαι. τὸ δὲ μετά τινος τῶν συνεζυγμένων περὶ μίαν συλλαβὴν, τοῦτο δηλοῖ. ὡς οὔτε τόνος χωρὶς χρόνου εὑρίσκεται, οὔτε χρόνος χωρὶς τόνου. ἀλλ᾽ οὐδὲ πνεῦμα αὐτὸ καθ᾽ αὐτὸ ἐκφέρεται. ἀλλὰ μετ᾽ ἀλλήλων εἰσὶ χρόνοι. β΄. μακρὸς καὶ βραχύς. πνεύματα δύο. δασὺ, καὶ ψιλόν. τόνοι τρεῖς. ὀξύς. βαρύς. περισπώμενος. ταῦτα χωρὶς ἀλλήλων οὐκ ἐκφωνεῖται. τὸ ἥλιος ὄνομα ἔχει. καὶ χρόνον τὸ η. καὶ πνεῦμα τὸ δασύ. καὶ τόνον τὴν ὀξεῖαν. ἰδοὺ καὶ χρόνος καὶ τόνος καὶ πνεῦμα. ὁ τόνος χωρὶς πνεύματος ἐκφέρεται καὶ πνεῦμα χωρὶς τόνου. αὐτὸ δὲ χρόνου, οὔτε πνεῦμα, οὔτε τόνος. ὡς περ οὐδὲ χρόνος αὐτῶν τόνου. συνεζευγμένα, τοὺς χρόνους, τοὺς τόνους, καὶ πνεύματα ὀνομάζει. ὅτι καὶ τὸν τῆς προσῳδίας ὅρον αὐτοὶ δέχονται ταῦτα. τὸ δὲ ἤτοι κατὰ συνήθειαν διαλέκτου ὁμολογουμένην. ἤτοι κατὰ τὸν ἀναλογητικὸν ὅρον καὶ λόγον, τοὺς τρόπους διδάσκει, καθ᾽ οὓς αἱ

Περὶ προσῳδιῶν.

Προσῳδία, ποιὰ τάσις ἐγγραμμάτου φωνῆς ὑγιοῦς, κατὰ τὸ ἀπαγγελτικὸν τῆς λέξεως ἐκφερομένη· μετά τινος τῶν συνεζευγμένων περὶ μίαν συλλαβήν· ἤτοι κατὰ συνήθειαν διαλέκτου ὁμολογουμένη, ἢ κατὰ τὸν ἀναλογητικὸν ὅρον καὶ λόγον. οἱ ὁρισμοὶ ἀπὸ γένους καὶ συστατικῶν διαφορῶν συνεστήκασι. κἀνταῦθα τὸ μὲν ποιὰ τάσις, ἀντὶ γένους ἐστί. καθολικὴ γάρ ἐστιν ἐπὶ χειρὸς καὶ ποδῶν. καὶ λίθων καὶ ξύλων, καὶ ἄλλων λέγεται. τὸ δὲ ἐγγραμμάτου καὶ τὰ λοιπά, ἀντὶ συστατικῶν διαφορῶν. ἡ προσῳδία, φωνῆς ποιά ἐστιν. ἡ ποιότητα τινὰ ἔχει. ἢ γὰρ ἐπιτεταμένη ἐστιν, ἢ, ἀνειμένη, ἢ μέση. τουτέστιν ἢ ὀξύτονος, ἢ βαρύτονος, ἢ περισπώμενος. ἐπειδὴ ἡ φωνὴ διττή ἐστιν. ἔναρθρος καὶ ἐγγράμματος. ὡς ἡ ἐκ διανοίας ἀνθρωπίνης παραπεμπομένη καὶ ἄναρθρος ἤγουν γραφῆναι μὴ δυναμένη. ὡς ἡ τῶν ἀλόγων ζώων. καὶ ὁ ἦχος ὁ ἀπὸ σιδήρου ἢ ξύλου ἢ τοιούτου τινὸς γινόμενος. καὶ ἢ σημαντική ἐστιν, ἢ ἀσήμαντος, καὶ ἄναρθρος σημαντική, ὡς ἡ τοῦ κυνὸς ὑλακή. σημαίνει γὰρ παρουσίαν τινὸς ἐπιδημήσαντος, ἄναρθρος ἀσήμαντος, ὡς ὁ ἐκ λίθων ἦχος γινόμενος. ἔναρθρος ἀσήμαντος ὡς σκινδαψός. βλίτυρι. ἔναρθρος σημαντική, ὡς ὕδωρ. θάλασσα. καὶ ὅσαι κατὰ πραγμάτων φωναὶ τίθενται. ἐπεὶ οὖν καὶ ἄναρθροι φωναί εἰσι τάσιν ἔχουσαι. ὡς, αἱ ἀπὸ σιδήρων καὶ ξύλων· ἃς οὐκ ἂν κυρίως φωνὰς εἴποιμεν διὰ τοῦτο προσέθηκεν ἐγγραμμάτοις·

Εὕρημαι ἀντὶ ἐνεργείας, αἰτιατικῇ· δημοσθένης, τῷ τοίνυν μήτε λυσίμαχον· μήτ' ἄλλον μηδένα· μὴ δεῖν εὑρῆσθαι παρὰ τῶν προγόνων ὑμῶν συγχωρήσαιμεν τὶ μᾶλλον οἷς ἔδομεν νῦν ἡμεῖς, διὰ τοῦτο δικαίως ἂν ἀφαιρεθεῖεν. Τύπτω, ὁ μέλλων, τύψω. γράφεται δὲ, καὶ τυπτήσω. οὐ γάρ με τυπτήσεις στέφανον ἔχοντά γε. καὶ τὸ παθητικὸν τυπτήσομαι. ὦ τίς εἴπω ἀλλ' αὖθις αὖ τυπτήσομαι. Ἐξέθρεψα αἰτιατικῇ. νὴ τὸν δία ἐνδίκῃ γ' αὖ. καὶ πῶς δικαίως. ὥς τις ὢν αἰσχυντέσ' ἐξέθρεψά μην. αἰσθόμενός σου πάντα τραυλίζοντος ὅτι νοοίης. Τὸ ἐπέχων ἀντὶ τοῦ ἐπεκράτησα, ἐπισχὼν αἰδοῖ τοὺς λιθάζοντας. καὶ ἐπέχον ἀντὶ τοῦ ἐπέτεινά τι. ἐπί τινος. οἷον, εἰ μέν γε βρῦν εἴποις, ἐγὼ γνοὺς ἂν ποιεῖν ἐπέχον.

Τῶν φωνῶν.

αἱ μὲν ἔναρθροι καὶ ἐγγράμματοι ὡς αἱ τῶν ἀνθρώπων.

αἱ δὲ ἄναρθροι, καὶ ἀγράμματοι, ὡς αἱ τῶν ἀλόγων ζώων. καὶ οἱ ἀπὸ ἀψύχων γινόμενοι ἦχοι.

Τῶν δ' ἐνάρθρων.

αἱ μὲν σημαντικαὶ ἔναρθρος σημαντικὴ ὡς ὕδωρ θάλασσα.

αἱ δὲ ἀσήμαντοι ἔναρθρος ἀσήμαντος σκινδαψός. βλίτυρι.

Τῶν δ' ἀνάρθρων.

ἁι μὲν σημαντικαὶ ἄναρθρος σημαντικὴ ἡ τοῦ κυνὸς ὑλακή.

αἱ δὲ ἀσήμαντοι. ἄναρθρος ἀσήμαντος ὡς ὁ ἐκ λίθων καὶ ξύλων ἦχος.

μὲν δύναται διώκειν δι᾽ ἐμέ. ἐμὲ δ᾽ ἐπάγων ἐξελέγχειν ἐνόμιζεν αὐτὸν οὐκ ἀπεγράψατο. εἰ γὰρ αἰακὸς ἢ ῥαδάμανθυς. ἢ μίνως ἦν ὁ κατηγορῶν. ἀλλὰ μὴ σπερμολόγος. περίτριμμα ἀγορᾶς. ὄλεθρος. γραμματεὺς, οὐκ ἂν αὐτὸν οἴομαι ταῦτ᾽ εἰπεῖν. οὐδ᾽ ἂν οὕτως ἐπαχθεῖς λόγους πορίσασθαι. ὥσπερ ἐν τραγῳδίᾳ βοῶντα. ὦ γῆ καὶ ἥλιε. καὶ ἀρετὴ καὶ τὰ τοιαῦτα. καὶ πάλιν. σύνεσιν καὶ παιδείαν ἐπικαλούμενον. ἢ τὰ καλὰ καὶ τὰ αἰσχρὰ διαγινώσκεται. ὀψὲ γάρ ποτε ὀψὲ λέγω, χθὲς μὲν οὖν καὶ πρώην. ἅμα ἀθηναῖος καὶ ῥήτωρ γέγονε. καὶ δύο συλλαβὰς προσθεὶς, τὸν μὲν πατέρα ἀντὶ τρόμητος, ἐποίησεν ἀτρόμητον. τὴν δὲ μητέρα σεμνῶς πάνυ γλαυκοθέαν ὠνόμασε. ἣν ἔμπουσαν ἅπαντες ἴσασι καλουμένην.

Προσήκει μοι κατὰ γένος ὁ δεῖνα ἀντὶ τοῦ συγγενὴς ἐμός ἐστι. καὶ προσήκον ἀντὶ τοῦ οἰκεῖον. ὅπερ ἐναντίον τὸ ἀλλότριον. καὶ γάρ τοι καὶ αὐτὸς ὑπελάμβανε. διὰ τοῦτο καὶ προσήκον τῶν ἀγαθῶν κύριος γεγονώς. καὶ πατρίδος τετυχηκώς. ἢ νόμοις τῶν ἁπασῶν πόλεων μάλιστα οἰκεῖσθαι δοκεῖ. οὐδένα οἴομαι τρόπον φέρειν. οὐδὲ χρῆσθαι τούτοις δύναται. ἀλλὰ τὸ τῆς φύσεως ὡς ἀληθῶς βάρβαρον καὶ θεοῖς ἐχθρόν. ἕλκει. καὶ βιάζεται. κἀν φανερὸν ποιεῖ τοῖς παροῦσιν. ὥσπερ ἀλλοτρίοις. ὅπερ ἐστὶν αὐτῷ χρώμενον.

Τιμῶσι τοῖς δὲ δημοσθένης ὅτι μὲν τοίνυν ὦ ἀθηναῖοι. καὶ τοῖς προγόνοις ἡμῶν ἔθος ἦν τοὺς χρηστοὺς τιμᾶν, δηλοῖ τὸ ψήφισμα τουτί. εἰ δὲ μὴ τοῖς αὐτοῖς οἷσπερ ἡμεῖς νῦν, ἕτερόν τι τοῦτ᾽ ἂν εἴη.

δεῖγμα· μὴ τοίνυν αὐτοὶ καθ' ὑμῶν αὐτῶν δεῖγμα ποιοῦντες ἐξενέγκητε ἄνδρες ἀθηναῖοι ὡς ἄρα ὑμεῖς ἐὰν μὲν τῶν μετρίων τινὰ καὶ δημοτικῶν λάβητε· ὅτι οὐ γὰρ ἀδικοῦντα, οὔτε ἐλεήσετε, οὔτε ἀφήσετε· ἀλλὰ προσθενεῖτε· ἢ ἀτιμώσετε· ἐὰν δὲ πλούσιος ὤν τις ὑβρίζει· συγγνώμην ἕξετε, μὴ δῆτα· οὐ γὰρ δίκαιον· ἀλλ' ἐπὶ πάντων ὁμοίως ὀργιζόμενον φαίνεσθε. Ἔρανος καὶ τὸ ῥῆμα, ἐρανίζω ἐνεργητικῶς ἀντὶ τοῦ ἔρανον ποιῶ. ἀριστείδης οὕτω δ' ἦν ἐξ ἀρχῆς θεοφιλὴς, ὥς τε λέγουσιν οἱ ποιηταὶ, ἐρανίζειν εἰς αὐτὴν ἀναμὶξ δύω χυμάτους· τὰ μὲν οὖν κατηγορημένα· πολλὰ καὶ δεινά· καὶ περὶ ὧν ἐνίων, μεγάλας καὶ τὰς ἐσχάτας οἱ νόμοι τάττουσι τιμωρίας· τοῦ δὲ παρόντος ἀγῶνος ἡ προαίρεσις αὐτή· ἐχθροῦ μὲν ἐπηρεάν ἔχει· καὶ ὕβριν καὶ λοιδορίαν· καὶ προπηλακισμὸν ὁμοῦ καὶ πάντα τὰ τοιαῦτα· τῶν μέντοι κατηγορικῶν καὶ τῶν αἰτιῶν τῶν εἰρημένων εἰ φωρηθήσαν ἀληθεῖς οὐκ ἔνι τῇ πόλει δίκην ἀξίαν λαβεῖν· οὐδ' ἐγγύς. οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ δ' προσελθεῖν τῷ δήμῳ καὶ λόγου τυχεῖν· οὐδ' ἐν ἐπηρείας τάξει καὶ φόνου, τοῦτο ποιεῖν, οὔτε μὰ τοὺς θεοὺς ὀρθῶς ἔχων οὔτε πολιτικὸν, οὔτε δίκαιον ἐστὶν ὦ ἄνδρες ἀθηναῖοι ἀλλ' ἐφ' οἷς ἀδικοῦντα με ἑώρα τὴν πόλιν οὔσι γε τηλικούτοις· ἡλίκα νῦν ἐτραγῴδει· καὶ διεξῄει. ταῖς ἐκ τῶν νόμων τιμωρίαις παρ' αὐτὰ τὰ ἀδικήματα χρῆσθαι. εἰ μὲν εἰς ἀγγελίας ἄξια πράττοντα με ἑώρα, εἰσαγγέλλοντα καὶ τοῦτον τὸν τρόπον εἰς κρίσιν καθιστῶντα παρ' ὑμῖν. εἰ δὲ γράφοντα παράνομα. παρὰ νόμων γραφόμενον. οὐ γὰρ δή που κτησιφῶντα

τοῦτο δ' ἐστὶ, μάλιστα μὲν θάνατος. εἰ δὲ μὴ, πάντα τὰ ὄντα ἀφελέσθαι. Τὸ ἀποκναίω, αἰτιατικῇ. οἷον, ἀποκναίει πάντας. ἀηδία. καὶ ἄλλοθι. ἀποκναίει γὰρ ἀηδία δήπου. καὶ ἀναισθησία. καθ' ἑκάστην ἐκκλησίαν ταῦτα λέγων. Λειτουργῶ σοι τόδε. οὗτος ὦ ἄνδρες γεγονὼς ἔτη πεντήκοντα ἴσως ἢ μακρὸν, ἢ ἐλάττω οὐδὲν πλείους λειτουργίας ἐμοῦ λελειτούργηκεν. Ἐξῆλθεν ἐκ παίδων. ἤγουν, τὴν τῶν παίδων ἡλικίαν παρῆλθεν. κἀγὼ μὲν κατ' ἐκείνους τοὺς χρόνους, ἐτριηράρχουν. εὐθὺς ἐκ παίδων ἐξελθὼν, ὅτε σύνδυο ἦσαν οἱ τριήραρχοι. καὶ τὰ ἀναλώματα πάντα ἐκ τῶν ἰδίων οἴκων, καὶ τὰς ναῦς ἐπληροῦμεν αὐτοί. Μεθῆκεν αἰτιατικῇ συνέσιος. μεθῆκεν οὖν ὁ κυβερνήτης ἐκ τῶν χειρῶν τὸ πηδάλιον. ἐπειδὴ τὸν ἥλιον εἴκασεν ἀπολελοιπέναι τὴν γῆν. Ἀφείλετο ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικήν. ἀφείλετό με τὸ γήδιον. καὶ ἀπὸ γενικῆς εἰς αἰτιατικήν. καὶ μὴν εἴ τις αὐτοῦ ταῦτ' ἀφέλοιτο. ἱππάρχημα τῆς παράλου ταμίας γέγονα. τίνος ἔστ' ἄλλου ἄξιος οὗτος. Ἁρπάζω τοῦδε τόδε. ἀλλὰ μὴν κἀκεῖνό γε ἐπίστασθε. ὅτι τῆς μὲν παράλου ταμιεύσας κυζικηνῶν ἥρπασε πλείους ἢ πέντε τάλαντα. ὑπὲρ ὧν ἵνα μὴ δῷ δίκην. πάντα τρόπον περιιὼν καὶ ἐλαύνων τοὺς ἄλλους καὶ τὰ σύμβολα συγχέων, τὴν πόλιν ἐχθρὰν τῇ πόλει πεποίηκε τὰ χρήματα τὸ δ' αὐτὸς ἔχει. Λυμαίνομαι τόδε. ἵππαρχος δὲ χειροτονηθεὶς, λελύμανται τὸ ἱππικὸν ὑμῶν. τοιούτους θεὶς νόμους οὓς πάλιν αὐτὸς ἔξαρνος ἦν μὴ τεθεικέναι. Ἐξήνεγκέ τις καθ' ἑαυτοῦ

θαι. Ὑποβάλλεται τὸν παῖδα. ἀντὶ τοῦ εἰσποιεῖ/
ται τὸν παῖδα ξένον ὄντα ὡς δοκεῖν αὐτῆς εἶναι. δη/
μοσθένης. ἡ μὲν γὰρ ὡς ἀληθῶς μήτηρ ἡ τεκοῦσα αὐ/
τόν, πλεῖστον ἁπάντων ἀνθρώπων εἶχε νοῦν. ἡ δέ, δοκοῦ/
σα καὶ ὑποβαλλομένη, πασῶν ἦν ἀνοητοτάτη γυναι/
κῶν. σημεῖον δὲ ἡ μὲν γὰρ ἀπέδοτο εὐθὺς γενόμενον.
ἡ δ' ἐξὸν αὐτῇ βελτίω πρίασθαι τῆς ἴσης τιμῆς. τοῦ/
το ἠγόρασε. Προσιὼν ἀντὶ τοῦ προσερχόμενος δο/
τική. οὗ ὁ ἐνεστὼς πρόσειμι. καὶ ἡ μετοχὴ ὁ προσι/
ών. ὅπερ λαμβάνεται καὶ ἐπὶ ἐνεστῶτος. καὶ ἐπὶ δευ/
τέρου ἀορίστου. ὥσπερ αὐτὸ τὸ πρόσειμι ῥῆμα; καὶ
ἐπὶ ἐνεστῶτος, καὶ ἐπὶ μέλλοντος. τοσούτων τοίνυν καὶ
τοιούτων ὄντων, τῷ βδελυρῷ τούτῳ, καὶ ἀναιδεῖ ὧν βε/
βίωται. ἔνιοί μοι προσιόντες ὦ ἄνδρες δικασταὶ τῶν
χρωμένων αὐτῷ, παραινοῦντες ἀπαλλαγῆναι καὶ
καθυφεῖναι τὸν ἀγῶνα τοῦτον ἐπειδή με μὴ πείθοιεν.
ὡς μὲν οὖν πολλὰ καὶ δεινὰ πεποίηκεν οὗτος. καὶ
δίκην ἥντινοῦν ἂν δικαίως δοίη τῶν πεπραγμένων,
οὐκ ἐτόλμων λέγειν. ἐπὶ ταῦτα δὲ ἀπήντων ὡς ἥλω/
κεν ἤδη καὶ καταψήφισται; τίνος τιμήσαν αὐτὸ προσ/
δοκᾷς τὸ δικαστήριον. Ἐξαιτήσομαι ἀντὶ ἐλευθε/
ρώσω. σκόπει δὴ μὴ τούτοις αὐτὸν ἐξετήσηται. καὶ
ἐλάττω πωλῇ τῇ πόλει καταστήσῃ. ἢ ὅσα σοι δίδω/
σι, καταγελάσῃ. Καταγινώσκω σου τόδε. ἐγὼ
δὲ πρῶτον μέν, οὐδὲν ἀγενὲς ἡμῶν καταγινώσκω,
οὐδ' ὑπολαμβάνω τιμήσειν οὐδενὸς ἐλάττονος τού/
του, ἢ ὅσον καταθείς, οὐ τοσοῦτον παύσεται τῆς ὕβρεως

τινα ὑπερβολὴν ἀπαιδείας καὶ ὠμότητος καὶ ὕβρεως. αὐτὸς εἰ ποιήσας δεινὰ νὴ δία καὶ πολλὰ ἀδίκως τινὰ· ἀντὶ τοῦ ταῦτα ἀναλαμβάνειν καὶ μεταγινώσκειν· ἔτι πολλῷ δεινότερα ὕστερον ἄλλα προσεξεργάζοιντο. καὶ χρῷτο τῷ πλουτεῖν, μὴ ἐπὶ ταῦτα· ἐν οἷς μηδένα βλάπτων, αὐτὸς ἄμεινόν τι τῶν ἰδίων θήσαιτο· ἀλλ' ἐπὶ τἀναντία ἐν οἷς ἀδίκως ἐκβαλών τινα καὶ προπηλακίσας. αὐτὸν εὐδαιμονιεῖ τῆς περιουσίας. Διεωσάμην. ἀντὶ τοῦ ἀπεκρουσάμην αἰτιατικῇ. δημοσθένης. ἐγὼ μὲν γὰρ ἴσως διεωσάμην. καὶ ἄλλος τις αὐτῶν ψευδῆ λόγον καὶ συκοφαντίαν. καὶ οὐχ ἀνήρπασμαι. οἱ δὲ πολλοί, τί ποιήσετε ἐὰν μὴ δημόσια φοβερὸν πᾶσι καταστήσετε τοῦ ταῦτα ἀποχρῆσθαι τῷ πλουτεῖν. Διακρούσηται. ἀντὶ τοῦ ἐκφύγει. εἰ μὲν τοίνυν ὦ ἀθηναῖοι σώφρονα καὶ μέτριον πρὸς τἆλλα παρεσχηκὼς ἑαυτὸν μειδίας καὶ μηδένα τῶν ἄλλων πολιτῶν μηδὲν ἠδικηκώς, εἰς ἐμὲ ἀσελγὴς μόνον. οὕτω καὶ βίαιος ἐγεγόνει, πρῶτον μὲν ἐγὼ γ' ἀτύχημα ἂν ἐμαυτοῦ τοῦτο ἡγούμην. ἔπειτα ἐφοβούμην ἂν μὴ τὸν ἄλλον ἑαυτοῦ βίον οὗτος μέτριον δεικνύων καὶ φιλάνθρωπον. τούτῳ δίκην δοῦναι ὧν ἐμὲ ὕβρικε διακρούσηται. Ἐξείργοντα. ἀντὶ τοῦ κωλύοντα, αἰτιατικῇ. οὐ δεῖ δὴ παρορᾶν τὰ τοιαῦτα. οὐδὲ τὸν ἐξείργοντα δέει καὶ φόβῳ τὸ δίκην ὧν ἂν ὑμῶν ἀδικηθῇ τις λαμβάνειν παρ' αὐτοῦ. ἄλλο τι χρὴ νομίζειν ποιεῖν. ἢ τὰς τῆς ἐλευθερίας καὶ ἰσηγορίας ὑμῶν μετουσίας ἀφαιρεῖν

θεστῶς· προσαπεστερήθην ἐγώ. τοίνυν ὦ ἀθηναῖοι τοῦ
ἴσου. οὐκ ἔτυχον διὰ τοῦτον. ἀλλὰ χωρὶς ὧν ὑβρίσθην
καὶ τῆς νίκης προσαπεστερήθην. Διαίρω τὸ στόμα
περὶ τοῦδε. καὶ μὴ ᾖ διάραι δ' στόμα περὶ αὐτοῦ νῦν ἔχειν
ἐμέ. Ἀφίημί σοι τόδε. ἀλλ' ὦ βέλτιστε ἀχιλλεῦ τὸν
ἕκτορ' ἀποκτείνας, ἄφες ὁμήρῳ περὶ τοῦ φόνου τι
διελθεῖν. καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικήν. ἀφίημι τὴν
πόλιν τὰ χρήματα, καὶ αἰτιατικῇ. ἄφες ἀπὸ βαλβί-
δων ἐμὲ καὶ τουτωνί. ὁ μέλλων ἀφήσω. ἐγὼ δὲ σὺ στεί-
λας τοὺς, ἀλλ' αὐτὰς ἔτ' ἀφήσω κατὰ κῦμ' ἐμαυτόν.
ὁ ἀόριστος, ἀφῆκα. ὦ μιαρώτατε δείσας. ἀφῆκας τὸν
κολοιόν. Ἐῶα δείλη, τὸ πρωῒ δείλη δ' ὀψία, τὸ με-
τὰ τοῦ μέσου τῆς ἡμέρας. συνέσιος. λύσαντες ἐκ βεν-
διδείου πρὸ δείλης ἑώας μόλις ὑπὸ μεσοῦσαν ἡμέ-
ραν. τὸ φάρος μύρμηκα παρηλλάξαμεν. δίς που καὶ
τρὶς ἐνσχεθείσης τῆς νεὼς τῷ τοῦ λιμένος ἐδάφει.
Ἀπέβη τῆς νεώς. συνέσιος. εὐθὺς μὲν οὖν καὶ τοῦτο
πονηρὸς οἰωνὸς ἐδόκει. καὶ σοφὸν ἦν ἀποβῆναι νεὼς
ἐκ πρώτης ἀφετηρίας οὐκ εὐτυχοῦς. Παραγρά-
φομαι ἀντὶ τοῦ παρὰ τὸ εἰκὸς ποιοῦμαι κατὰ τοῦ δεῖ-
νος κατηγορίαν. δημοσθένης. δημοσθένει δὲ τὴν
γραφὴν τοῦ φόνου παραγράψασθαι. Διενήνοχα
βαρέως τοῖς πράγμασιν ἀντὶ τοῦ βαρέως διετέθην.
ἐπὶ τοῖσδε τοῖς πράγμασι δημοσθένης. ἐγὼ γὰρ ἐνη-
νοχὼς χαλεπῶς ἐφ' οἷς περὶ τὴν λειτουργείαν ὑ-
βρίσθην. ἔτι πολλῷ χαλεπώτερον ὦ ἀθηναῖοι τοῖς
μετὰ ταῦτα ἐνήνοχα. καὶ μᾶλλον ἠγανάκτησα. τί
γὰρ ὡς ἀληθῶς πέρας ἂν φήσειέ τις εἶναι κακίας. ἢ καὶ

κλοι. λίαν ἠχθέσθην καὶ γράφειν ἕτοιμος ἦν. καὶ ἐμβαίνω εἰς τόδε. ἀριστοφάνης ἔμβαινε ἐς λόχμην. καὶ λιβάνιος. οἳ, κἂν εἰς πῦρ ἐμβαῖεν ἀντὶ τοῦ τι κερδᾶναι. Μέτεστί μοι τοῦδε, οὐ τὸ ἀπαρέμφατον μετεῖναι. δημοσθένης. ἀλλ' οἶμαι τὸ πάντας ποιοῦν καὶ φιλοτιμεῖσθαι καὶ ἀναλίσκειν ἐθέλειν. ἐκεῖνό ἐστιν ὅτι τῶν ἴσων καὶ τῶν δικαίων ἕκαστος ἡγεῖται ἑαυτῷ μετεῖναι ἐν δημοκρατίᾳ. Ἀφαιρεθήσομαι. αἰτιατικῇ. ἂν γὰρ ἑκάστῳ τῶν χορηγούντων τοῦτο πρόδηλον γένοιτο ὅτι ἂν ὁ δεῖνα ἐχθρὸς ᾖ μοι μειδίας. ἢ τίς ἄλλος θρασὺς οὕτω καὶ πλούσιος πρῶτον μὲν ἀφαιρεθήσομαι τὴν νίκην κἂν ἄμεινον ἀγωνίσωμαί τινος. ἔπειτ' ἀφ' ἅπασιν ἐλαττωθήσομαι. καὶ προπηλακιζόμενος διατελέσω, τίς οὕτως ἀλόγιστος, ἢ τίς οὕτως ἄθλιός ἐστιν ὅστις ἑκὼν ἂν, μίαν δραχμὴν ἐθελήσειεν ἀναλῶσαι. οὐδεὶς δήπου. Τὸ λέγω. τὸ πρᾶγμα, αἰτιατικῇ. τὸ δὲ πρόσωπον, δοτικῇ ἀντὶ τοῦ πράγματος. οἷον, τοιαῦτα μέντοι καὶ ποτ' ἔνδον ἔλεγεν οἷα περ καὶ νῦν. καὶ τὸν σιμωνίδην. ἔφασκ' εἶναι κακὸν ποιητήν. κἀγὼ μόλις μὲν, ἀλλ' ὅμως ἠνεσχόμην τὸ πρῶτον. ἔπειτ' ἐκέλευσ' αὐτὸν ἀλλὰ μυρίνην λαβόντα, τῶν αἰσχύλου λέξαι τί μοι. καθ' οὗτος εὐθὺς εἶπεν. ἐγὼ γὰρ, αἰσχύλου νομίζω πρῶτον ἐν ποιηταῖς ψόφου πλέων. ἀξύστατον στόμφακα. κρημνοποιόν. ἀντὶ προσώπου τὸ λέγω, δοτικῇ, ἀριστοφάνης. ἐγὼ μὲν οἰμώζειν λέγω σοι. μανθάνεις, ὅς φησιν ἤ; μετὰ τῆς πρὸς προθέσεως σοὶ λέγει τοῦτ' οὐκ ἐμοί. Ἀπεστερήθην γενικῇ. καὶ μετὰ τῆς πρὸς προ-

οὗτος εἰ μήπω πέπραθ᾽ οὐκ ἂν ἦν οὕτως ἀκόλαστος. Θρασύνομαι τῷ πράγματι. ἀριστοφάνης. ἀλλ᾽ ἐᾶθ᾽ ὅτῳ θρασύνεται. δῆλον γὰρ λῆμμ᾽ ἐστὶ τἀνθρώπῳ. Τὸ λοιδοροῦμαι. ὅτε μὲν ἐνεργείας κεῖται, δοτικῇ συντάσσεται. ἀριστοφάνης. πίεται γὰρ λουτρὸν καὶ λοιδορήσεται ταῖς πόρναις. καὶ φιλόστρατος ἐλοιδορεῖτο τῷ εὐπόρῳ. Ἀλῶ ἀντὶ τοῦ ἀλήθω. ἀριστοφάνης. ὅδ᾽ εὐθὺς ἀρχαῖον ἂν ἔφασκ᾽ εἶναι κιθαρίζειν. ἄδειν τε πίνοντα. ὡσπερεὶ κάγχρυς γυναῖκ᾽ ἀλοῦσαν. Ἑστιῶ ἀντὶ τοῦ τρέφω. ἐνεργητικῶς αἰτιατικῇ. ἀριστοφάνης. οὐ γὰρ τότ᾽ εὐθύς, χρῆν σ᾽ ἄρα τύπτεσθαι. καὶ πατεῖσθαι ἄδειν κελεύονθ᾽ ὡσπερεὶ τέττιγας ἑστιῶντα. καὶ ἑστιῶμαι παθητικῶς. ἐπειδὴ γὰρ ἑστιώμεθ᾽ ὑμεῖς. ὥσπερ ἔθος. πρῶτον μὲν αὐτὸν τὴν λύραν λαβόντ᾽ ἐγὼ ᾽κέλευσα ᾆσαι σιμωνίδου τι μέλος, τὸν κριὸν ὡς ἐπέχθη. Τὸ φέρω, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. ἀριστοφάνης. μαμμᾶν δ᾽ αἰτήσαντος ἧκον σοι φέρων ἄρτον. εἰ καὶ ἐνταῦθα ἔχει σχετικῶς τὸ σοὶ πρὸς τὸ ἧκον, ἀλλ᾽ οὖν τὸ φέρω συνεπινοούμενον ἔχει καὶ δοτικήν. Προὐχόμην, ἀντὶ τοῦ προέτεινα, αἰτιατικῇ. κακκᾶν δ᾽ οὐκ ἂν ἔφθης φράσας κἀγὼ λαβὼν θύραζε, ἐξέφερον ἂν καὶ προὐχόμην σε. σὺ δέ με νῦν ἄγχων βοῶντα κεκραγότα ὅτι χεζητιῴην, οὐκ ἔτλης ἔξω ἐξενεγκεῖν ὦ μιαρὲ θύραζέ με. ἀλλ᾽ ἀποπνιγόμενος αὐτοῦ ποίησα κακκᾶν. Ἐμβάλλω τὸν δεῖνα εἰς τόδε. λιβάνιος. οὔτε οὖν ἐνέβαλες αὐτὸν εἰς καπνόν τε καὶ κινδύνους χαλεπῶν πραγμάτων. ὧν ἀφειστήκει πλέον ἢ καμίνων οἱ κύκλοι.

τοι. καὶ πρότερον σ' εἰργάζετο. Ζηλῶ τὸ μακαρίζω, ἀπὸ αἰτιατικῆς εἰς γενικήν. ὦ πᾶσιν ἀνθρώποισι φανείς. μέγιστον ὠφέλημα ζηλῶ σε τῆς εὐγλωττίας. Σοβῶ. τὸ μετὰ ἐνθουσιασμοῦ, καὶ σοβαροῦ τοῦ φρονήματος περιέρχομαι. συνέσιος. οὐ γὰρ οἶμαι τὸ ἀπὸ τοῦδε σοβήσειν διὰ τῆς ἀγορᾶς ἰωάννην τὸν ἀλιτήριον. οὐδὲ πὺξ ἐντείνειν. οὐδὲ λὰξ ἀναλεῖσθαι τῷ νέῳ ἐπιεικεστέρῳ ὄντι. ἀνασοβῶ δὲ, τὸ ταράττω. ἀνασοβεῖ δὲ πάντας ὁ ἀνδρονικὸς ὠναμένοις τὰ λουκίππου. ἀποσοβῶ δὲ, τὸ ἀποδιώκω. ὑμᾶς δ' ἀπελαύνει καὶ οὐκ ἐᾷ τὸν δεσπότην ἄλλον θεραπεύειν. ἀλλὰ εὐρύνην ἔχων ὁ εἰσπυοῦντος ἔσω. ἀποσοβεῖ τοὺς ῥήτορας. Θεραπεύω τὸ τιμῶ. λιβάνιος. ἀγαθὸν θεραπεύσεις σοφιστήν. καὶ Ἀριστοφάνης. κοὐκ ἐᾷ τὸν δεσπότην ἄλλον θεραπεύειν. Τὸ νικῶ, συντάσσεται αἰτιατικῇ τὸ πρόσωπον. ἀριστοφάνης. ἐγὼ γὰρ ἀποδείξω. καί σε νικήσω λέγων. τουτὶ σὺ νικήσεις. Διδάσκομαι τὸν υἱὸν ἀντὶ τοῦ εἰς διδάσκαλον πέμπω μαθησόμενον. ἀριστοφάνης. ἐδιδαξάμην μέν τοι σε νὴ δί' ὦ μέλεε, τοῖσι δικαίοις ἀντιλέγειν. εἰ ταῦτα γε μέλλεις μ' ἀναπείσειν. ὡς δίκαιον καὶ καλὸν τὸν πατέρα τύπτεσθαι ἐστὶν ὑπὸ τῶν υἱέων. Κρατῶ γενικῇ ἀριστείδης. ἀλλὰ κρατεῖν τῶν ἡδονῶν. τόν γε δὴ χρηστὸν καὶ σώφρονα, καὶ τοὺς πολίτας συνεθίζειν, μὴ πλέον ζητεῖν ἔχειν. καὶ αἰτιατικῇ. ὅτι τὴν αἰδεία κρατήσεις. Ῥέπω ἡ δοτικῇ. ἀριστοφάνης ὡς

οὐδ' ἐπὶ κέρδει φιλεῖν τοὺς δόντας αὐτοῖς· οὐδέ γε μᾶλλον. ἢ τοὺς παῖδας καὶ γονέας ἐπὶ κέρδει φιλεῖν. ἀλλὰ καὶ μετὰ τῶν ἀναλωμάτων σώζειν, ὥσπερ εἰκός, τοῖς ὡς ὑπὲρ οἰκείων ταῖς γνώμαις διακειμένοις. Ἐπιτηδεύομαι παθητικῶς καινὸς οὗτος. Τρόπος ἐπιτηδεύεται παρ' ἐμοῦ χεῖρας ἐπιστολῶν. Ἐργάζομαι ὁ μέλλων ἐργάσομαι. οἷον, οἶμαι τὶ ποθ' ἡμᾶς ἐργάσει τῷ σῷ τρόπῳ καὶ συνέσιος. κἂν μὲν ἐγχωρῇ μετὰ φιλοσοφίας ἐργάσομαι τὸ πρᾶγμα. ὁ ἀόριστος εἰργασάμην. συνέσιος. ὄρος ἐστὶν ἡ βομβαία κοῖλον. ὃ συνελθοῦσαι τέχναι καὶ φύσις, εἰργάσαντο φρούριον ἐρυμνότατον. ὁ μέσος δὲ παρακείμενος, εἴργασμαι. καὶ εἰς ἐνέργειαν λουκιανός. κατέκαυσε μὲν τὰς πελέας. ὥσπερ δὲ τοὺς κακοδαίμονας ἰχθῦς καὶ τὰς ἐγχέλυς, αὐτὸν δὲ ἐμὲ ὑπερκαχλάσαι ποιήσας. μικροῦ δεῖν. ὅλον ξηρὸν εἴργασται. καὶ εἰς πάθος ἀριστείδης. εἴργασται καὶ ἡμῖν ὁ λόγος ἀντὶ πέπλου κόσμος παναθηναίων τῇ θεωρίᾳ, δοῦναι δὲ χάριν τῆς αὐτῆς θεοῦ ἧσπερ καὶ ὁ λόγος. καὶ ἡ πόλις. κατεργάζομαι δὲ τὸ καταγοητεύω αἰτιατικῇ συνέσιος. ἐγὼ γὰρ ἐπανήξω σοι θᾶττον ἢ λόγος τὸ παιδίον κατεργασάμενος. ἀλλὰ καὶ κατεργάζομαι τὸ ἀπόλλυμι καὶ διαφθείρω. ἀριστοφάνης. καὶ μή με σῇς τὸν ἄνδρα· κατεργάσει γὰρ ῥαδίως τὰς θύρας ἔχων τοιαύτας. Εὐωχῶ, αἰτιατικῇ πλάτων. ἐγὼ δὲ πολλὰ καὶ ἡδέα. καὶ παντοδαπὰ εὐωχοῦν ἡμᾶς. Ἐπιθυμῶ, γενικῇ. ἀριστοφάνης ἐπιθυμήσας ἐξαίφνης ἔτνους. Εἰργάζετο, αἰτιατικῇ. τοιαῦτα μέν

καὶ μετὰ ἀπαρεμφάτου. Ἀριστοφάνης· τί δ᾽ ἢν τὰ πρότερ᾽ ἐπαγγέσθαι τούτου λαβὸν βούλει τὸ νέον, ἢ διδάξω τὸ λέγειν. Ἀντιβολῶ αἰτιατικῇ· πρὸς τοῦ διὸς ἀντιβολῶ σε, φράσον, τίνες εἰσὶν ὦ Σώκρατες αὗται. αἱ φθεγξάμεναι τοῦτο τὸ σεμνόν. ἐνίοτε δὲ μετὰ τοῦ ἵνα καὶ εἰς ἀπαρέμφατον. ὃ δ᾽ ἀντιβολεῖν αὐτοὺς ὀλίγον μεῖναι χρόνον. Ἀναιδεύομαι, τὸ ἀπαναισχυντῶ. ἀμετάβατον παρ᾽ Ἀριστοφάνει. ὁ δὲ, πρὸς παῖδ᾽ ἀναιδεύεται κοὐ μεθίστησι τοῦ χρώματος. τοῦ παρεστηκότος. ὑπεραναιδευθήσομαι δὲ, ἀντὶ τοῦ τῇ ἀναιδείᾳ νικηθήσομαι. οἴμοι κακοδαίμων. ὑπεραναιδευθήσομαι παρ᾽ Ἀριστοφάνει. Αἰσχύνομαι, τὸ αἰδοῦμαι, καὶ ἐντρέπομαι. καὶ συντάσσεται μετὰ ἀπαρεμφάτου. οἷον. ὃς γε μὲν ἐμοῦ καταφρονεῖ πρᾶγμα οὐδὲν, ἀλλ᾽ αἰσχύνεσθαί μοι δοκεῖ. καὶ τὰ θεῖα τιμῆσαι. ἀλλὰ καὶ αἰτιατικῇ παρ᾽ Ἀριστοφάνει. αἰσχύνομαι δὲ, τὰς ἐμαυτοῦ συμφοράς. οἵοις ἄρα ξυνὼν ἐλάνθανον. Ἐργάζομαι, καὶ τοῦτο, αἰτιατικῇ συντασσόμενόν ἐστιν. οἷον, σὺ μὲν οἴῃ, ἐργάζῃ ῥητορικόν. καὶ συγχωρῶ σοι. μὴ ταύτην τὴν ἐπιτήδευσιν. ἀλλὰ τὴν ὀρθὴν καὶ γενναίαν ἦν, οὐδὲ παρά του οἶμαι διαγράφειν πειρᾶται. Ὀφείλω, τὸ χρεωστῶ ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν συντάσσεται. Ἀριστείδης. εὖ γὰρ ποιεῖν οὐκ εὖ πάσχειν πεφυκότες ᾔδεσαν καὶ μισθὸν ὀφείλειν αὐτοῖς τοῖς εὖ ποιοῦσι τὸ ἑλληνικόν. Τὸ δεῖν ἀντὶ τοῦ δέον ἦν. εὕρηται συντασσόμενον μετὰ ἀπαρεμφάτου παρ᾽ Ἀριστείδῃ. ἀλλ᾽ οὐχ αὐτοὺς δεῖν παρ᾽ ἑτέρων μισθὸν τῆς ἀρετῆς λαμβάνειν.

γος. παραπεμφθέντες. Διΐστημι ἀντὶ τοῦ διαχωρίζω. καὶ συντάσσεται αἰτιατικῇ. Λουκιανός. ὁ μὲν ὄζοις διέστησεν αὐτάς, καὶ ἄχρι χειρῶν προὐχώρησε τὸ πρᾶγμα. Πλύνω αἰτιατικῇ. Ἀριστοφάνης. τί μ' ὦγαθ' οὐ πλύνειν ἐᾷς τὰς κοιλίας. πωλεῖν τε τοὺς ἀλλᾶντας. ἀλλὰ καταγελᾷς. Τὸ ἀρκῶ συντάσσεται δοτικῇ. μετὰ ἀπαρεμφάτου. Λιβάνιος. ἀλλ' ἀρκεῖ μοι τὸ ᾄδειν ὥσπερ τῇ ἀηδόνι. καὶ τὸ ἀρκέσω παρὰ Λιβανίῳ, αἰτιατικῇ. αὐτὰ δὲ ταῦτα ἀρκέσειν ἡγούμην σοι τόν τε τρόπον, τήν τε πενίαν. καὶ παρὰ τῷ Ἀριστείδῃ. δι' ἃ καὶ μόνα τὴν εὔνοιαν ἤρκει. παρὰ παντὸς ὑμῖν, ἤγουν κατὰ φύσιν. Ἀποπτάσας ἀντὶ τοῦ ἐκβαλών. καὶ συντάσσεται ἀπὸ γενικῆς εἰς αἰτιατικήν. Λουκιανός. πολὺ αὐτῶν ἀποπτάσας τὸ πῦρ. καὶ γενικῇ μόνῃ Λουκιανός. ἀλλὰ μεταξὺ λόγων ἤδη πολὺ προϊόντες ἀποσπάσαι με τῶν ἀστέρων. καὶ οὐκ οἶδ' ὅπως αὖτις ἀπὸ τῆς ἑστόρας ἐπὶ τὴν ἑρτέαν μεταγάγοι τὴν ὄψιν ἀποσπάσας. Τὸ ἄχθομαι, συντάσσεται δοτικῇ. Λουκιανός. οὐ σφόδρα ὦ Ἥρα, τούτοις ἄχθομαι τοῖς σκώμμασι. καὶ ἀμεταβάτως. παρὰ Λουκιανῷ. καὶ ὅλως περικέχυταί μοι τὸ κάλλος αὐτοῦ καὶ ὅλον περιείληφέ με. καὶ ἄχθομαι ὅτι μὴ καὶ αὐτὸς ὥσπερ ὁ Ἄργος, ὅλῳ βλέπειν δύναμαι τῷ σώματι. Δεῖ ἀντὶ τοῦ χρεία ὑπάρχει ἀπὸ δοτικῆς εἰς γενικήν. οἷον, δεινῶν δέ σοι βουλευμάτων. ἔοικε δεῖν πρὸς αὐτόν. εἴπερ τὸν ἄνδρα ὑπερβαλεῖ. καὶ μὴ γέλωτα ὀφλήσεις. Βούλει μετὰ ὑποτακτικοῦ. ἀντὶ τοῦ ἵνα.

ὑφ' ἑτέρου. ὅτε δὲ οὐκ ἔχουσι τοὺς μέσους ἀορίστους, τότε τοὺς ἄλλως ἀορίστους, εἰς τὴν αὐτὴν σημασίαν παραλαμβάνουσιν. οἷον τὸ βούλομαι. καὶ τοῦτο γάρ πως ἐνέργειαν σημαντικόν. ἐπειδὴ οὐκ ἔχει τὸν μέσον ἀόριστον. τὸ γὰρ ἐβουλησάμην ἄχρηστον. τὸ ἐβουλήθην εἰς τὴν αὐτοῦ σημασίαν παρέλαβε. σεσημείωται τὸ προενοήθην καὶ προενοησάμην, ἄμφω γὰρ ταῦτα ἐνεργείας σημαντικά. πλὴν ἀλλὰ καὶ τὸ προνοῶ ἐν χρήσει. Ἰστέον ὅτι, τὸ προστακτικὸν ἀντὶ τοῦ μέλλοντος πολλάκις εὑρίσκεται. ἀριστοφάνης. οἶσθ' οὖν ὃ δρᾶσον. ἀντὶ τοῦ ὃ δράσεις. ἔστι δ' ὅτε καὶ ὁ μέλλων ἀντὶ προστακτικοῦ. ἀριστοφάνης. οὐ μὴ λαλήσεις. ἀλλ' ἀκολουθήσεις ἐμοί. ἀντὶ τοῦ ἀκολούθησον. Ἐντείνω ἐνεργητικόν. ἤδη δὲ καὶ πληγὰς αὐτῷ ἐνέτεινα ἐς τὰς πυγάς. τῷ σανδάλῳ. ἐντεινάμην δὲ, ἐπὶ χορδῶν μουσικῆς. λουκιανός. χελώνην που νεκρὰν εὑρών. ὄργανον ἀπ' αὐτῆς συνεπήξατο. πήχεις γὰρ ἐναρμόσας. ἔπειτα κολλάβους ἐμπήξας, καὶ μαγάδα ὑποθεὶς, καὶ ἐντεινάμενος ἑπτὰ χορδὰς ἐμελῴδει πάνυ γλαφυρὸν ὦ ἥφαιστε καὶ ἐναρμόνιον. ἀλλὰ καὶ ἐντεταμένοις τὴν ἁρμονίαν. ἣν οἱ πατόρας ἐδίδασκον παρ' ἀριστοφάνει. καὶ ἐντεταμένος ἐπὶ τόξου λουκιανός. ὁπόταν οὖν ἐντειναμένης τὸ τόξον ἴω ἐπ' αὐτήν. ἐπισείουσα τὸν λόφον. καὶ ἐκπλήττει με. καὶ ὑπότρομος γίνομαι. Ἦλθον, καὶ μετὰ τῆς ἀπό. ἀπῆλθον. λουκιανός. ἡ θέτις μὲν ἤδη. καὶ ὁ πηλεὺς ἀπεληλύθεισαν εἰς τὸν θάλαμον ὑπὸ τῆς ἀμφιτρίτης. καὶ τοῦ ποσειδῶ-

τροπῇ τοῦ ε· εἰς θ', ἴθι. Ὁ μέντοι δεύτερος ἀόριστος οὗτος ἐπὶ τῶν ὁριστικῶν ἐνεργητικῶν ἄχρηστος ὤν, καὶ ἐπὶ τῶν προστακτικῶν εὑρίσκεται· οἷον ἴθι, καὶ ἐπὶ τῶν εὐκτικῶν· οἷον ἵημι. καὶ ἐπὶ τῶν ὑποτακτικῶν ἴω· καὶ ἐπὶ τῶν μετοχικῶν οἷον ἰών. κεῖται δὲ μάλιστα ἐπὶ σημασίας ἐνεστῶτος παρεληλυθότος καὶ μέλλοντος, σημαίνει γὰρ τὸ ἐρχόμενος. Ἰστέον ὅτι τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν τοῦ εἶμι, ἀεὶ προπαροξύνονται· ἢ προσλάβωσι τὸ α. οἷον πρόσιασιν. ἄπιασι· καὶ περίασιν. ὅσα δὲ γίνονται ἀπὸ τοῦ ἵημι τὸ πέμπω, προπερισπῶνται. οἷον ἀφιᾶσιν. Ἤδειν ὑπερσυντέλικος καὶ ἐγνώκειν. εἰδὼς μετοχή, ἀπὸ τοῦ εἰδηκὸς ἀχρήστου. ἀπὸ τούτου εἰδείμην εὐκτικὸν καὶ τροπῇ τοῦ μι. εἰς την εἰδείην καὶ ἵνα μὴ συνεμπέσῃ τῷ ἑαυτοῦ δοίην καὶ παράσχοιμι γίνεται τὸ δεῖ ε καὶ ι. Οὐ δὲ οὗτος ὁ ἱκανῶς, ἱκανῶς ἐξείργαται. ἔχει γὰρ οὗτος· ὧν τὰ μὲν ἐνεργητικὰ ἐστὶν ἄχρηστα. τὰ δὲ παθητικὰ εἰς ἐνεργητικὴν σημασίαν λαμβάνεται, ὅτε μὲν ἔχουσι τοὺς μέσους ἀορίστους, τότε τοὺς ἁπλῶς ἀορίστους ἢ παντελῶς οὐκ ἔχουσι χρησίμους ἢ εἰς παθητικὴν σημασίαν ἔχουσι χρησίμους. οὐκ ἔχουσι μὲν ὡς τὸ δεδίττομαι τὸ ἐκ φοβῶ. τούτου γὰρ ὁ μὲν μέσος, χρήσιμος· ἐδεδιξάμην. ὁ δὲ ἁπλῶς ἄχρηστος. ὡς δὲ, καὶ τὸ χρῶμαι. ἐχρησάμην μὲν γάρ. οὐκέτι δὲ καὶ ἐχρήσθην καὶ τὸ ἅπτομαι. ἡψάμην μὲν γάρ. ἥφθην δὲ οὐδαμῶς. εἰ μὴ παρὰ τὸ ἅπτω. ἔχουσι δὲ παθητικῆς σημασίας. ὡς ἰασάμην ἕτερον. ἰάθην δὲ ὑφ' ἑτέρου. καὶ ἐδεξάμην ἕτερον. ἐδέχθην δὲ

ἀπὸ τοῦ ἴημι ἐν τοῖς ὁριστικοῖς ἐνεργητικοῖς, ὁ δεύτερος ἀόριστος εὔχρηστος. πλὴν καὶ ἐπὶ τούτου μόνα δυϊκὰ καὶ τὰ πληθυντικὰ ἐν χρήσει. τὰ δ' ἑνικὰ ἄχρηστα. κλίνουσι δ' αὐτὸ οὕτω τοῦτον. ἦν ἧς ἧ. ἦτον ἤτην. ἦμεν ἦτε ἦσαν. κἀκεῖνο δὲ τοῦ Ἀριστοφάνους ἐν χρήσει τὸν χρόνον εἶναι τοῦτον παρίστησι, τὸ ἔπειτα πρὸς τὸ τέμενος ἦμεν τοῦ θεοῦ. ἔστι γὰρ ἀντὶ τοῦ ἤλθομεν. ἔστιν οὖν καὶ τὸ ἴημι συγκείμενον τῇ παρὰ ἣ χρῆσις παραδίδωσιν. ὡς ἔστιν εὑρεῖν πολλαχοῦ, παρίησιν ἀντὶ τοῦ παρέρχεται. εὕρηται ἀπὸ τοῦ εἴω τὸ ἤειν ἀντὶ τοῦ ἠρχόμην εἰς μέσον ὑπερσυντέλικον κανονιζόμενον. κλίνεται δὲ οὕτως. ἤειν ἤεις ἤει. ἤειτον. ἠείτην. ἤειμεν ἤειτε ἤεισαν ὅπερ ἤεσαν μᾶλλον γράφεται. ἔστιν ἐν χρήσει τοῦ ἵημι καὶ ὁ παθητικὸς ἐνεστώς, ὡς κλίνεται οὕτως. ἵεμαι ἵεσαι ἵεται. ἱέμεθον ἵεσθον ἵεσθον. ἱέμεθα ἵεσθε ἵενται. ὡσαύτως καὶ ὁ παθητικὸς παρατατικός, ἱέμην ἐν χρήσει ἐστίν. ἔστιν ἐν τοῖς ἀπαρεμφάτοις ἐν χρήσει καὶ τὸ ἱέναι. ὅς ἐστιν ἐνεργητικὸς ἐνεστὼς καὶ παρατατικός. καὶ ἔσθ' ὅτε καὶ ἀντὶ μέλλοντος κεῖται. καὶ τὸ ἵεσθαι παθητικῶς. ἐπέκεινα δὲ τούτων. οὐχ εὕρηται ἀπὸ τοῦ ἵημι, οὔτε ἐν τοῖς προστακτικοῖς οὔτε ἐν τοῖς εὐκτικοῖς, οὔτ' ἐν ὑποτακτικοῖς. οὐδείς τις ἕτερος εὔχρηστος χρόνος. ἀλλὰ μήντοι τῶν μετοχικῶν εὕρηται ὁ παθητικὸς ἐνεστὼς δι' ἀλογότι ἱέμθως ὅς ἐστιν εὔχρηστος, τό, γε μὴν ἴθι ἀντὶ τοῦ ἐλθὲ ἀπὸ τοῦ εἴω κανονίσαις ἂν εἰς δεύτερον ἀόριστον οὕτως. ἴον ἴες ἴε. καὶ κατὰ μεταπλασμὸν

δηλοῦντα στάσιν ἀεὶ, ταῦτα. ἔνδον. ἐντὸς καὶ ἔνδοι ποιητικῶς. τὸ αὐτό. ὅπη καὶ ὅπου διὰ τοῦ η, καὶ ὁπόθι καὶ ὅθι ποιητικῶς τὰ αὐτά. οἴκοι καὶ ἔνθα καὶ ἕτερα. τὰ δηλοῦντα κίνησιν ἀεὶ ταῦτα. οἴκαδε. οἶκονδε ποιητικῶς τὸ αὐτό. οἴκοθεν ἀθήναθεν. ἐκεῖσε ἐκεῖθεν. ὅθεν ὁπόθεν. οὐρανόθεν ἔνθεν, ὅπερ διὰ τοῦ ο καὶ ι. τὰ δὲ ἐνίοτε μὲν δηλοῦντα κίνησιν, ἐνίοτε δὲ στάσιν ταῦτα. ἄνω, κάτω, ἔξω, πόῤῥω. χαμαὶ δεῦρο, ἐνταῦθα, ὧδε καὶ τῇδε καὶ ἕτερα. Ἀφεῖμαι ἀντὶ τοῦ ἀπολέλυμαι καὶ ἀφεῖσαι καὶ ἀφεῖται. καὶ ἀφειμένος καὶ ἀφείθη γράφεται, καὶ γενικῇ συντάσσονται. Κανονίζεται δὲ τὸ ἀφεῖμαι εἰ μὲν ἔστιν ἀπὸ ἐνεστῶτος οὕτως. ἵημι τὸ πέμπω καὶ ἀπολύω. καὶ ἀφίημι τὸ παθητικὸν ἀφίεμαι καὶ κατὰ μετάθεσιν καὶ συναίρεσιν τοῦ ε, καὶ ι. εἰς τὴν ει. δίφθογγον ἀφεῖσαι. εἰ δὲ ἔστιν ἀπὸ παρακειμένου οὕτως. ἕω τὸ ἀπολύω. ὁ μέλλων ἕσω. ὁ παρακείμενος εἷκα. ὁ παθητικὸς εἷμαι. καὶ ἀφεῖμαι. ἀπὸ τούτου ἡ μετοχὴ ἀφειμένος, καὶ ἀόριστος ἀφείθη. σημειωτέον τὸ ἐῤῥέθη καὶ ἐλέχθη.

Τέσσαρα εἰσὶ θέματα σημαίνοντα τὸ πορεύομαι. εἴω διὰ διφθόγγου ἕω ἰῶ ἵημι, ἅπαντα εἰσὶν ἄχρηστα ἐπὶ τοῦ ἐνεργητικοῦ ἐνεστῶτος. καὶ εἶμι τὸ πορεύομαι καὶ πορεύσομαι. ὅπερ ἐστὶν εὔχρηστον ἐπὶ τούτου μόνου τοῦ ἐνεστῶτος. οὐ γὰρ πρόεισι προσωτέρω. κλίνεται δὲ οὕτως εἶμι εἶς. ὡς τὸ οὐκ εἶς τι δώσων. τὸ τρίτον εἶσιν. ἴτον ἴτον. ἴμεν ἴτε ἴσι. καὶ ἐπενθέσει ἰωνικῇ τοῦ α. ἴασι. καὶ γράφεται πάντα ταῦτα ἐπὶ σημασίας ἐνεστῶτος καὶ μέλλοντος. ἔστιν

ποιητικῶς. οἷον ἐκ τοῦ ἀθεν λιπαρῆς παλαίστρας ἀντὶ τοῦ ἐκ τῆς παλαίστρας. Ἀπὸ τῆς πρὸ πρόσω κοινῶς. ὃ καὶ πόρρω λέγεται μεταθέσει τοῦ ρ, καὶ τροπῇ τοῦ σ εἰς ρ. δηλοῖ δὲ τὸ μακρὰν καὶ τὸ ἐντὸς καὶ τὸ εἰς βάθος. ὡς τὸ, τὸ ἦ καὶ προτανιάσαι πόρρω δ' ἰδών καὶ ἀπὸ τούτου πόρρωθεν καὶ πρόσωθεν. καὶ πρόσθεν κατὰ συγκοπήν. ὃ καὶ ἔμπροσθεν λέγεται. τοῦτο δὲ καὶ εἰς ἑτέραν ἔννοιαν μετέπεσεν. οὐ γὰρ κίνησιν φαίνεται ἔχον. ἀπὸ τῆς ἀνὰ ἄνω καὶ ἄνωθεν κοινῶς. ἀπὸ τῆς κατὰ κάτω καὶ κάτωθεν κοινῶς. ἀπὸ τῆς ἀντὶ ἄντα ποιητικῶς καὶ ἀντίον. ὃ μετὰ τῆς ἐν, ἐναντίον λέγεται κοινῶς. ἀπὸ τούτου λέγεται καὶ τὸ προσάντης. ὅθεν αὐτὸ δυσκολίας λέγεται ὡς ἐναντιουμένων τινῶν. ἀπὸ τῆς περί, πέριξ κοινῶς. ἀπὸ τῆς ἀμφί, ἀμφὶς ποιητικῶς ταὐτῶς τῷ πέριξ. οἷον οἶκον ἀμφὶς ἀντὶ τοῦ περὶ τὸν οἶκον. ἡ γὰρ περὶ ἡ αὐτή ἐστι τῇ ἀμφί. πλὴν ὅτι ἡ μὲν περὶ παρὰ τοῖς κοινῶς ἐν χρήσει. ἡ δὲ ἀμφί. παρὰ τοῖς ποιηταῖς. σπανιάκις δὲ αὕτη παρὰ τοῖς κοινῶς γράφουσιν. ἀπὸ τῆς ἀπὸ ἄπο κοινῶς ὡς τὸ αὐτὸ ἄπο γνώμης ἐκείνω τῷ γενναίω. καὶ ἀπὸ τούτου ἄπωθεν καὶ ἀπωτάτω διὰ τοῦ ω μεγάλου. ὡς τύπον ἔχον τῶν διὰ τοῦ ωτερος καὶ ωτατος. ἔχουσι δέ τινα αὐτῶν καὶ συγκριτικὰ καὶ ὑπερθετικά. οἷον ἐνδοτέρω καὶ ἐνδοτάτω. ἐξωτέρω καὶ ἐξωτάτω. προσωτέρω καὶ προσωτάτω. Ἰστέον ὅτι τῶν ἐπιρρημάτων τῶν τοπικῶν, τὰ μὲν δηλοῦσι στάσιν ἀεί. τὰ δὲ κίνησιν. ἀεὶ ἢ εἰς τόπον ἢ ἐκ τόπου. τὰ δὲ ἐνίοτε μὲν κίνησιν, ἐνίοτε δὲ στάσιν. καὶ τὰ μὲν

γμός. γρυλίζειν ἐπὶ χοίρου. ὑλακτεῖν ἐπὶ κυ-
νός. βαΰζειν ἐπὶ τῶν σκυλακίων. ὠρύεσθαι ἐπὶ
λύκων. ἐφ' ὧν δὲ οὐκ ἔστιν ὄνομα τῆς φωνῆς ἴδιον.
οἷον ἄρκτου παρδάλεως καὶ τῶν τοιούτων, τὸ βρυ
χᾶσθαι λέγουσιν. ἐπὶ δὲ τῶν μικροτέρων. οἷον ἀλω
πέκων καὶ θώων, τὸ ὑλακτεῖν καὶ γηρύεσθαι. βοᾶν
δὲ καὶ φωνεῖν καὶ ποιητικῶς βοστρεῖν, ἐπὶ τῆς ἀνάρ
θρου φωνῆς τῶν ἀνθρώπων. καὶ ἀπὸ τούτων ἐπὶ
τῶν μεγάλῃ φωνῇ καλούντων τινὰς λέγειν καὶ
φθέγγεσθαι καὶ διαλέγεσθαι καὶ λαλεῖν καὶ αὐ-
δεῖν ποιητικῶς τὸ ἀνάρθρως λέγειν. ἤγουν τῷ προ-
φορικῷ λόγῳ χρῆσθαι. Ιστέον ὅτι ὅταν ἀντω-
νυμία τὸ ι, προσλάβῃ, πλείονα δεῖξιν ἔχει. οἷον
οὑτοσὶ καὶ αὐτὴ καὶ τουτί. ἔστι δὲ ὁ σχηματισμὸς
οὗτος ἀττικός. διαφέρει δὲ τῶν ποιητικῶν προσχη
ματισμῶν. τῷ ἐνταῦθα μὲν εἶναι τὸ ι. μακρόν. ἐν
ἐκείνοις δὲ βραχύ. οἷον ἀνθρώποισιν ἵπποισιν, καὶ
τῷ τὰ ποιητικῶς προσχηματιζόμενα βαρύτονα εἶναι.
τὰ δὲ ἀττικῶς ὀξύτονα οἷον οὑτοσὶν αὐτή. Ιστέον
ὅτι ἀπὸ τῶν πλειόνων προθέσεων γίνονται ἐπιρρήματα
κατὰ σημασίαν αὐτῶν. καὶ εἰσὶ τὰ μὲν, κοινά. τὰ δὲ
ποιητικά. οἷον ἀπὸ τῆς ἐν. ἔνδον. καὶ ἐντὸς κοινῶς. καὶ
ἀπὸ τούτου ἔνδοθεν κοινῶς. καὶ ἔντοσθεν ποιητικῶς. ἃ καὶ
κίνησιν ἔχουσιν ἀπὸ τῆς ἐντός. ἀπὸ τῆς εἰς ἢ, καὶ ἐς. λέγε
ται ἔσω καὶ εἴσω κοινῶς καὶ ποιητικῶς. οἷον ἴλιον εἴσω
ἀντὶ τοῦ εἰς τὴν ἴλιον. ἀπὸ τούτου καὶ ἔξωθεν κοινῶς, καὶ
εἴσωθεν ποιητικῶς. ἀπὸ τῆς ἐξ ἢ καὶ ἐκ λέγεται ἔξω. καὶ
ἐκτὸς κοινῶς. ἀπὸ τούτου ἔξωθεν κοινῶς καὶ ἔκτοσθεν

γὰρ τοῦ ῥήματός ἐστιν. ᾧ δὲ παθητικόν ἐστι τὸ ῥῆμα ἐξ ἀνάγκης πρὸς τὸ δεχόμενον τὸ πάθος. οἷον δέον ἐστὶν ὑπερμαχεῖν σε τοῦ δεῖνος. ἰδοὺ ἐνταῦθα τὸ ὑπερμαχεῖν ῥῆμα ὂν ἀπαρέμφατον καθὸ μὲν ἀπαρέμφατον μετὰ σοῦ τάττεται τοῦ ἐνεργοῦντος καὶ λαμβάνοντος πτῶσιν αἰτιατικήν. καθὸ δὲ ῥῆμα ἐνέργειαν δηλοῦν ὑπό τινος πρὸς ἕτερον ἀφορᾷ πρόσωπον. καὶ γενικὴν λαμβάνει. καὶ προσήκει τύπτεσθαί σε. ἐνταῦθα γὰρ καθὸ ἀπαρέμφατον, λαμβάνει τὴν αἰτιατικήν. καθὸ ῥῆμα πρὸς εὐθεῖαν ζητεῖ τὸ τύπτεσθαι, ὅ ἐστι τύπτῃ σύ. Τὰς δὲ ὡς ἀπαθεῖς μετοχὰς τῶν παρακειμένων, διὰ τοῦ ω. αἱ διάλεκτοι πᾶσαι. ποιοῦνται δὲ τὸ πρὸ τοῦ ω σύμφωνον ἀναιροῦντες, συστέλλοντές τε τὴν παραλήγουσαν διὰ τοῦ ω. τεθνηκότες τεθνεῶτος. βεβηκότος βεβαῶτος. ἑσταότος δὲ οὔ. ἀμφίμακρος γάρ. ἐκ δὲ τοῦ τεθνηκότος ὅ τε μὲν τεθνειῶτος. ἐκ τοῦ τεθνεῶτος ἐκτείνοντες καὶ τὴν παραλήγουσαν. ὅ τε δὲ τεθνειότος. ὧν τὰ θηλυκὰ βεβαυῖα ἑσταυῖα. ἀναιρεθέντος δὲ καὶ τοῦ φωνήεντος, βεβὼς μὲν καὶ ἑστὼς τὰ ἀρσενικά. τὰ θηλυκὰ δὲ βεβαυῖα μὲν οὔ. βεβῶσα μέντοι καὶ ἑστῶσα. οἷς συνεξηκολούθησε καὶ τὸ τεθνεῶσα. καίτοι τεθνεὼς τοῦ ἀρσενικοῦ μὴ λεγομένου. Χρεμετίζειν ἐπὶ ἵππου. ὀγκᾶσθαι ἐπὶ ὄνου καὶ βρωμᾶσθαι. βρυχᾶσθαι ἐπὶ λέοντος. μυκᾶσθαι ἐπὶ τοῦ βοὸς διὰ τοῦ ὑψιλοῦ. μηκᾶσθαι ἐπὶ αἰγὸς διὰ τοῦ η. ἀφ' οὗ καὶ μηκάδες αἶγες παρ' Ὁμήρῳ. καὶ φριμάττεσθαι ἐπὶ ἵππων αὐτῶν διὰ τοῦ ι, καὶ φριμά-

βοήσω. ὁρῶ ὁρόσω. ὑπνῶ ὑπνώσω. ζῶ ζώσω. κατὰ ταῦτα γίνεται καὶ τὸ πλεῖν πλώειν. ὃ καὶ μὴ συναιρεῖται ἀπὸ τοῦ πρώτου προσώπου. Ἰστέον δὲ ὅτι ἂν ὑπὲρ μίαν συλλαβὴν τὸ ῥῆμα ἐστί· εἰ μὲν ἔχει τὴν παραλήγουσαν βραχεῖαν, τὸ ο μικρὸν προστιθέασιν. οἷον ὁρῶ ὁρόσω. εἰ δὲ μακρὰν, οἷον ὑπνῶ ὑπνώσω. ἐπὶ δὲ τῶν μονοσυλλάβων καὶ τοῦ ζῶ καὶ τοῦ πλέω, τὸ ω μέγα ἀεὶ προστιθέασιν. ἐπεὶ τὸ μὲν, ἔχει τὸ ζ. τὸ δὲ, τὸ π καὶ λ. ὡς ὄπισθεν εἰ τεθῇ βραχὺ, ὑπ' αὐτῶν πάντως ἐκπαθήσεται. Πολλάκις οἱ ποιηταὶ τιθέασι ῥήματα ἐλλείποντα προθέσεσιν ὀφειλούσαις εἶναι. οἷον ἴθι ἀντὶ τοῦ ἄπιθι. καὶ ἔρχου ἀντὶ τοῦ ἀπέρχου. καὶ ἐλθὼν ἀντὶ τοῦ ἀπελθών. πολλάκις δὲ τιθέασι προθέσεις ἐλλειπούσας ῥήμασιν. οἷον ἀνὰ ἀντὶ τοῦ ἀνάστα, καὶ πάρα ἀντὶ πάρεστιν ἢ πάρεισι. Σημείωσαι ὅτι, ὧν ἐνεργητικὰ εἰσὶν ἄχρηστα, καὶ τὰ παθητικὰ λαμβάνονται εἰς σημασίαν ἐνεργητικὴν, τουτέστιν οἱ παθητικοὶ πρῶτοι ἀόριστοι ἐὰν ὦσιν εὔχρηστοι, εἰς παθητικὴν σημασίαν παραλαμβάνονται. οἷον ἐστὶ τὸ ἰῶμαι. ἰάθην δὲ ἐγὼ ὑφ' ἑτέρου. καὶ κτῶμαι τὸ ἔχω. ἐκτήθην δὲ ὑφ' ἑτέρου. καὶ θεῶμαι τὸ βλέπω. ἐθεάθην ἐγὼ ὑφ' ἑτέρου. καὶ ἄλλα μυρία τούτοις παραπλήσια. Τὰ ἀπαρέμφατα πρὸς εὐθεῖαν τάττονται καὶ πρὸς γενικὴν, καὶ ἁπλῶς πρὸς τὴν προηγησαμένην πτῶσιν. ὁποία δήποτε ἐστι. φύσιν δὲ ἔχει μάλιστα πρὸς αἰτιατικὴν λέγεσθαι. τείνει δὲ ἀεὶ καθὸ ἀπαρέμφατον. ὃ μὲν ἐνεργητικόν ἐστι τὸ ῥῆμα, πρὸς τὸ ἐνεργοῦν πρόσωπον καὶ οὐδέποτε πρὸς τὸ δεχόμενον ἐνέργειαν. τὸ το

τα, ἃ καὶ μεταβατικὰ καὶ ἐνεργητικὰ λέγεται, εἰ μὴ ἔχει τι ἐπαγόμενον πρὸς ὃ ἡ ἐνέργεια αὐτῶν ἀποδοθήσεται ἐξ ἀνάγκης εἰς τὸ ἐνεργοῦν πρόσωπον ἐπαναστρέφει. καὶ κατ᾽ ἀντιπάθειαν ἡ σύνταξις γίνεται. οἷον ἡ δογὴ δίδωμι ἐμαυτὸν δηλονότι. καὶ μεμύηκα ἐς θάλασσαν ἤγουν ἔρριψα ἐμαυτὸν δηλονότι. καὶ καθῆκα ὁμοίως. καὶ ἔλαβον κλαπεὶς ἐμαυτὸν δηλονότι. καὶ ὅσα τοιαῦτα. οἱ δὲ ἦν ἀόριστοι τῆς δευτέρας συζυγίας τῶν εἰς μι οὐ χρείαν ἔχουσι τῶν παθητικῶν καὶ τῶν μέσων. ἐπεὶ οὗτοι τοῖς αὐτοῖς ἐκείνοις δύνανται. οἷον ἵστημι στήσω ἔστησα. ἔστην δὲ ἐπὶ παθοις. ἵπταμαι. πτήσω ἔπτην. ἀφ᾽ ὧν τὸ σταίην καὶ πταίην. Ἰστέον ὅτι μόναι αἱ τῶν ἐνεστώτων τῶν βαρυτόνων μετοχαὶ καὶ αἱ τῶν δευτέρων ἀορίστων, ποιοῦσιν ἀπὸ τῆς γενικῆς εἰς μι τὰ εὐκτικά. τύπτοντος τύπτοιμι. τυπόντος τυποίμι. ἀπὸ δὲ τῶν παθητικῶν ἀορίστων καὶ τῆς τῶν εἰς μι πάσης εἰς μι. ὅτι ὧν ἐστὶ ὀξύτονος ἡ μετοχή. ἀπὸ δὲ τῆς γενικῆς τοῦ ἐνεστῶτος τῶν περισπωμένων, κατὰ τροπὴν τοῦ μι εἰς ην. ποιοίην. διδοίην. τολμῴην. δρῴην. Οἱ ἀττικοὶ τὰ ἀπὸ δύο συμφώνων ἀρχόμενα ἢ ἀφ᾽ ἑνὸς τῶν διπλῶν, διὰ καθαροῦ τοῦ ε προφέρουσι τοὺς παρακειμένους. σπείρω ἔσπαρκα. ξηλῶ ἐξήλωκα. τμήσω δὲ τέτμηκα. καὶ κρίνω κέκρικα. ὅτι οὐκ ἀπὸ δύο συμφώνων στερρῶν ἄρχονται. τὰ γὰρ ὑγρὰ οὐ στερρῶς ἐκφωνοῦνται. οἱ ποιηταὶ ἐπὶ τῶν περισπωμένων συζυγιῶν, προστιθέασι τὸ ω. πρὸ τῆς ω. τῆς ληγούσης. καὶ ποιοῦσι ταύτας βαρυτόνους. οἷον βοῶ.

τα, καὶ μάλιστα αἱ δισύλλαβα ἤ, ἀπὸ γὰρ τῶν ὑπὸ τῶν συμφώνου ἀρχομένων μόνων, τὸ τοῦ κανόνος σώζουσι διὰ μακρᾶς τῆς παραληγούσης ἀπὸ τῶν δευτέρου ἀορίστου προφορούσι γὰρ, ἦλθον. εἶδον ἧκον καὶ τὰ λοιπά. Ἰστέον μέντοι ὡς ἐν ταῖς μετοχαῖς, ἰδὼν μὲν καὶ ἐλθὼν. ἰδὼν δὲ καὶ ἥκων, οὔ. τίς δὲ ὁ λόγος ζήτει. Οἱ ἴωνες τὰ εἰς ου. βαρύτονα προστακτικὰ, τὰ ἀπὸ τοῦ παθητικοῦ παρατατικοῦ, διαλύουσιν εἰς εο. οἷον φείδου φείδεο. τύπτου. τύπτεο. ἐπεὶ τὸ ἐφείδετο καὶ τὸ ἐτύπτετο. ἀφ᾽ ὧν γίνεται τὸ ἐφείδου καὶ ἐτύπτου καὶ τὰ προστακτικὰ τὸ, φείδου καὶ τύπτου. καὶ ὅσα τοιαῦτα τὸ ε, καὶ ο. ἔχουσιν. Οἱ αὐτοὶ τὰ εἰς ου. γενικὰς τὰς ἀπὸ τῶν εἰς ος εὐθειῶν γινομένας, διὰ τοῦ οιο προφορούσιν. οἷον βίοτος βιότου βιότοιο. πόντος πόντου πόντοιο. τὰς δὲ ἀπὸ τῶν εἰς ης εἰς ου διὰ τοῦ εω. οἷον ἀΐδης ἀΐδου ἀΐδαο. ἢ ἀΐδα. ἀπὸ τούτου δὲ ἐξ ἀνάγκης μακρὰ ἐστιν ἡ λήγουσα ἢ ἡ παραλήγουσα. Τῶν ἰώνων ἐστὶ τὸ τρέπειν τὸ μακρὸν α. εἰς η. οἱ δωριεῖς τὸ ἀνάπαλιν. τρέπουσι γὰρ τὸ η. εἰς α. Ἰστέον ὅτι, τὸ μέλλειν, δ᾽ οἴεσθαι, τὸ ἐλπίζειν. τὸ προσδοκᾶν. τὸ φοβεῖσθαι. ὃ λέγεται ἐπὶ καλοῦ. οἷον ὑπισχνοῦμαι ὠφελήσειν σοι. καὶ τὸ ἀπειλεῖν ὅπερ ἔχει ἐναντίον τούτου, καὶ λέγεται ἐπὶ κακοῦ. οἷον ἀπειλῶ κακῶς ποιήσειν τινὰ, καὶ ὅσα τῆς συζυγίας αὐτῶν εἰσὶ, μέλλοντι πρώτῳ συντάσσεται, ἢ ἐνεστῶτι. οἷον μέλλω ποιήσειν τινὴ ποιεῖν. καὶ ἐλπίζω. ὁμοίως καὶ προσδοκῶ καὶ τἄλλα πάντα. Ἰστέον ὅτι πάντα τὰ δραστήρια ῥήματα

τὸ πρᾶγμα. διανοοῦμαι δὲ ἀντὶ τοῦ ἐν ἐμαυτῷ λα-
βὼν λογίζομαι, κρίνω, καὶ μετὰ τῆς ὑπὸ, ὑποκρί-
νομαι ἀντὶ τοῦ εἰς ἐμαυτὸν φέρω κρίσιν ἀρετῆς ἢ
ἄλλου τινός. κρίσιν δὲ ἣν κρίνει τις ἐμέ. ἀφ᾽ οὗ καὶ
ὑποκριτὴς, ἢ ἣν κρίνω ἐγώ. ὡς τὸ ἀναστὰς ὑπεκρινά-
μην τὸ ὄναρ. ἤγουν ὑπελογισάμην καὶ ἐν ἐμαυτῷ ἔκρι-
να. Εἰώθασιν οἱ ἀττικοὶ ἔσθ᾽ ὅτε τὰ προστακτικὰ
εὐκτικῶς προφέρειν. χωροίγ᾽ ἂν εἴσω. ἀντὶ τοῦ χωρείτω
ὁμοίως καὶ ὁριστικὰ ῥήματα τοῦ μέλλοντος. ἀλλ᾽ οὐ
προμηνύσεις γε τοῦτο μηδενί. ἀντὶ τοῦ μηδενὶ προ-
μηνύσας. ὡς ἐπιτοπλεῖστον ὅτε εἰσὶ παθητικοὶ δεύτε-
ροι ἀόριστοι ἐν χρήσει, οἱ παθητικοὶ πρῶτοι ἀόριστοι
ἄχρηστοι εἰσὶν. εἰ μὴ παρὰ ποιηταῖς. οἷον ῥίπτω ῥί-
ψω ἔρριψα. ἐρρίφθην ἐρρίφην. φαίνω φανῶ ἔφηνα,
ἐφάνην ἐφάνθην. Τὰ γνωριστικὰ ῥήματα καὶ τὰ τῆς
ὄψεως μετὰ μετοχῆς συντάσσονται. οἷον οἶδα σε
αἴτιον ὄντα μοι τῶν κακῶν. καὶ εἶδον σε ποιοῦντα. καὶ
εὗρον σε ποιοῦντα τόδε. Ἰστέον ὅτι οἱ παλαιοὶ ποιη-
ταὶ, καὶ οἱ ἀττικοὶ, τὰ τρίτα πρόσωπα τῶν ῥημάτων
καὶ τὰς δοτικὰς τῶν πληθυντικῶν μετὰ τοῦ ν. ἔλεγον
καὶ φωνήεντος τοῦ φερομένου καὶ συμφώνου. ἐνίο-
τε δὲ διὰ τὴν ἀνάγκην τοῦ μέτρου ἐξέβαλον αὐτό.
οἷον ἔδδεισε δ᾽ ὁ γέρων. καὶ κίνδυνος ἔχειν δουρὶ
πεσεῖν ἑλληνικῷ. Οἱ ἴωνες τό, τε ἔδδον ἔδον λέ-
γουσι, καὶ τὸ εἷλον ἕλον. ὁμοίως. ἦλθον ἤλυθον καὶ
ἔπον ἔνεπον, εἰς τρισυλλαβίαν ἀνάγοντες. πρὸς σώ-
ζειν πανταχοῦ τὸν κανόνα σπουδάζοντες. ἀττικοὶ
μέντοι τὰ ἀπὸ φωνήεντος ἀρχόμενα ῥήματα παί-

βαίνουσι προθέσεις καὶ μεταφέρονται εἰς παθη-
τικά· ἔχοντα μέντοι δύναμιν ἐνεργητικὴν, ἐπα-
ναστρεφομένην δὲ εἰς τὸ ἐνεργοῦν πρόσωπον, κα-
τὰ τὴν δύναμιν τῶν προθέσεων. οἷον δείκνυμι, καὶ
μετὰ τῆς ἐν προθέσεως ἐνδείκνυμαι. ἤγουν ἐν
ἐμαυτῷ τὴν δεῖξιν ἐργάζομαι. ἀντὶ τοῦ ἐμαυτὸν
φανερὸν καθιστῶ. νοῶ καὶ μετὰ τῆς προθέσεως
προνοοῦμαι. ἀντὶ τοῦ ἐν ἐμαυτῷ λογίζομαι ὑπέρ
τινος. τοῦτο γὰρ ἡ πρὸ δηλοῖ. ὡς τὸ προΐσταμαι
καὶ προμάχομαι. καλῶ καὶ μετὰ τῆς ἀνὰ προ-
θέσεως ἀνακαλοῦμαι. ἀντὶ τοῦ εἰς ἐμὲ ἐλθεῖν αὖ-
θις. ὅπερ εἶχον ἀν τῷ καὶ ἐπικαλοῦμαι. ἀντὶ τοῦ ἐπ'
ἐμαυτὸν ἕλκω διὰ παρακλήσεως. τὸ δὲ κατα-
φέρομαι καὶ χωρὶς τῆς προθέσεως δύναται γρά-
φεσθαι παθητικῶς. οἷον κατὰ σοῦ φέρομαι.
φέρω καὶ μετὰ τῆς διαφέρομαι. ὃ ἐναντί-
ον τὸ συμφέρομαι. διαφέρομαι δέ ἐστι τὸ κατ'
ἐμαυτὸν φέρομαι χωριζόμενος ἀπό τινος. ἡ γὰρ
διὰ χωρισμὸν δηλοῖ. πέμπω καὶ μετὰ τῆς με-
τὰ μεταπέμπομαι. ἀντὶ τοῦ διά τινος πέμπω
εἰς ἐμαυτὸν τινά. ἡ γὰρ μετὰ μετοχὴν ἔχει τινός.
καλῶ καὶ μετακαλοῦμαι ἀντὶ τοῦ διά τινος εἰς
ἐμαυτὸν καλῶ. φέρομαι καὶ ἀποφέρομαι ἀντὶ
τοῦ εἰς ἐμαυτὸν ἄγω τι ἀπολαβών. ὁρῶ καὶ μετὰ
τῆς ὑπὸ ὑφορῶμαι. καὶ τὸ ὑπειδόμην δὲ τοιοῦτον
ἐστὶ καὶ τὸ ὑποπτεύω. ἤγουν ἐν ἐμαυτῷ ὁρῶ καὶ
λογίζομαι. νοῶ ὅπερ ἔχει ἁπλῆν ἐπιβολὴν εἰς
τὸ πρᾶγμα.

ἐκμαίνω δὲ ἕτερον. ἕτερα δὲ ἐνεργητικῶς μὲν γραφόμενα. μετὰ δὲ προθέσεως, ἐνίοτε καὶ ἐν ἑτέρᾳ συζυγίᾳ. οἷον ὠθῶ ἀφ' οὗ καὶ ὦσεν. ἀπωθοῦμαι δὲ ἕτερα ἐνεργητικῶς γραφόμενα καὶ μετὰ προθέσεως, ἢ προσθήκης τινὸς, αὖθις ἐνεργητικῶς. ὅμως μεταπίπτοντα εἰς ἑτέραν συζυγίαν καὶ ἔννοιαν. οἷον δοκέω δοκῶ. προσδοκάω δὲ προσδοκῶ. μόλω. αὐτομολέω δὲ αὐτομολῶ. καὶ πολεμέω πολεμῶ ἐκπολεμόω δὲ ἐκπολεμῶ. καὶ λέγω. εὐλογέω δὲ εὐλογῶ. ἐπὶ τῶν τοιούτων δὲ πάντων συμβαίνει. τὰ μὲν ἑτέραν ἔννοιαν ἔχειν μετὰ προθέσεων, οἷον ὁρμῶ ἐγὼ, ἐξορμῶ δὲ ἕτερον, ἤγουν παρακινῶ. τὰ δὲ τὴν αὐτὴν οἷον ἥκω καὶ ἀφικνοῦμαι. εἰσὶ δὲ ἕτερα, ἃ καὶ χωρὶς προθέσεως ἐν δυσὶ συζυγίαις λέγεται. ὅμως ἐν μὲν τῇ ἑτέρᾳ ἕτερόν τι δηλοῦσιν. ἐν θατέρᾳ δὲ ἕτερον. οἷον κυκλέω κυκλῶ τὸ συστρέφω, κυκλόω δὲ κυκλῶ τὸ περιλαμβάνω. καὶ κυρέω κυρῶ τὸ περιτυγχάνω, καὶ τὸ ὑπάρχω κατὰ τοὺς τραγικούς. κυρόω δὲ κυρῶ τὸ βεβαιῶ. ῥιγέω δὲ ῥιγῶ ποιητικῶς τὸ φοβοῦμαι. ὡσαύτως καὶ ῥιγόω ῥιγῶ ἐπὶ κρύους. καὶ θεάω θεῶ, ὃ παθητικῶς γράφεται θεῶμαι, τὸ βλέπω. θεέω δὲ τὸ θαυμάζω ποιητικῶς, ἀφ' οὗ θηεῦντο, οὗ τὸ ἐντελὲς θεέοντο. καὶ τροπῇ τοῦ ε. εἰς η, καὶ τοῦ ε. εἰς ο. δωρικῶς καὶ αἰολικῶς καὶ ἀφαιρέσει τῆς αὐξήσεως ἰωνικῶς θηεῦντο. Εἰσὶ τινὰ ῥήματα ἐνεργητικὰ, ἃ λαμ-

ἐπεί ἐστι τὸ ι, βραχὺ ἐν τῷ ἐνεστῶτι αὔξεται ἐν τοῖς παρῳχημένοις. καὶ ἔστι φύσει μακρόν. ὁμοίως δὲ γίνεται καὶ ἐν τῷ ὑψηλῷ. τὸ δὲ προΐαψεν ἐστὶν ἀνάλογον τοῦ ἰωνικοῦ. τὰ συμβουλευτικὰ πάντα, οἷον τὸ φθεγξώμεθα. τὸ ποιήσωμεν τὸ δεῦρο. ἔχουσιν ἔξωθεν νοούμενον καὶ τὸ ἵνα. οἷον δεῦρο ἵνα ποιήσωμεν τόδε. καὶ δεῦρο ἵνα φθεγξώμεθα τόδε. τὸ ἔθεληθα ποιητικόν ἐστιν. παρ' ἡμῖν γοῦν μόνα ταῦτα γράφονται. οἶσθα ἀντὶ τοῦ γινώσκεις. ἦσθα ἀντὶ τοῦ ὑπῆρχες. καὶ ἔφησθα ἀντὶ τοῦ εἶπες. τοῦτο δὲ σπανίως. Τὰ ῥήματα τὰ μετὰ δοτικῆς συντασσόμενα, ἢ μεθ' ἑτέρας πτώσεως, ἢ μετὰ ἀπαρεμφάτου μέλλοντος ἢ ἐνεστῶτος ἢ τῶν ἄλλων καὶ διαλελυμένως, ὡς ἐπὶ τὸ πλεῖστον οὕτω συντάσσεται. οἷον πολεμῶ φημὶ δεῖνι. καὶ εἰς πόλεμον ἦλθον φημὶ δεῖνι. καὶ μάχομαι. καὶ εἰς μάχην ἔρχομαι. καὶ δεῖ ποιεῖν καὶ δεόν ἐστι ποιεῖν. εἰσὶ δέ τινα αἰτιατικῇ συντασσόμενα, ἃ διαλελυμένως μετὰ γενικῆς συντάσσονται. οἷον ἐλπίζω δὲ ἀγαθά. ἐλπίδα δὲ ἔχω ἀγαθῶν, καὶ προσδοκῶ καὶ προσδοκίαν ἔχω ὁμοίως. δυλογῶ δέ σε καὶ ὑπὲρ λέγω σε. καὶ ἕτερα πάλιν μετὰ αἰτιατικῆς. Πάντα τὰ ἀπορίαν ἔχοντα μετὰ ὑποτακτικοῦ συντάσσονται, οἷον τίς γένωμαι. καὶ ποῖ τράπωμαι. Ἰστέον. ὅτι εἰσί τινα ῥήματα χωρὶς μὲν προθέσεως παθητικῶς ἐκφερόμενα. μετὰ δὲ προθέσεως ἐνεργητικῶς. ἐνίοτε καὶ ἐν ἑτέρᾳ συζυγίᾳ. οἷον μαχέομαι μαχοῦμαι. συμμαχέω δὲ συμμαχῶ. μαίνομαι

ῥήματα τὰ ἐνεργητικὰ, ἃ καὶ δραστήρια λέγονται καὶ μεταβατικὰ, μετὰ αἰτιατικῆς συντάσσονται. οἷον τύπτω σε καὶ τὰ ὅμοια. τὰ δὲ παθητικὰ μετὰ δοτικῆς, ἢ μετὰ τῆς ὑπὸ προθέσεως, μετὰ γενικῆς. οἷον τύπτομαί σοι καὶ τύπτομαι ὑπὸ σοῦ. τὸ δὲ φεύγω καὶ φοβοῦμαι καὶ μὴ ὄντα δραστήρια, ὅμως μετὰ αἰτιατικῆς συντάσσονται. νοεῖται δὲ ἐν τούτοις ἡ διὰ πρόθεσις. οἷον φεύγω διὰ σὲ καὶ φοβοῦμαι διὰ σέ. ὡς αἰτίου ὄντος ἐκείνου δι᾽ ὃ φεύγεις. τὰ δὲ ἔχοντα τὴν ἐνέργειαν οὐ μᾶλλον εἰς τὸ ἓν πρόσωπον ἢ εἰς τὸ ἕτερον. οἷον πολεμῶ σοι παλαίω σοι, μετὰ δοτικῆς συντάσσονται, τὰ δὲ ἐπισταλτικὰ καὶ ἀποσταλτικὰ καὶ αὐτὰ μετὰ δοτικῆς. οἷον ἀποστέλλω σοι. ἐπιστέλλω σοι. καὶ τὰ τῆς σχέσεως μετὰ δοτικῆς συντάσσονται. οἷον τύπτω σοι τὸν ἄνθρωπον. καὶ ποιῶ σοι τόδε χάριν. ἀντὶ τοῦ χάριν σοῦ ποιῶ τόδε. Πάντα τὰ εὐκτικὰ δύναται λαμβάνεσθαι καὶ ἀντὶ παρεληλυθότων χρόνων ὅταν ἔχωσιν ὄπισθεν δ᾽ ὡς. οἷον ὡς ποιήσειεν. διατί δὲ καὶ μὴ ἀπὸ τοῦ β΄. ἀορίστου ὅτε αὐτοῦ τὴν σημασίαν ἔχει. εἴω τὸ πορεύομαι. ὁ β΄. ἀόριστος ἴον. καὶ κίω ἔκιον. Ιστέον ὅτι τρία εἰσὶ τὰ κανονιζόμενα ἐν τῇ μετοχῇ ἀπὸ τοῦ ἐνεστῶτος. τὸ εἴω. τὸ ἴω καὶ τὸ κίω. εἴω γὰρ καὶ ἡ μετοχὴ ὁ εἰών. καὶ ἴω καὶ ἡ μετοχὴ ὁ ἰών. καὶ κίω καὶ ἡ μετοχὴ ὁ κιών. Ηνίκα ἄρχηται τὸ θέμα ἀπὸ τοῦ ι, πάλιν τὸ ι. φυλάσσεται καὶ ἐν τοῖς παρῳχημένοις. ἡ αὔξησις δὲ γίνεται κατὰ τὸν χρόνον. οἷον

καὶ ἡ ἐμὴ πατρίς. τὰ δὲ κτητικὰ ὀνόματα γενι-
κῶν κτητικῶν μόνον ἔχουσι δύναμιν. οἷον πλα-
τωνικὸν βιβλίον. οὐ μὴν πλατωνικὸς υἱός. καὶ ἑκ-
τόρειος ζωστήρ. ναὶ μὴν καὶ ἑκτόρειος υἱός. ἀλλ' ἢ υἱὸς
τοῦ ἕκτορος ἢ ἑκτορίδης. χωρὶς τοῦ υἱός. οἱ ποιηταὶ δὲ
ἑκτόρειος υἱὸς λέγουσι καὶ λητῶα θυγάτηρ καὶ ἄλλα.
πολλὰ τῶν ἀρσενικῶν ὀνομάτων ἀρσενικὰ ὄντα
χαίρουσιν οἱ ἴωνες, θηλυκῶς ἐκφέρειν. οἷον τὴν ὄν-
θον τὴν μαραθῶνα. εἰσὶ δὲ πάλιν ἕτερα ἀρσενικά, ἃ
οἱ ἀττικοὶ θηλυκῶς ἐκφέρουσιν. οἷον ὁ δρῦς ἡ δρῦς.
Ἰστέον ὡς οἱ ἀττικοὶ ῥήματά τινων ἐνεργητικῶν γρα-
φομένων τῶν ἐνεστώτων. οἷον ἀκούω. ἐπαινῶ. γε-
λῶ. θαυμάζω. γινώσκω καὶ ἕτερα τοὺς μέλλοντας
οὐκ ἐνεργητικοὺς ἐκφέρουσιν, ἀλλὰ μέσους. οὐ γὰρ
ἀκούσω φασὶ καὶ ἐπαινέσω. ἀλλ' ἀκούσομαι καὶ
ἐπαινέσομαι. καὶ γελάσομαι, καὶ θαυμάσομαι.
καὶ γνώσομαι καὶ ὄψομαι καὶ ζήσομαι καὶ βιώ-
σομαι. σιωπήσομαι. ἀπολαύσομαι. γιγνήσομαι.
καταβήσομαι. φεύξομαι. χειρώσομαι. προθυμή-
σομαι καὶ ἕτερα. Ἰστέον ὅτι οἱ παλαιοὶ ποιη-
ταὶ καὶ ἀττικοὶ τὰ τρία πρόσωπα τῶν ῥημά-
των καὶ τὰς δοτικὰς τῶν πληθυντικῶν διὰ τοῦ ν.
ἔλεγον. καὶ φωνήεντος ἐπιφερομένου καὶ συμ-
φώνου. ἐνίοτε δὲ διὰ τὴν ἀνάγκην τοῦ μέτρου ἐξέ-
βαλον αὐτό. Ὅσα ῥήματα δηλοῦσι πορείαν,
μετὰ μετοχῆς μέλλοντος συντάσσονται. οἷον
πορεύομαι ποιήσων τόδε. Ἰστέον ὅτι πάντα τὰ

τὸ ὡς ὀφθαλμοὶ παιδίσκης. νοεῖται γὰρ καὶ ταῦθα τὸ ἀφορῶσιν. Ἰστέον ὅτι τὰ συγκριτικὰ καὶ τὰ ὑπερθετικὰ συντάσσονται γενικῇ. καὶ οὐ λαμβάνονται ἔξωθεν προθέσεις. ὅταν δὲ λαμβάνηται ἀντὶ μερισμοῦ ἢ τάξις, καὶ τὰ ἁπλᾶ πρὸς γενικὴν συντάσσονται. λαμβανομένης ἔξωθεν τῆς ἀπὸ προθέσεως. οἷον εἷς τῶν ἀγαθῶν ἀντὶ τοῦ ἀπὸ τῶν ἀγαθῶν. πολλάκις δὲ νοεῖται τὸ εἷς, ἢ τὸ μία καὶ ἡ πρόθεσις ἔξωθεν. οἷον τῶν καλῶν ἐστὶν ἡ δικαιοσύνη, ἀντὶ τοῦ ἓν ἀπὸ τῶν καλῶν. Τῶν ἀττικῶν ἐστι τὸ μετὰ ἁπλοῦ ὀνόματος καὶ τὸ συγκριτικοῦ ἐπιρρήματος, ἐκ τρίτου συγκριτικὸν ὄνομα οἷον ἀντὶ τοῦ εἰπεῖν σοφώτερος τοῦ δεῖνος, εἴποις μᾶλλον σοφὸς τοῦ δεῖνος. καὶ πάλιν μετὰ ἁπλοῦ ὀνόματος καὶ ὑπερθετικοῦ ἐπιρρήματος, δηλοῦν ὑπερθετικὸν ὄνομα. οἷον ἀντὶ τοῦ εἰπεῖν σοφώτατος πάντων, εἴποις μάλιστα πάντων σοφός. Πολλάκις ἀντὶ προσηγορικοῦ ὀνόματος, θηλυκοῦ μονογενοῦς, τίθεται οὐδέτερον. οἷον, τὸ σοφὸν τοῦ δεῖνος ἀντὶ τοῦ ἡ σοφία. τὸ βάρβαρον ἀντὶ τοῦ ἡ βαρβαρότης. Ἰστέον ὅτι, ὃν λόγον ἔχει τὸ ἐπίθετον πρὸς τὸ ὄνομα λέγεις γὰρ ὁ ἰωάννης εἶτα ἐπιφέρεις ὁ καλὸς ἢ ὁ κακός, τοῦτον ἔχει τὸν λόγον τὸ ἐπίρρημα πρὸς τὸ ῥῆμα. οἷον ἀνέγνω τις. εἶτα ἐπιφέρεις τὸ καλῶς ἢ κακῶς. Αἱ κτητικαὶ ἀντωνυμίαι δύναμιν ἔχουσι γενικῶν κτητικῶν καὶ πατρικῶν καὶ γενικῶν. οἷον ὁ ἐμὸς υἱὸς καὶ ὁ ἐμὸς οἶκος.

T

ων ὀνομάτων, τινὰ μὲν, δηλοῦσι πάθος· τινὰ δὲ, ἐνέργειαν· οἷον κριτὴς καὶ κριτός. τῶν δὲ δηλούντων πάθος, τὰ μὲν ἔχουσι τὸ πάθος ἐνεργείᾳ, τὰ δὲ, δυνάμει. ἐνεργείᾳ μὲν οἷον γνωστὸς ὁ ἐγνωσμένος· δυνάμει δὲ οἷον θνητός· τρωτὸς ὁ δυνάμενος τρωθῆναι καὶ θανεῖν. Τὸ συγκριτικὸν οὐ δύναταί ποτε λέγεσθαι, χωρὶς ἐκείνου μεθ' οὗ συγκρίνεται· πρὸς ἓν γὰρ ἀφορᾷ· ὅπερ δ' ἐστὶν ἄδηλον. ὁποῖον ἐστὶν ᾧ μὴ προσλαμβάνεται τῷ λόγῳ· ἐπὶ δὲ θεοῦ λέγεται κυρίως συγκριτικὰ μόνα, μὴ παραλαμβανομένων τινῶν εἰς σύγκρισιν· οἷον τὸ κρεῖττον· οὐδὲ γὰρ ἑνός τινός ἐστι κρεῖττον, ἀλλὰ πάντων. τὸ δὲ ὑπερθετικὸν λέγεται χωρὶς ἐκείνων μεθ' ὧν ἔχει τὴν ὑπέρθεσιν· ἐπεὶ οὐκ ἀφορᾷ πρὸς ἕν, ἀλλὰ πρὸς πάντα· οἷον κάλλιστος καὶ ῥῆμα· οὐδέ ποτε λέγεται χωρὶς ὀνόματος δηλοῦν ἔννοιαν, εἰ μὴ ἐξαίρετος ἐνέργεια εἴη· οἷον ἀστράπτει βροντᾷ. προκατειλημμένος γάρ ἐστιν ὁ λογισμὸς τίς ἐστιν ὁ ἀστράπτων καὶ οὐ ζητεῖ τοῦτον. καὶ πάλιν τὰ ἄλλα μέρη τοῦ λόγου, οὐ δύναται ἀπαρτίζειν λόγον χωρὶς ῥήματος· οἷον γεώργιος ἐρχόμενος ἐν ταῦθα παρετράπη· χωρὶς εἰ μὴ ῥῆμα εἴη δυνάμενον νοεῖσθαι ἔξωθεν. οἷον ὁ θεόδωρος ἀγαθὸς ἀνήρ· νοεῖται γὰρ ἔξωθεν τὸ ἐστί· καὶ

ῶν προσώπων ἀπαρτίζει τὴν διάνοιαν, ἀλλ' ἡ τῶν προσώπων πολλάκις παραλλαγὴ, σολοικισμὸν ποιεῖ. ὥς φησίν τις ἐγὼ περιπατοῦντος τεῖχος ἔπεσε. διὸ προσέχειν δεῖ τῇ εὐθείᾳ. καὶ εἰ μὲν πρώτου προσώπου ἐστὶ δηλωτικὴ, κατὰ τὸ νοούμενον πρῶτον προσώπου ἐπήγαγε. ὡς τὸ νῦν δ' ἐμ' ἐπιγράψας ταρσὸν ποδὸς. εὔχεαι δ' αὔτως. εἰ δὲ τρίτου προσώπου εἴη, τρίτου ἐπάγαγε. ὡς τὸ οὐκ ἀπολαβὼν ἐσθλὰ καὶ μεθ' ὕβρεως ἀποδιωχθεὶς ηὔξατο. καὶ οὕτως ἀποτελεῖται ἡ ἀπὸ τῆς εὐθείας ἀρχομένη περίοδος. εἰ δὲ ἀπὸ γενικῆς ἄρχεται, περίοδος. ἀπαραιτήτως ἡ τοῦ ῥήματος γίνεται ἐπαγωγὴ, καὶ οὕτως ὥρισται ἡμῖν τὸ δεύτερον εἶδος τῆς συντάξεως. εἰ δὲ ἀπὸ δοτικῆς γίνεται ἡ ἀρχὴ, ἐν ἑτέρου προσώπου πάντως ἡ ἐπαγωγὴ καὶ ὁ ἀριθμὸς ἀπαραιτήτως ποικίλλεται. εἰ δὲ ἀπὸ αἰτιατικῆς ἄρχεται, πάλιν ὁμοίως τῇ δοτικῇ ἀπαρτίζεται. εὑρίσκομεν δὲ καὶ πέμπτον εἶδος τῆς συντάξεως, διὰ ἀπαρεμφάτου καὶ αἰτιατικῆς. καὶ τοῦτ' ἔστι ῥήματος, ἀπαρτιζόμενον. ὡς τὸ ὡς γυστόρα δὲ, οὔπω κρύψαι μεμαυῖαν οὐλομένην, καὶ τοῦ τί μέχρι τοῦδε ἔχεις βραχύτατον καὶ συντομώτατον περὶ τῆς συντάξεως δίδαγμα. μηδὲν ἐλλιπὲς ἔχον τῆς ἡμετέρας πρὸς σὲ ἀγαπήσεως σημεῖον. ἀλλὰ καὶ λίαν ἀκραιφνὲς γνώρισμα τυγχάνον τῆς ὑμῶν πρὸς σὲ σχέσεως ὦ φίλον ἄριστον μειράκιον.

ΤΕΛΟΣ.

ὅταν τις τὸ ἄνθρωπος ὀφείλων προπαροξυτόνως εἰπεῖν, εἴπεν, ἀνθρωπὸς ὀξυτόνως, ἢ θεμελιὸς, ἀντὶ τοῦ θεμέλιος. περὶ γραφὴν, ὡς ὅταν τις τὸ πένης, διὰ τοῦ υ. γράψῃ ὀφείλων διὰ τοῦ η. γράψαι. περὶ κλίσιν δὲ ὡς ὅταν τὶς, τὸ μακρὸν συστείλων· ὀφείλων ἐκτεῖναι αὐτό. περὶ πνεῦμα δὲ, ὡς ὅταν τὶς τὴν ὑπὲρ, ἢ τὴν ὑπὸ πρόθεσιν ψιλώσῃ ὀφείλων δασῦναι αὐτήν. σολοικίζειν δέ ἐστι, τὸ περὶ τὴν σύνταξιν καὶ τὴν φράσιν ἁμάρτημα. τουτέστιν ἑκάστης λέξεως καθ' ἑαυτὴν κειμένης, καὶ καλῶς ἐχούσης. ἐν δὲ τῇ συντάξει τῆς φράσεως, ἀτάκτως καὶ ἀνακολούθως συνταττομένης τε καὶ συμπαραλαμβανομένης, καὶ οἷον τὸ ἐγὼ περιπατοῦντο τεῖχος ἔπεσεν. ἰδοὺ γὰρ ἐνταῦθα ἑκάστη λέξις καθ' ἑαυτὴν κειμένη, καλῶς ἔχει. καὶ γὰρ τὸ ἐγώ, καὶ τὸ περιπατῶ, καὶ τὸ τεῖχος καὶ τὸ ἔπεσε καλῶς ἔχει· ἀλλ' ἐν τῇ συντάξει καὶ τῇ φράσει, ἀτάκτως καὶ ἀνακολούθως παραλαμβάνεται, ὅθεν καὶ σολοικισμὸς λέγεται, ὅτι τοῦ σόλου ὅλου αἰκισμὸς, ἤγουν ὕβρις τοῦ ὁλοκλήρου λόγου. Ποσαχῶς διαιρουμένην ἐστὶ δυνατὸν εὑρεῖν τὴν σύνταξιν, προήχθην σοι δηλῶσαι ὦ φίλε παῖ. ἐντεῦθεν ἀρχόμενος τὸ ῥῆμα τὸ τὴν σύνταξιν ἀπαρτίζον, ὁριστικὸν πάντως ἐστίν. ὡς δ' ὁ γὰρ βασιλῆϊ χολωθεὶς, νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν, ἢ προστακτικόν. ὡς τὸ μῆνιν ἄειδε θεὰ ἢ εὐκτικόν, ὡς τὸ ἐλθὲ ὡς θυμὸς ἐνὶ στήθεσσι φίλοισι μενοινῇ, ὥστε γοῦν οὐδ' ἑτεροῖτο. ἀλλὰ τὴν μὲν προστακτικὴν καὶ εὐκτικὴν, ὡς οὐδ' ὅλως οὐκ ἀναγκαῖον διασαφηνίσαι. περὶ δὲ τῆς ὁριστικῆς μόνον εἴπωμεν ὧδε. ἡ ὁριστικὴ πάντως. δι' ἑνὸς τῶν τρι

ὤν, κατὰ γένος σολοικίζεις, εἰ δὲ ἐκεῖνος πατέρες ὤν, κατὰ ἀριθμόν, εἰ δὲ εἴποις ἐκεῖνος πατὴρ ὄντος, κατὰ πτῶσιν. καὶ περὶ τούτων ἀρκεῖ τοσαῦτα. τὸ γὰρ γύμνασμα τοῦτο, πᾶσαν ἐν ἑαυτῷ περιέχει τῆς συντάξεως τὴν ἰσχύν. ἀλλὰ ταῦτα μὲν περὶ τῶν ἐχόντων γένος καὶ ἀριθμὸν καὶ πτῶσιν, οἷον ὀνόματος. μετοχῆς. ἄρθρου. καὶ ἀντωνυμίας, πρὸς δὲ τῶν ἐχόντων πρόσωπα, τὸ αὐτὸ φυλακτέον. ὥσπερ γὰρ οὐ λεγόμεθα ἐκεῖνος πατὴρ ὢν περὶ τοῦ οἰκείου παιδὸς μεριμνήσουσιν, ἵνα μὴ σολοικίσωμεν κατὰ ἀριθμόν, οὕτως οὐδυνάμεθα λέγειν, ἐκεῖνος πατὴρ ὤν, περὶ τοῦ ἰδίου παιδὸς μεριμνήσω, ἵνα μὴ σολοικίσω κατὰ πρόσωπον. τὸ γὰρ ἐκεῖνος, τρίτου προσώπου ἐστί. τὸ δὲ μεριμνήσω, πρώτου. καὶ οὐδεὶς συντάττει, πρῶτον, μετὰ τρίτου, ἀλλὰ πρῶτον μετὰ πρώτου. καὶ δεύτερον μετὰ δευτέρου. καὶ τρίτον μετὰ τρίτου. Ταῦτα μὲν οὖν περὶ τῶν ἐχόντων γένος ἀριθμὸν πτῶσιν πρόσωπα. ἤτοι περὶ τῶν πέντε μερῶν τοῦ λόγου. ὀνόματος. ῥήματος. μετοχῆς. ἄρθρου. ἀντωνυμίας. σολοικίζει τις καὶ ἐν ταῖς προθέσεσιν, οὕτως εἰς τὴν πόλιν οἰκῶ. ἐν τῇ πόλει ἀπέρχομαι. εἰ δὲ εἴπω ἐν τῇ πόλει οἰκῶ. εἰς τὴν πόλιν ἀπέρχομαι. ὀρθῶς εἴρηκα. ἡ γὰρ ἐν πρόθεσις, τὴν ἐν τόπῳ στάσιν δηλοῖ. ἡ δὲ εἰς, κίνησιν καὶ μετάβασιν, ὡς ἐν τῷ περὶ τούτων λόγῳ εἴρηται. ἰστέον δὲ ὅτι ἄλλο ἐστὶ τὸ βαρβαρίζειν, καὶ ἕτερον τὸ σολοικίζειν. καὶ τὸ βαρβαρίζειν μὲν γάρ ἐστι. τὸ ἁμαρτάνειν περὶ μίαν λέξιν. εἴτε περὶ τόνον, εἴτε περὶ γραφήν. εἴτε περὶ κλίσιν. εἴτε περὶ χρόνον, εἴτε περὶ πνεῦμα. περὶ τόνον μὲν ὡς

κεῖνος πατὴρ ὤν, περὶ τοῦ παιδὸς μεριμνήσει. ἰδοὺ ἡ ἐκεῖνος ἀντωνυμία, καὶ τὸ πατὴρ ὄνομα, καὶ ἡ ὢν μετοχὴ, ἅπαντα ἀρσενικοῦ γένος ἐστὶ, εἰ δὲ εἴποις ἐκεῖνος μήτηρ ὤν, σολοικίζεις. οὐ γὰρ συντάττεις γένος μετὰ γένους. ἐὰν δὲ εἴποις ἐκεῖνος πατὴρ οὖσα περὶ τοῦ οἰκείου παιδὸς μεριμνήσει σολοικίζεις. ἐὰν δὲ εἴποις ἐκεῖνος πατὴρ ὢν περὶ τοῦ οἰκείου παιδὸς μεριμνήσει ἢ ἐκείνη μήτηρ οὖσα, ἢ ἐκεῖνο τέκνον ὂν τοὺς ἑαυτοῦ γονεῖς ἀγαπήσει. ὀρθῶς εἴποις. τὸ δὲ ἀριθμὸν μετὰ ἀριθμοῦ διδάχθητι. ἀριθμὸν μετὰ ἀριθμοῦ οὕτω τάξεις, τὸν ἑνικὸν μετὰ ἑνικοῦ. τὸν δυϊκὸν μετὰ δυϊκοῦ. τὸν πληθυντικὸν μετὰ πληθυντικοῦ. ὡς ἐπὶ τοῦ αὐτοῦ διδάξομεν παραδείγματος. οἷον ἐκεῖνος πατὴρ ὤν, περὶ τοῦ οἰκείου παιδὸς μεριμνήσει. εἰ οὕτως εἴποις. ὀρθῶς ἔσῃ λέγων. εἰ δὲ εἴποις ἐκεῖνος πατέρες ὄντες, ἐσολοίκισας. οὐ γὰρ συντάσσεις ἀριθμὸν μετὰ ἀριθμοῦ. ἀλλὰ ἑνικὸν μετὰ πληθυντικοῦ διὸ καὶ ἐσολοίκισας. λοιπὸν οὖν δεῖξαι καὶ πτῶσιν μετὰ πτώσεως. πτῶσιν μετὰ πτώσεως. ὅταν συντάσσῃς εὐθεῖαν μετὰ εὐθείας, καὶ γενικὴν μετὰ γενικῆς. καὶ δοτικὴν μετὰ δοτικῆς, καὶ αἰτιατικὴν μετὰ αἰτιατικῆς. καὶ δείξομεν δὲ καὶ τοῦτο διὰ παραδείγματος. ἐκεῖ γὰρ μικρὸς σπινθὴρ, μέγαν ἐξάψει πυρσὸν ἐνταῦθα δὲ μικρὸν παράδειγμα, ὅλης τέχνης παραστήσει τὸ χρήσιμον. ἐκεῖνος πατὴρ ὤν, περὶ τοῦ οἰκείου παιδὸς μεριμνήσει. οὗτος ἔχει καλῶς. εἰ δὲ εἴποις ἐκεῖνος πατὴρ ὄντος, οὐ καλῶς. οὐ γὰρ συντάττεις πτῶσιν μετὰ πτώσεως, ὅταν οὖν εἴποις ἐκεῖνος μήτηρ

μαί σου ὁμοίως. οὐ γὰρ παρέχω σοι σημαίνει τὸ δέ
ομαι. ἀλλ' ἀπὸ σοῦ ζητῶ. καὶ τὸ ὀρέγομαί σου, ἐξ ὧ
θεν ὄρεξιν σημαίνει οἷον ἀπὸ σοῦ ἔχω ὄρεξιν, καὶ λεί
πομαι, καὶ τὰ ὅμοια. δοτικὴν δὲ ζητεῖ, ὅσα ὑπουργί
αν σημαίνει τινά. οἷον δουλεύω σοι, κομίζω σοι. προ
σφέρω σοι. πορίζω σοι. λέγω σοι. παρίσταμαί σοι, καὶ
τὰ ὅμοια. αἰτιατικὴν δὲ ζητεῖ. ὅσα οἴκοθεν εἰς τὰ ἔξω
προβάλλει ἃ καλεῖται κατ' ἐκπομπήν. οἷον ἀγα
πῶ σε φιλῶ σε. ὁρῶ σε. τὸ γὰρ ὁρᾶν, κατ' ἐκπομπὴν
γίνεται. ὥσπερ γὰρ ὁ ἥλιος διὰ μέσου ὑέλλου ἢ ὕδα
τος τὰς ἀκτῖνας ἐκπέμπει τὸ φῶς. διὸ καὶ ὀφθαλ
μὸς ἤτοι ὀπτικῆς ἕξεως ἀλμός. ἤγουν πήδημα. τὰ
γοῦν οὕτως ἔχοντα αἰτιατικῇ συντάσσεται ἢ κλιτι
κῇ ἀεὶ περιέχεται ὑπὸ τοῦ δευτέρου προσώπου. ῥῆ
μα δὲ οὐ ζητεῖται. ἐν δὲ τῇ ἑρμηνείᾳ, προτίθεται πα
ρὰ τοῦ λόγου. οἷον μνήσθητι κύριε τοῦ Δαβὶδ,
καὶ πάσης τῆς πραότητος αὐτοῦ. λοιπὸν ἐν τῇ
ἑρμηνείᾳ περιέχεται οὕτως, ὦ κύριε μνήσθητι τοῦ
Δαβὶδ, καὶ τὰ ἑξῆς. καὶ περὶ μὲν τούτων, ἱκανὰ τὰ
εἰρημένα. αὕτη γάρ ἐστι σύνταξις μερικὴ τῶν μερῶν.
ἴδωμεν οὖν καὶ τὴν καθόλου. ἤτοι ὅπως δεῖ συντάτ
τειν γένος, μετὰ γένους. καὶ ἀριθμὸν, μετὰ ἀριθμοῦ, καὶ
πτῶσιν μετὰ πτώσεως, καὶ ἔστι γένος μετὰ γένους,
ὅταν συντάττῃς ἀρσενικὸν μετὰ ἀρσενικοῦ. καὶ θη
λυκὸν μετὰ θηλυκοῦ. καὶ οὐδέτερον μετὰ οὐδετέρου.
εἰ γὰρ συντάξεις ἀρσενικὸν μετὰ θηλυκοῦ, ἢ οὐδέτερον
καὶ οὐχ ἕκαστον μετὰ τοῦ αὐτοῦ. σολοικισμὸν ποιήσεις
εἴξομεν δὲ τοῦτο, διὰ παραδείγματος. οἷον ἐ


πρὸ παντων δεῖ γινώσκειν, ὅτι πᾶν ῥῆμα εὐθεῖαν ἐν ἑαυτῷ περιέχει. λεγομένην ἢ νοουμένην. ἐπὶ πάσης κλίσεως. καὶ ἐπὶ παντὸς ἀριθμοῦ. καὶ ἐπὶ παντὸς προσώπου. καὶ ἐπὶ παντὸς χρόνου. πλὴν τῶν ἀπαρεμφάτων. καὶ ζητεῖ ἢ γενικὴν, ἢ δοτικὴν, ἢ αἰτιατικὴν. ἢ κλητικήν. καὶ πότε γενικὴν. καὶ πότε δοτικὴν. καὶ πότε αἰτιατικὴν, ζητεῖ τὸ ῥῆμα τὸ ἔχον ἐν ἑαυτῷ εὐθεῖαν, μάθωμεν. καὶ πότε καὶ πῶς καὶ ὅτι πᾶν ῥῆμα εὐθεῖαν ἐν ἑαυτῷ περιέχει. οἷον ἀναγινώσκω ἐγὼ πλάτων. ῥήτορευει σωκράτης. φιλοσοφεῖ ἐκεῖνος Ἀριστοτέλης. ὡσαύτως καὶ ἐπὶ δυϊκοῦ καὶ πληθυντικοῦ ἀριθμοῦ. ἰδοὺ γὰρ τὸ ἀναγινώσκω ῥῆμα, εὐθεῖαν ἐν ἑαυτῷ περιέχει. οἷον ἐγὼ πλάτων ἀναγινώσκω. τὸ ἀναγινώσκω εἰς τὸ πλάτων καὶ εἰς τὴν εὐθεῖαν ἀναφέρονται. ἅτινα ἐστὶ δηλώσεις. πρόσκειται χωρὶς τῶν ἀπαρεμφάτων. ἐπεὶ τὰ ἀπαρέμφατα. δηλῶσιν αἰτιατικὴν περιέχει. οἷον οὐθέλω ὑμᾶς ἀγνοεῖν. τὸ γὰρ ἀγνοεῖν ἀπαρέμφατον. καὶ τὸ ὑμᾶς αἰτιατικήν. ἤγουν ἐγὼ παῦλος οὐθέλω ὑμᾶς τοὺς θεσσαλονικοὺς ἀγνοεῖν. ἰδοὺ τὸ οὐθέλω, εὐθεῖαν ἐν ἑαυτῷ περιέχει. ὅτι ὁριστικῆς ἐγκλίσεως ἐστί. τὸ δὲ ἀγνοεῖν αἰτιατικὴν ὅτι ἀπαρεμφάτου ἐγκλίσεως ἐστίν. ἔλθωμεν καὶ μάθωμεν, ποῖα ῥήματα ζητοῦσι γενικὴν. καὶ ποῖα δοτικήν. καὶ ποῖα αἰτιατικήν. γενικὴν μὲν λαμβάνει, ὅσα ἔξωθεν λαμβάνει ἃ καλεῖται κατ' εἰς προμπτὴν. οἷον ὀρέγομαί σου ὀρῶ σου. τουτέστιν ἔρωτα ἔχω ἀπὸ τοῦ ἐν τῇ καρδίᾳ μου. καὶ τὸ δέομαι

τό γέ μοι δός. ὅπερ ἐναντίωσιν δηλοῖ. οἷον μὴ δ' οὕτως ἀγαθός περ ἐών, θεοείκελ' ἀχιλλεῦ, κλέπτε νόῳ. Εἰδέναι δὲ χρὴ ὅτι ὁ γὰρ σύνδεσμος σύνθετός ἐστιν. ἀπὸ τοῦ γε, καὶ τοῦ ἄν. αἰτιολογικὸς δὲ ὑπάρχει. οὐ τάσσεται δὲ ἐν ἀρχῇ λόγου. ἀλλὰ παντὶ μορίῳ λόγου ὑποτάσσεται ἐν ταῖς δεούσαις συντάξεσι. μετὰ μίαν ἢ δύο λέξεις τῆς ἀρχῆς. οἷον ἦ γάρ κεν δειλός τε καὶ οὐτιδανὸς καλεοίμην. οὐδὲ γὰρ οὐδὲ δρύαντος υἱὸς κάρτερος λυκόεργος. οἱ δὲ λεγόμενοι ἐναντιωματικοί, καὶ προηγοῦνται καὶ ἐπάγονται ἐν ταῖς ἀρχαῖς τῶν συντάξεων προτασσόμενοι. οὐ μέντοι ἐν προοιμίοις λύσεως ἢ συγγραφῆς. κατ' ἐναντίωσιν δὲ νοήματος ἢ διηγήματος προειρημένων παραλαμβανόμενοι. οἷον ἔμπης οὐκ ἐδάμασα. θεός γέ τοι νοτήεις ἐστίν. ἀλλ' ἔμπης δαναοῖσι μετέσσομαι. ἠδὲ κελεύσω νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης. καὶ ὅμως σύνδεσμος, ὡσαύτως ἐστὶ τῷ ἔμπης συνδέσμῳ. οἷον ἔκαμον παραινῶν. ἀλλ' ὅμως ἔτι παραινέσω. καὶ ἐν προστάξει, οἷον ἔσπευδες προσφθάσαι. ὅμως δ' οὐκ ἔφθασεν. ἃ καὶ μὴ προεθυμήθης ἄλλο τι πρᾶξαι, ὅμως νῦν πρᾶξαι μὴ παραιτοῦ. ταυτὶ δή σοι ὦ φιλέτης, οἷόν τινα προγυμνάσαι πρὸς τὴν παρὰ τῆς τοῦ λόγου παρὰ τῆς ἀρχαίοις συντάξεως, ἐντελεστέραν διδασκαλίαν συνέγραψα. εὔχομαι τοίνυν ἔχειν σε τὴν θείαν χάριν ἐν τούτοις. καὶ ἐν πᾶσιν οἷς μετέρχῃ. λύχνον καὶ ὁδηγόν. τῆς ἡμῶν πυκνῆς μεμνημένος σχέσεως.

ριστοφάνει. καὶ ταῦτα μὲν δὴ ταυτί. τῷ δὲ λοξίᾳ,
μετέβη γὰρ ἐφ' ἕτερον. οὐκ ἐκλήθησαν ἀπὸ τῆς ση-
μασίας ἀλλὰ ἀπὸ τοῦ παρατηροῦντος τὰς φρά-
σεις τοῦ πράγματος. τοὺς δὲ παρατηρωματικοὺς
λαμβανόμενοι. ἢ μέτρον παρατηροῦντες, ἢ φράσιν
κοσμοῦντες. οἷον ἡ νύσσα τοῦ δ' ἐὸς ἴσχει ἀκήριον. ἀεὶ
δὲ τοῖς ἄλλοις μορίοις τοῦ λόγου ὑποτάσσονται.
οἷον ἄλλοι μὲν ῥ' ἄθεοί τε καὶ ἄνδρες ὑποκοριστοί.
οὐ μὴν θὴν ἔγωγε χερείων εὔχομαι εἶναι. τῶν δὲ παρατη-
ρωματικῶν, κοινῶς μέν εἰσιν οἵδε. δή. ποῦ. δῆτα.
τοί. μήν. ἄν. οὖν. γε. περ. πω. ποιητικοὶ δέ, ῥα. νυ.
θην. ἄρ. αὖ. τω. πω. κεν. ἰσοδυναμοῦσι δὲ τὸ δή. ὁ δὲ
κέ, τῷ ἄν. οἷς εἰσὶν ὁμώνυμοι, συμπλεκτικοῖς ὅ τε
ἂν δυνητικὸς καλούμενος, καὶ ὁ ἰσοδύναμος αὐτῷ
κεν, ποιητικός. συντάσσεται δὲ ὁ ἂν δυνητικός, τοῖς
μὲν ὁριστικοῖς, κατά τε τὸν παρατατικὸν καὶ ὑπερ-
συντέλικον. καὶ ἀόριστον ἄν. οἷον ἔγραφον ἄν, ἐγε-
γράφειν ἄν, ἔγραψα ἄν, τοῖς δὲ εὐκτικοῖς, καὶ ὑποτα-
κτικοῖς, κατὰ τὸν πάντα χρόνον. ἀλλὰ τῶν ὑποτακτι-
κῶν προτάσσεται μόνον. τοῖς δὲ ὁριστικοῖς καὶ εὐκτι-
κοῖς, ὑποτάσσεται καὶ προτάσσεται. δυνητικὸς
δὲ λέγεται, ἐπειδὴ ἡ σύνταξις εἰς τὸ δύνασθαι με-
ταφέρεται, οἷον ἔλεγον ἄν. ἀντὶ τοῦ ἠδυνάμην λέ-
γειν. ἔγραψα ἄν. ἀντὶ τοῦ ἠδυνάμην γράψαι. τὴν δ'
αὐτὴν σύνταξιν ἔχει καὶ ὁ κεν ποιητικός, ὁ γε. σύν-
δεσμος μειωτικὸς καλεῖται. μείωσιν γὰρ καὶ ἐλάτ-
τωσιν δηλοῖ. οἷον εἰ μὴ ἐκεῖνό μοι παράσχοις, ἔ-



ἀγαθότητα τοῦ πατρὸς, τὴν πρόοδον ἔχει. ταῦ-
τα δὲ ἀνάγκη ἀγαθὰ εἶναι. καὶ πάλιν ἀποδεῖξαι
βουλόμενος. ὅτι ὁ ἄνθρωπός ἐστιν, ὅρῳ, ὁ αἶνος ζῶον.
τὸ ζῶον οὐσία. ὁ αἶνος ἄρα οὐσία. εἰ δὲ διηγούμενος
ἱστορίαν βουλοίμην βεβαιῶσαι φημί. ἔστω οὖν αὕτη
ἐπὶ τοῦ σεδεκίου γεγωνυῖα τῆς ἁγίας Ἱερουσαλὴμ
ἀνάλωσις. ἐρῶ δὴ τοῦ τῶν Ἰουδαίων ἡμαρτηκότος
λαοῦ. καὶ οὐδὲ δεκίου τοῦ βασιλέως ἐπιορκήσαντος
ὠργίσθη αὐτοῖς ὁ κύριος τοίνυν ὁ Ναβουχοδονό-
σορ, τὴν πόλιν καθεῖλε. καὶ τὸν θεῖον ναὸν ἐνέπρησε.
καὶ τοὺς μὲν ἀνεῖλε. τοὺς δὲ ἠχμαλώτισε. καὶ σεδε-
κίαν τυφλώσας, δέσμιον ἀπήγαγε. καὶ μετῴκι-
σεν εἰς βαβυλῶνα. τοῖς δὲ ἀπὸ ῥηματικοῖς χρώμε-
θα. τοῖς ζητήμασιν ἐπαναφέροντες. οἷον ἆρα, τί τῶν
ἀγγέλων ἡ φύσις. ἆρα ἐπί τινος ἡ γῆ πέπηγε. ἡ μῶν
ἐπὶ τῶν ὑδάτων. προηγοῦνται δὲ τῶν λόγων. εἰ δέ που εὑρε-
θῇ καὶ ἐπιφέροιντο, καθ᾽ ὑπερβατὸν τρόπον γε ἐπιφέρον-
ται. ἰστέον δὲ ὅτι τούτῳ διαφέρει ἆρα διαπορηματι-
κὸς σύνδεσμος τοῦ συλλογιστικοῦ, ὅτι ὁ μὲν διαπο-
ρηματικὸς, προτάσσεται. ὁ δὲ συλλογιστικὸς, ὑπο-
ζύγεται. ἰστέον δὲ ὅτι τὰ μὲν ἄλλα πάντα τῶν συνδέ-
σμων εἴδη, ἀπὸ τῆς σημασίας ἣν δηλοῦσιν ἕκα-
στον ὀνομάσθησαν. οἷον συμπλεκτικοὶ μὲν, ἀπὸ τοῦ
συμπλέκειν. καὶ οἱ ἑξῆς ὁμοίως, οἱ δὲ παραπληρω-
ματικοὶ, ἀεὶ διάφορον σημαίνουσι σημασίαν. ση-
μαίνουσι γὰρ μείωσιν ὡς ὁ γε, καὶ ἐναντίωσιν ὡς ὁ
περ; καὶ μετάβασιν ἢ βεβαίωσιν ὡς ὁ δή. ὡς παρὰ



σώματος ὄψεις, οὕτως ὁ νοητὸς ἥλιος τοὺς νοεροὺς τῆς ψυχῆς ὀφθαλμοὺς καταυγάζει. καὶ ἀνεστραμμένως. οὕτως ὁ νοητὸς ἥλιος τοὺς νοεροὺς τῆς ψυχῆς ὀφθαλμοὺς καταυγάζει, ὥσπερ ὁ αἰσθητὸς ἥλιος φωτίζει τὰς τοῦ σώματος ὄψεις. ἐπανιτέον οὖν ἐπὶ τὴν ἀναπλήρωσιν τῆς τεχνολογίας, τῆς τῶν συνδέσμων συντάξεως. Οἱ δὲ αἰτιολογικοὶ, προηγοῦνται μὲν τῶν λέξεων. ποιοῦσι δὲ αὐτὰς, καὶ ὀρθὰς καὶ ἀντεστραμμένας συντάξεις καὶ τὰ ὑποτακτικὰ παρασκευάζουσι ῥήματα. πρωταστόμενοι γὰρ αὐτῶν, πρὸς αὐτὰ τὴν ἀπότασιν ἔχουσιν. εἰ καὶ μὴ εὐθὺς ἐπιφέρονται. οἷον ἐὰν μάθω ὠφελοῦμαι. καὶ ἀνάπαλιν ὠφελοῦμαι ἐὰν μάθω. σημαίνουσι δὲ ποικίλας σημασίας, ἐν τῇ πρὸς τὰ ῥήματα συντάξει. ὁ μὲν γὰρ ἵνα δηλοῖ αἰτίαν καὶ ἀποτελεσμόν. αἰτίαν μὲν, οἷον κοπιῶ ἵνα σωθῶ. ἀποτελεσμὸν δὲ, ἵνα λαλήσω ἐπάρχειν. ὁ δὲ ὅπως ὡς ἐπίπαν δηλεῖ, ἀποτελεσμόν. ὁ δὲ ὄφρα, ὁμοιώσιμος ἐστὶ τῷ ὅπως. ποιητικὸς δὲ ὑπάρχει. ὁ δὲ ἐὰν, διςαγμὸς σημαίνει. οἷον ἐὰν ὑγιαίνω πορεύομαι. οἱ δὲ συλλογιστικοὶ, πρὸς τὰ συμπεράσματα τῶν συλλογισμῶν. καὶ πρὸς τὰς ἐπιφορὰς τῶν ἀποδείξεων, καὶ πρὸς τὰς βεβαιώσεις. τῶν προδιηγηθέντων τάσσονται. οἷον θέλων ἀποδεῖξαι ὅτι πάντα τὰ ὄντα, ἀγαθὰ εἰσὶν, ὅρῳ συλλογιζόμενος διὰ προτάσεων. καὶ κρίνων διὰ τοῦ συμπεράσματος, τὰ ὄντα πάντα, διὰ τὴν

συντάξεις, ὀρθὰς καὶ ἀνεστραμμένας. προηγούμενοι μὲν, ὀρθὰς ἀποτελοῦσιν. οἷον εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ. ἀλλά τε καὶ μετόπισθεν ἔχει κότον ὄφρα τελέσσῃ ἐν στήθεσσιν ἑοῖσιν. ἐπαγόμενοι δὲ ἀνεστραμμένοις. οἷον ἦ κεν γηθήσαι πρίαμος. πριάμοιό τε παῖδες. ἄλλοι τε τρῶες μέγα κεν κεχαροίατο θυμῷ. εἰ σφῶϊν τάδε πάντα πυθοίατο μαρναμένοιιν, δέον δ' ἦν εἰ σφῶϊν τάδε πάντα πυθοίατο μαρναμένοισιν, ἦ κεν γηθήσαι πρίαμος, πριάμοιό τε παῖδες. ἄλλοι τε τρῶες μέγα κεν κεχαροίατο θυμῷ. ὁμοίως δὲ καὶ οἱ παρασυναπτικοὶ, τὰς αὐτὰς ποιοῦσι συντάξεις. πλὴν ὅτι οἱ μὲν συναπτικοὶ, ὕπαρξίν τε καὶ τάξιν σημαίνουσιν. ἐν ταῖς ἀρχαῖς τῶν λόγων αὐτοί τε κἀκεῖνοι τασσόμενοι. ἐπειδὴ δὲ τῶν ὀρθῶν τε καὶ ἀνεστραμμένων συντάξεων ἐνταῦθα μνήμην πεποιήμεθα. χρὴ εἰδέναι ὅτι καὶ τὰ διαφορικὰ καὶ τὰ τῆς παραβολῆς ἢ ὁμοιώσεως, ποιοῦσιν ἀνεστραμμένας καὶ ὀρθὰς συντάξεις. ἔν τε γὰρ τοῖς διαφορικοῖς ὀνόμασιν, ἐπιφερομένων δὲ τῶν ἀνταποδόσεων, αἱ ὀρθαὶ συντάξεις γίνονται. οἷον οἷος ἦν ὁ τελαμώνιος αἴας. καὶ ἐν τοῖς διαφορικοῖς ἐπιρρήμασιν ὡσαύτως. ὅτε ὄρθρος ἀνέτειλε, τότε ὄμβρος ῥαγδαῖος ἐγένετο. αὕτη μὲν ὀρθὴ, ἀνεστραμμένη δὲ αὕτη. τότε ὄμβρος ῥαγδαῖος ἐγένετο, ὅτε ὄρθρος ἀνέτειλε. τὸ αὐτὸ καὶ ἐν τοῖς παραβατικοῖς ἐπιρρήμασι καθίσταται. ὥσπερ ὁ ἀληθινὸς ἥλιος φωτίζει τὰς τοῦ

ϛὶ καὶ ἡ παρ' ὁμήρῳ σύνταξις ἔνθα λέγει. ἢ νέος. ἠὲ παλαιός. διασαφητικὸς δὲ. οἷον πλουτεῖν ἐθέλω· ἠὲ πένεσθαι. διασαφοῖ, γὰρ τὸ ἕτερον ὃ αἱρεῖται. ὡς παρὰ τῷ ποιητῇ. βούλομαι ἐγὼ λαὸν σῶον ἔμμεναι. ἢ ἀπολέσθαι. διαπορητικὸς δὲ καθίσταται ἡνίκα μεθ' ὑπερωτήσεως καὶ ἀπορίας λέγοιτο. μὴ οὔσης τῆς συντάξεως διαζευκτικῆς. οἷον ἠέ τι μυρμιδόνεσσι πιφαύσκεαι, ἠὲ μοι, αὐτῷ. ἠέ τιν' ἀγγελίην φθίης ἐξέκλυες οἶος. ἠὲ σύ γ' ἀργείων ὀλοφύρεαι ὡς ὀλέκονται. ὃς μονοσύλλαβος μὲν ὢν περισπᾶται. δισύλλαβος δὲ ὀξύνεται. Διαβεβαιωτικὸς δὲ, ὃς καὶ μεθ' ὑπερωτήσεως πολλάκις παραλαμβάνεται. οἷον τί δὲ λαὸν ἤγαγεν ἐνθάδ' ἀγείρας ἀτρείδης. ἦ οὐχ ἑλένης ἵνεκ' ἠϋκόμοιο. χωρὶς δὲ ὑπερωτήσεως. ἦ μάλα δὴ τέθνηκε μενοιτίου ἄλκιμος υἱός. ἦ μάλ' ἐλαφρὸς ἀνὴρ ὃς ῥεῖα κυβιστᾷ. ἦ δὴ λοίγι' ἔργα τάδ' ἔσσεται. ἰστέον ὅτι καὶ τῷ ἐπεὶ ὑποτάσσεται ἐπεὶ ἦ μάλα πολὺ μεταξύ. ὅτι δὲ συντεθῇ μετὰ τοῦ πύσματος, ἐγκλίνεται. τίη δὲ σὺ κήδεαι οὕτως. ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός. ἰστέον δὲ ὅτι ἐπίρρημα ὃ ἢ, ἀντὶ τοῦ ὡς παραλαμβανόμενος. οἷον ἣ θέμις ἐστί. περισπᾶται δὲ καὶ δασύνεται. οἱ δὲ συναπτικοὶ, συγκεκραμμένοι μὲν συνδέσμοις, ἐννοίας ἀτελεῖς καὶ ἀνυπάρκτους καὶ συνάπτουσι μεθ' ἃς ὑποστιγμὴν τίθεμεν. διὸ καὶ ἀκολουθίαν εἰς ἀναπλήρωσιν διανοίας ἀπαιτοῦσι. τοιοῦτοι δὲ

συντάξεις συντίθεμεν. διαζευγνῦντες μὲν ἢ πρά-
γμα ἀπὸ πράγματος, ἢ πρόσωπον ἀπὸ προσώ-
που. τὴν δὲ φράσιν ἀποσυνδέοντες. προσώπων μὲν
δύο διαζευγνυμένων, τὸ ἓν παραλαμβάνεται. τὸ
δὲ ἕτερον καταλιμπάνεται. οἷον εἴς δέ τις αἰνὴρ
βουληφόρος ἔστω. ἢ αἴας. ἢ ἰδομενεύς. ἢ δῖος ὀδυσ-
σεύς. ἢ ἐ σὺ πηλείδη πάντων ἐκπαραγλότατ' ἀν-
δρῶν. πραγμάτων δὲ θάτερον μένει τὸ δὲ ἕτερον
αἰρεῖται θέλουσι γὰρ ἐναντία εἶναι ἀλλήλοις, μὴ
συνιστάμενα. οἷον ἀλλ' ὡς ἀργεῖον νῦν ἄρκιον ἢ ἀ-
πολέσθαι ἠὲ σωθῆναι καὶ ἀπώσασθαι κακὰ νηῶν.
καὶ ἡ νὺξ ἢ ἡμέρα ἢ φῶς ἢ σκότος ἢ ζωὴ ἢ θάνατος.
ἢ χαρά. ἢ λύπη. Ὁ ἤτοι σύνδεσμος ἐστὶ κοι-
νὸς ἢ ποιητικός. κοινὸς μὲν λαμβανόμενος, διαζευ-
κτικὸς γίνεται. ποιητικὸς δὲ ἀντὶ τοῦ μὲν, συμπλε-
κτικὸς εὑρίσκεται. καὶ ἐν ταῖς ἀρχαῖς τῶν λόγων
τάσσεται. ὡς ἐν τῷ ποιητῇ. ἤτοι ὅγ' ὡς εἰπὼν, κα-
τ' ἄρ' ἕζετο. τοῖσι δ' ἀνέστη. ἡ γὰρ μετάφρασις τοῦδε
τοῦ στίχου, τοιάδε ἐστίν. οὗτος μὲν οὕτως εἰπὼν, ἐ-
καθέζετο. ἐν τούτοις δὲ ἀνέστη. ὥς τε ἐντεῦθεν δῆ-
λον. ὅτι ὁ ἤτοι, ἀντὶ τοῦ μὲν παραλαμβάνεται, ἐν
τῇ ποιήσει. ἔστι δὲ πάλιν ὁ ἢ σύνδεσμος παραδια-
ζευκτικὸς διασαφητικὸς διαπορητικὸς καὶ διαβε-
βαιωτικός. παραδιαζευκτικὸς μὲν γινόμενος,
πράγματα διαζευγνύει ἀλλήλοις συνεφιστάμενα.
ὧν τὸ μὲν ἐν δρούμεθα. ἢ τὸ ἕτερον. ἢ καὶ ἀμφό-
τερα. οἷον δός μοι χρυσόν. ἢ ἄργυρον. τοιαύτη δὲ ἐ-

λέξεων. ὁ δέ γε τῶν αὐτῶν ἀποφέρεται. ὁ μὲν, ἐν τοῖς πρώτοις λόγοις τίθεται. οὐκ ἐν τῇ ἀρχῇ. ἀλλὰ μετὰ τὴν ἀρχήν. οἷον ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταί. ὁ δὲ δὲ, οὐκ ἐν τοῖς πρώτοις λόγοις. ἀλλ' ἐν τοῖς δευτέροις οὐ μὴν ποι ἐν τῇ ἀρχῇ τοῦ λόγου. ἀλλὰ μετὰ τὴν ἀρχὴν ἐπακολουθῶν τῷ μέν. οἷον δία δ' οὐκ ἔχε νήδυμος ὕπνος. ἐπακολουθεῖ ὁ δὲ τοῦ μέν. διὸ καὶ ἐπακολουθητικὸς καλεῖται. ἔστι δὲ καὶ μεταβατικός. ἐπειδὴ δι' αὐτοῦ ποιούμεθα μεταβάσεις νοημάτων τε καὶ διηγημάτων. ἰσοδυναμοῦσι δὲ αὐτῷ. οἱ ποιητικοί τε σύνδεσμοι. ὁ αὐτὰρ καὶ ὁ αὐτάρ. ἀλλ' ἐν ταῖς ἀρχαῖς τῶν λόγων συντάσσονται. οἷον αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο. καὶ αὐτὰρ ἐπεὶ παύσαντο πόνου τετύκοντό τε δαῖτα. καὶ ὁ ἀτὰρ ὁμοίως. οἷον ἀλλὰ καὶ ὡς ἑτάρους ὄτρυνε. καὶ μέμονα αὐτὰρ ἀνδρὶ μαχέσσασθαι ἀτὰρ, οὔ τί μοι ἐνθάδε

οἷον κἠὲ φέροιεν ἀχαιοὶ ἤ κεν ἄγοιεν. Ὁ ἀτὰρ ἐν ταῖς ἀρχαῖς τῶν δευτέρων λόγων τάσσεται. οἷον τυδεύς τοι, μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής ἤ μὲν ἠδὲ. ἰδέ. οἱ τρεῖς οὗτοι ποιητικοί εἰσιν. ἐν ταῖς ἀρχαῖς τῶν λόγων τασσόμενοι. ἀλλ' ὁ μὲν, ἤ μέν, ἐν τοῖς πρώτοις λόγοις γίνεται, οἱ δὲ ἄλλοι ἐν τοῖς δευτέροις. οἷον ἤ μὲν ὅσοι ναίουσιν οὐρανὸν ἀστερόεντα. ἠδ' ὅσοι κληρώσαντο χθόνα πουλυβότειραν. Διὰ δὲ τῶν διαζευκτικῶν τὰς διαζευγμένας

ἄνω, καὶ ἡ ἄνω, καὶ ὁ ἀνωτάτω, καὶ ἡ ἀνωτάτω· παραπλήσιαι δὲ τούτοις εἰσίν, αἱ μετὰ προθέσεως καὶ δοτικῆς, ἢ αἰτιατικῆς πτώσεως. ὀνομαστικῆς ἢ ἀντωνυμικῆς διὰ τῶν προτακτικῶν ἄρθρων γινομένη σύνταξις, οἷον ἡ ὑφ' ἥλιον, τοῖς ὑφ' ἥλιον. καὶ ἡ ὑφ' ἡλίω τῆς ὑφ' ἡλίω, ἡ ὑπ' οὐρανὸν τῆς ὑπ' οὐρανόν. οἱ ὑπ' οὐρανῷ, τοῖς ὑπ' οὐρανῷ, καὶ μέχρι τῶν πληθυντικῶν. μενούσης τῆς προθέσεως μετὰ αἰτιατικῆς ἢ δοτικῆς ἀμετακινήτου. σημαίνομεν δὲ ἐν τῷ λέγειν θηλυκῶς, ἡ ὑφ' ἡλίῳ καὶ ἡ ὑφ' ἥλιον. ἡ ὑπ' οὐρανῷ, καὶ ἡ ὑπ' οὐρανὸν, τὴν ὑποκάτω τοῦ ἡλίου καὶ οὐρανοῦ κτίσιν, καὶ πάλιν ἐν τῷ λέγειν ἀρσενικῶς, οἱ ὑφ' ἥλιον, καὶ ἡ ὑφ' ἡλίῳ. καὶ οἱ ὑπ' οὐρανὸν, καὶ ἡ ὑπ' οὐρανῷ, καὶ οἱ ὑπὸ γῆν, καὶ οἱ ὑπὸ γῇ, δηλοῦμεν τοὺς ὑποκάτω τοῦ οὐρανοῦ καὶ ὑποκάτω τῆς γῆς ἀνθρώπους εἰ καὶ μήπω. ἄνθρωποι συντάσσοιντο, καὶ πολλὴ ἡ τοιαύτη ἐν τοῖς ποιήμασί τε καὶ συγγράμμασι χρῆσις.

Περὶ συνδέσμων.

Τὰ τῶν συνδέσμων, τὰς ἐκ τῶν ἄλλων ἑπτὰ μερῶν συμπλοκὰς καὶ συνθέσεις τῶν λόγων, ἀλλήλαις συνδέομεν. κατὰ τὴν τεχνικὴν καὶ κατάλληλον τάξιν, καὶ τὴν ἀκόλουθον τῶν ῥημάτων ἁρμονίαν. διὰ μὲν οὖν τῶν συμπλεκτικῶν τοὺς λόγους ἐπὶ πολὺ ἐκφερομένους συμπλέκομεν. συμπλεκτικοὶ δὲ τούτων εἰσίν, οὗτοι. καί. τέ. οἷον. ὁ καλός τε καὶ σοφός. θεόδωρος, θεόφιλός τε ὁ σπουδαῖος καὶ ἐσθλὸς, ὁ θεοχαρίτωτος. προτίθεται δὲ ὁ μὲν καί, τῶν

ὡς ἀπὸ τῶν ὀνομάτων τῶν τριῶν γινόμενα, καὶ τὰ ἐξ αὐτῶν παρηγμένα συγκριτικά τε καὶ ὑπερθετικά. οἷον ταχύτερον ταχύτατα οὐ μὴν λεκτέον, ταχυτέρως, οὐδὲ ταχυτάτως. τὸ γὰρ τοιοῦτον εἶδος, ἀπὸ φύσεως τῶν ἐπιρρημάτων γίνεται ὡς δέδεικται. τούτων οὖν τῶν τοπικῶν τὰ μὲν πρὸς ῥήματα τάσσεται μόνον. οἷον χαμαὶ κεῖται. χαμόθεν παρήχθη. οἴκοι κάθηται. οἴκαδε προδύεται. οἴκοθεν ἔρχεται. τὰ δὲ πρὸς ῥήματά τε, καὶ πρὸς πτωτικὰ μέρη. οἷον ἄνωθεν τούτων ἵδρυται. κάτωθεν τούτων κέκρυπται. ὄπισθεν. ἔμπροσθεν. καὶ ὀπίσω τοῦδε. καὶ πρόσω τοῦδε. καὶ ἀνώτερον τούτου. καὶ ἀνωτάτω τῶνδε. καὶ ἀνωτέρω. καὶ ἀνώτερον καὶ κατώτερον τῶνδε. καὶ ἀνωτέρα. καὶ ἀνωτάτη.

Εἰδέναι χρὴ ὅτι τὰ προτακτικὰ τῶν τριγενῶν ἄρθρα, πολλάκις τῶν ἐπιρρημάτων προτασσόμενα, δι' ὅλων πτώσεων καὶ ἀριθμῶν, ἐπιθέτων ὀνομάτων χώραν ἀναπληροῦσι. φυλαττομένης δὲ τῆς ἐγκλίτου φυσικῆς ἐπιρρηματικῆς ἰδιότητος, οἷον πάλαι. τοῦ πάλαι. τῷ πάλαι. τὸν πάλαι, καὶ μέχρι τῶν πληθυντικῶν, καὶ ἐπὶ θηλυκῶν. ἡ πάλαι. τῆς πάλαι, καὶ καθεξῆς καὶ ἐπὶ οὐδετέρων. τὸ πάλαι. τοῦ πάλαι. μέχρι καὶ τῶν πληθυντικῶν ὡς εἴρηται τῶν τριῶν γενῶν, καὶ πάλιν ὁ πλησίον τοῦ πλησίον τῷ πλησίον τὸν πλησίον. ἡ πλησίον. τῆς πλησίον. ὁ πέλας, αἱ πέλας. ἡ ἔγγιστα, οἱ ἔγγιστα, αἱ ἔγγιστα. ὁ πάνυ. τοῦ πάνυ, καὶ ἡ πάνυ, τῆς πάνυ. ὁ

καὶ τῆς εἰς, τὸ εἴσω, καὶ τῆς ἐς τὸ ἔσω, καὶ τῆς ἐξ καὶ ἐκ. τὸ ἔξω, καὶ ἐκτός, καὶ τῆς ἐν, τὸ ἔνδον. καὶ ἐντός. τὸ ἔμπροσθεν δὲ γέγονεν, ἀπὸ τοῦ πρόσω πρόσωθεν, καὶ ἐν συγκοπῇ πρόσθεν, καὶ μετὰ τῆς ἐν προθέσεως, ἔμπροσθεν. ὡς ἀπὸ τοῦ ὀπίσω ὀπίσωθεν καὶ ὄπισθεν κατὰ συγκοπήν. Τὰ δὲ ἀπὸ ὀνομάτων καὶ τοπικὴν σημαίνοντα ἔννοιαν γεγενημένα, εἰσὶ ταῦτα. οἷον ἀπὸ τῆς θύρας γενικῆς, τὸ θύραθεν. ἐκ τῆς θύρᾳ δὲ δοτικῆς, τὸ θύραθι, καὶ ἐκ τῆς θύρας αἰτιατικῆς, τὸ θύραζε, καὶ ἀπὸ τοῦ οἴκοθεν. οἴκοι. οἴκαδε. οὐρανοῦ. οὐρανόθεν. οὐρανόσδε. ἀλλ' ἑτέρας πραγματείας ἐστὶν ἡ ἐντελὴς περὶ τῆς τούτων θέσεως τε καὶ παραγωγῆς διδασκαλία. τήν γε τάδε προσθετέον. ὡς ἀπὸ τοῦ ἄνω. κάτω. ἔξω. πρόσω. ἄπω. πόῤῥω. παράγονται συγκριτικά τε καὶ ὑπερθετικὰ ἐπιῤῥήματα καὶ ὀνόματα. ἐπιῤῥήματα μὲν, ἀνωτέρω, καὶ ἀνωτάτω. κατωτέρω, καὶ κατωτάτω. πορρωτέρω, καὶ πορῥωτάτω. ὀνόματι δὲ, ἀνώτερος. ἀνώτατος. πορρώτερος, πορρώτατος. καὶ ἐκ τοῦ ἐγγὺς ἐγγυτέρως τὸ ἐπίῤῥημα ὄνομα δὲ τὸ ἐγγύτερος καὶ ἐγγίτατος καὶ ἔγγιστος. πάλιν δὲ ἐκ τῶν οὐδετέρων τούτων ἀπό τε τῆς ἑνικῆς εὐθείας καὶ τῆς πληθυντικῆς, οἷον ἀνώτερον, ἀνώτερα. ἐγγύτερον, ἐγγύτερα. ἐκ μέντοι τῶν πληθυντικῶν ὑπερθετικῶν, ἐκ μόνης τῆς πληθυντικῆς εὐθείας τῶν οὐδετέρων ὀνομάτων ἐπιῤῥήματα. γίνονται. οἷον ἀνώτατα. ἐγγύτατα. ἔγγιστα,

δὲν γάρ ἐστιν ἐγκλινόμενον ὑπὲρ δύο συλλαβάς. Ἰστέον δὲ ὅτι τὸ πότε καὶ τὸ ποῦ ἐν ἐρωτήσει τὸ ἕως μέχρι καὶ ἄχρι ὑποτάσσονται. οἷον ἕως πότε. μέχρι ποῦ. ἄχρι ποῦ. τὰ δὲ ἐπιτάσεως πᾶσι τοῖς ῥήμασι συντάσσονται. κατὰ λεγόμενά τε καὶ ἐπιλεγόμενα. οἷον λίαν φιλῶ. φιλῶ λίαν, καὶ ἀπολύτως τοῖς ἐπιθέτοις ὀνόμασι συντάσσονται, καὶ ἀναπληροῦσι τὴν τῶν ὑπερθετικῶν χρείαν. οἷον ἄγαν σοφός. λίαν τίμιος. καὶ ἐπὶ τοῦ ἄρθρου ὁ πάνυ καλός. ὁ σφόδρα κακός. ἀπολύτως δὲ προστίθεται, διὰ τὰ ὑπερθετικά. τούτοις γὰρ ὡς ἀκροτάτην ὑπέρθεσιν ἔχουσι, καὶ ἐπίτασιν οὐ συντάσσονται. τισὶ μέντοι συγκριτικοῖς. ἅτε μὴ ἀκριβῶς ἐπιτεταμένοις, παρατίθενται ὡς προείρηται ἐν τῷ περὶ τῆς συντάξεως τοῦ ὀνόματος. τὰ δὲ τῆς βεβαιώσεως, τοῖς ὁριστικοῖς συντάσσονται. οἷον δηλαδὴ τοῦτο κέκριται. τὰ δὲ τοῦ θειασμοῦ εὐκτικοῖς, οἷον εὐοῖ, εὐαὶ. ῥητέον δὲ περὶ τῶν τοπικῶν τούτων γὰρ τὴν σύνταξιν ἐσχάτην τετηρήκαμεν. διὰ τὴν μέλλουσαν λεχθήσεσθαι τεχνολογίαν.

Τῶν τοπικῶν τοίνυν ἐπιρρημάτων, τὰ μέν ἐστι θεματικά. ὡς τὸ ἀγχοῦ. ἐγγύς. χαμαί. τὰ δὲ ἀπὸ προθέσεως γεγενημένα. ὡς ἀπὸ τοῦ ἀνὰ ἄνω, καὶ ἀπὸ τῆς κατὰ κάτω, καὶ ἐκ τῆς παρὰ πάρεξ. καὶ ἐκ τῆς περὶ πέριξ. καὶ ἐκ τῆς ἀπὸ τὸ ἄπο, καὶ ἐκ τῆς ἐπὶ τὸ ὀπίσω κατὰ τροπὴν τοῦ ε εἰς ο, καὶ κατὰ πλεονασμὸν τῆς σω συλλαβῆς ὡς ἀπὸ τῆς πρὸς τὸ πρόσω.

κλινομένων. ὀξύνονται μὲν, ἔνθα μὴ δεῖ ἐγκλίνεσθαι. οἷον ἐχάρη ποτέ. ἐφάνη ποθέν. ἐγκλίνονται δὲ ὅπου δεῖ. οἷον ἦλθέ ποθεν σοφός ποτε. τίς ποθεν. πέφηνέ ποθεν. ἡνίκα μέντοι κατ' ἐρώτησιν λέγεται, παροξύνονται, καὶ ἐν ταῖς συντάξεσι τῶν λόγων ἄρχονται. οἷον πόθεν πρόσει. πότε ἦλθες. εἰ δέ ποτε τοῖς ῥήμασιν ἐπιφέροιντο, ὑπερβατικῷ ἢ ἀναστροφῆς τρόπῳ συνεταγησαι. οἷον ἔρχῃ πότε. ὑπάγεις πόθεν. καὶ μετὰ πλείονας λέξεις, οἷον ἐπεδήμησεν ὁ κάλλιστος ἐκεῖνος ἀνήρ. πότε. τὸ δὲ πῶς καὶ τὸ ποῦ. ἐρωτηματικῶς λεγόμενα περισπᾶται. καὶ τὴν αὐτὴν ἔχουσι σύνταξιν, προερχόμενα τῶν λόγων. καὶ πάλιν τροπικῶς ἐπαγόμενα. οἷον πῶς ἔχεις. ποῦ διατρίβεις. καὶ ἐν ὑπερβατῷ. ἔσται δὲ τοῦτο πῶς. ἀορίστως δὲ συντασσόμενα ὡς μὲν τὰς ἀρχὰς παρατίθενται. καὶ ἐγκλίνονται κατὰ τοὺς ἐγκλιτικοὺς κανόνας. οἷον ἐδίδαξέ πως. ἐγένετό που. ὅτε δὲ κατ' ἐναντίαν ἀπόκρισιν ἀποδοθῶσι, τὸ ο προσέρχεται κατὰ ἀναδιπλασιασμόν τι καὶ πλεονασμὸν ἐν ταῖς ἀρχαῖς. ὁμοίων τοῖς ἀορίστοις ὀνόμασιν, καὶ προσλαμβάνουσιν ἐν παραθέσει τὸν οὖν σύνδεσμον. οἷον ὅπως οὖν ὁπότε οὖν. ὁπόθεν οὖν. ἔτι δ' ὅτι καὶ χωρὶς ἀποκρίσεως οὕτω προφέρονται. ὡσαύτως καὶ ὁπηνίκα γίνονται κατ' ἀρχὴν προστιθεμένου τοῦ ο, καὶ συντασσομένου τοῦ οὖν, ὁπηνίκα οὖν, οὐ μέντοι ἐγκλίνονται ὡς τὰ λοιπὰ ἐρωτηματικά. οὐ-

ἐπιρρήματων λαμβάνονται. οἷον ὀξὺ γράφεις. ἀντὶ τοῦ ὀξέως γράφεις. καλὸν ποιεῖς. ἀντὶ τοῦ καλῶς ποιεῖς. ἀληθὲς λέγεις. ἀντὶ τοῦ ἀληθῶς λέγεις. ἰστέον δὲ ὅτι τὸ ἄληθες προπαροξυνόμενον μὲν ἐπιρρηματικὴν σύνταξιν σημαίνει οἷον ἄληθες εἴρηκεν. ἀντὶ τοῦ ἀληθῶς. ὀξυνόμενον δὲ, ὀνοματικὴν σύνταξιν δηλοῖ. οἷον ἀληθὲς ἐξέφηνεν. ἀντὶ τοῦ τὴν ἀλήθειαν, καὶ κατὰ τὴν πληθυντικὴν δὲ εὐθεῖαν, ἢ τὴν αὐτήν. σημαίνει ἐπιθετικὴν ἔννοιαν. οἷον τὰ καλὰ ἔργα. τὰ σοφὰ ῥήματα. ἢ ἐπιρρηματικὴν, οἷον καλὰ ἐβουλεύσω. ἀντὶ τοῦ καλῶς ἐβουλεύσω. ὁμοίως οὖν καὶ τῶν συγκριτικῶν καὶ ὑπερθετικῶν ὀνομάτων, ἐπιρρήματα γίνονται. ἐκ μὲν τῶν συγκριτικῶν, γίνεται τὰ ἐπιρρήματα, ἀπὸ ἑνικῶν εὐθειῶν. οἷον ταχύτερον. σοφώτερον. τάχιον βέλτιον. ἀπολύτως τε παντοίοις συντάσσονται ῥήμασιν. οἷον ταχύτερον ἦλθε. ἄμεινον φρονῶ βέλτιον μάθοιμι. ταχύτερον ἐλθὲ, καὶ πράττε, καὶ πρὸς ἑκάτερον πρόσωπον λαμβάνεται μετὰ γενικῆς πτώσεως. τὰ μὲν συγκριτικά. μετὰ ἑνικοῦ τε καὶ πληθυντικοῦ. οἷον ἰωάννης ἔδρα μετὰ χιον τοῦ πέτρου. καὶ σοφώτερον πάντων ἀνθρώπων ἐλάλησεν. τὰ δὲ ὑπερθετικὰ, μετὰ πληθυντικῆς πτώσεως μόνον. οἷον ὑψηλότατος τῶν ἄλλων εἶπε.

Τῶν δὲ ἐρωτήσεως ἐπιρρημάτων, τὸ μὲν πόθεν καὶ πότε, ἀοριστούμενα μὲν ὀξύνονται. ἰστέον δ᾽ ὅτι καὶ ἐγκλίνονται. κατὰ τοὺς ὀφείλοντας τόνους τῶν ἐγ-

λάκις δὲ καὶ πρὸς τὰ ὑποτακτικὰ συντάσσονται, κατ' ἔλλειψιν τῶν ἀπολογικῶν συνδέσμων. οἷον δεῦτε κρινήσωμεν. ἄγε εἴπωμεν. ἀντὶ τοῦ δεῦτε ἵνα κρινήσωμεν, καὶ ἄγε ἵνα εἴπωμεν. λέγεται δὲ καὶ τὸ ἄγε καὶ τὸ φέρε. κατ' ἐπέκτασιν τοῦ τε. οἷον ἄγετε φέρετε, ὡς καὶ παρ' ὁμήρῳ. ἀλλ' ἄγεθ' ὡς ἂν ἐγὼ εἴπω. πειθόμεθα πάντες. Τὰ δὲ τῆς συγκρίσεως ἐπιρρήματα πρὸς γενικὴν πτῶσιν τάσσεται καὶ ῥηματικὴν σύνταξιν ἀπαρτίζουσιν, οἷον ὁ αἴας μᾶλλον τοῦ ἰδομενέως ἔδραμεν. ὁ σαρπηδὼν, ἧττον τοῦ τληπολέμου, τέτρωται, καὶ μετ' εὐθείας τάσσεται μεσολαβουμένου τοῦ ἢ συνδέσμου. οἷον οὗτος μᾶλλον ἢ ἐκεῖνος τρέχει. οὗτος στέργει μᾶλλον, ἢ ὁ πατήρ. οὗτος ἧττον ἢ ἐκεῖνος φιλοσοφεῖ. τηρεῖται δὲ αὕτη ἡ σύνταξις, καὶ ἐν τοῖς συγκριτικοῖς ὀνόμασιν. οἷον ὁ διομήδης κρείσσων ὑπάρχει, ἢ ὁ σθένελος. Ἰστέον δὲ ὅτι τὰ οὐδέτερα τῶν ἐπιθέτων ὀνομάτων, καθ' ἑνικὴν εὐθεῖαν. ποτὲ μὲν εἰσι πραγμάτων σημαντικά. οἷον τὸ σοφὸν τοῦ πέτρου. ἀντὶ τοῦ ἡ σοφία τοῦ πέτρου. τὸ καρτερικὸν τοῦ παύλου. ἀντὶ τοῦ ἡ καρτερία τοῦ παύλου. τὸ ἀγαθὸν τοῦ ἰωάννου. ἀντὶ τοῦ ἡ ἀγαθότης τοῦ ἰωάννου καὶ τὸ ἀσθενές. τοῦδε, ἀντὶ τοῦ ἡ ἀσθένεια τοῦδε, καὶ ἡ εὐσέβεια τοῦδε. ποτὲ δὲ ὡς ἐπίθετα ψόγον, ἢ ἔπαινον δηλοῦντα, τῶν κυρίων ἢ προσηγορικῶν τίθενται. οἷον εὐγενὲς παιδίον. τὸ καλὸν γύναιον. τὸ βραδὺ ἱππάριον. ποτὲ δὲ ἀντὶ

ἀπλῶς συντάσσονται. τοῖς δυνητικοῖς δὲ ἢ ὑποτακτικοῖς. συντασσόμενα, προσλαμβάνουσι τὸν ἂν σύνδεσμον. οἷον ἴσως ἂν ἔλθοιμι. ἴσως ἂν ἔλθω. εἰ δὲ χωρὶς τοῦ ἂν συνδέσμου συντάσσεται. κατ᾽ ἐλλειπτικὸν τρόπον ἡ σύνταξις ἔσται. τοῖς μέντοι προστακτικοῖς. οὐ συντάσσονται παντάπασιν. οὐδεὶς γὰρ ὄρει τάχα γράφε. οὐδὲ τυχὸν λέγε.

Τὰ δὲ τῆς τάξεως ἐπιρρήματα, τοῖς τε πτωτικοῖς συντάσσονται πρὸς γενικὴν πτῶσιν. οἷον χωρὶς τοῦ δὲ, καὶ τοῖς ῥήμασι πάλιν χωρὶς κάθηνται ἐφεξῆς βαδίζουσιν. ἔστι δὲ τῷ χωρὶς ὁμοιώσημα, τάδε. τὸ ἄτερ καὶ ἄτερθεν ποιητικόν. τὸ ἄνευ ἐξοῦ καὶ ἄνευθεν ποιητικὸν καὶ αὐτὸ πάλιν ὄν. καὶ πάρεξ γεγονὸς, ἐκ τῆς παρὰ προθέσεως, τὴν αὐτὴν ἔχουσι σύνταξιν, ἅπαντα ταῦτα τάξιν καὶ χωρισμὸν δηλοῦντα. Τὰ δὲ τῆς ἀθροίσεως πᾶσι συντάσσεται τοῖς ῥήμασι προλεγόμενά τε καὶ συλλεγόμενα. οἷον ἅμα πέτονται πίπτουσιν ἅμα. Εἰδέναι χρὴ ὅτι διαφέρει τὸ ἅμα τῷ ὁμοῦ. τὸ μὲν γὰρ ἅμα χρονικὴν δηλοῖ συνάφειαν καὶ συνέλευσιν, τὸ δὲ ὁμοῦ τοπικήν. οἷον ἅμα ἐγεννήθησαν, καὶ ἅμα ἐτράφησαν. ὁμοῦ οἰκοῦσιν. ὁμοῦ κάθηνται. τὸ ἄμυδις δὲ, ποιητικόν ἐστιν ὁμοιώσημον τὸ ὁμοῦ. Τὰ δὲ παρακελευστικὰ πρὸς τὰ προστακτικὰ συντάσσονται ῥήματα, καὶ πρὸς κλητικὴν πτῶσιν. οἷον δεῦρο πάροιθ᾽ ἐλθοῦσα φίλον τέκος ἵζευ ἐμοῖο, καὶ πάλιν εἰ δ᾽ ἄγε μὴν πείρησαι ἵνα γνώωσι καὶ οἵδε. τὸ λ

γω. καὶ λέγω μὴ λέγε. εἰ δέ που εὑρεθῶσιν ὑπο-
τεταγμένα ῥήμασιν ἀναστροφῆς προσώποις, εἰσὶν
ὑποτεταγμένα. οἷον πάντες μὲν κοιμηθησόμεθα
οὐ. ἀντὶ τοῦ πάντες, οὐ κοιμηθησόμεθα. Τὰ δὲ
τῆς παραβολῆς καὶ τῆς ὁμοιώσεως ἐπιρρήματα.
τουτέστιν ὡς. ὥσπερ. ἠύτε. ὅπερ ἐστὶ ποιητικόν. κα-
θὰ καθάπερ ἔχουσιν ἀνταποδοτικὰ δύο, τῷ ὡς ὀ-
ξυνομένου καὶ τοῦ οὕτως. ἀλλήλων δὲ διαφόρως ἡγοῦν-
ται καὶ ἕπονται. τὰ μὲν ἐν ταῖς προτέραις συντά-
ξεσιν ἀρχόμενα. τὰ δὲ ἐν ταῖς δευτέραις. οἷον ὥς-
περ ἑωσφόρος ἐν ἄστροισι διαλάμπει. οὕτως ὁ σπου-
δαῖος. ἐν ἀνδράσι διαλάμπει. καὶ ἀνάπαλιν. οὕ-
τως ὁ σπουδαῖος ἐν ἀνδράσι διαπρέπει ὥσπερ ὁ
ἑωσφόρος ἐν ἄστροισι διαλάμπει, καὶ χωρὶς τῆς
πρὸς ἄλληλα ἀνταποδόσεως, πολλάκις παρα-
λαμβάνεται κατὰ τὴν τοῦ λόγου σύνταξιν. οἷον
ὥσπερ γὰρ οἱ παῖδες νεαροὶ χῆραί τε γυναῖκες ἀλ-
λήλοισιν ὀδύρονται οἶκον δὲ νέεσθαι. συντασσόμε-
να δὲ καὶ ταῦτα τοῖς ὁμοίωσιν ἢ παραβολὴν παρα-
λαμβανομένοις τοῦ λόγου μέρεσιν. ἀρνητικὰ γί-
νονται. οἷον ὥστε λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι
κύρσας ἠύτε βοῦς ἀγέληφι μέγ' ἔξοχος ἔπλετο
πάντων εἰ δέ που ὑποτακτικῶς συντάσσοιτο κατὰ
τὸν τῆς ἀναστροφῆς τρόπον συντάσσονται. οἷον
τρῶες κλαγγῇ τ' ἐνοπῇ τ' ἴσαν ὄρνιθες ὥς. ἀντὶ τοῦ
τοῦ ὡς ὄρνιθες.

Τὰ δὲ εἰκασμοῦ δηλωτικὰ τοῖς ὁριστικοῖς πᾶσιν

μὴ τύπτῃς. μὴ τυφθῇς. μὴ τύψῃ. μὴ τύπτῃ. δυϊκοῖς δὲ μὴ τύψητον. μὴ τύπτητον, καὶ ἐπὶ πληθυντικῶν διαθέσεων. ὁμοίως πληθυντικοῖς δὲ, μὴ τύψητε. μὴ τύπτητε. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. μὴ τυφθῆτε. μὴ τυπῆτε. τοῖς μέντοι τρίτοις προσώποις προστακτικοῖς, τούτων φημὶ δὴ πάντων τῶν ἀορίστων, συντάσσονται. οἷον μή με καταποντισάτω. καταιγὶς ὕδατος. μὴ δὲ καταπιέτω με βυθός, καὶ ἐπὶ τῶν πληθυντικῶν, οἷον μὴ γεννηθήτω. εἰ δέ που εὑρεθῇ ἐμποιοῦντα ῥηματικὴν ὑπόταξιν ὡς καὶ ἐν τοῖς δευτέροις προσώποις, καταχρηστικῶς ποιοῦσι. ἀλλ᾽ οὐ κυρίως. οἷον καὶ χεὶρ ἁμαρτωλοῦ μὴ σαλεύσῃ με. ἀντὶ τοῦ μὴ σαλευσάτω με. Τοῦτο δὲ εἰδέναι ὅτι κατὰ τοὺς ἀττικοὺς τὸ μὴ παρατίθεται τοῖς ἀποφατικοῖς μηδὲν περισσότερον δηλοῦν τῆς ἀποφάσεως. οἷον τοῖς μὴ οὐχὶ θεῖα εἰδόσιν. οὐδὲ πιστεύειν. καίτοι τὸ οὐ ἀρνητικὸν προτασσόμενον τοῦ μὴ ἐν τοῖς ἀορίστοις ὑποτακτικήν τε ἅμα καὶ ἀποφαντικὴν δηλοῖ σύνταξιν. οἷον οὐ μὴ ἐκβάλλω. οὐ μὴ διψήσῃ. ὁπότε οὖν τῷ οὖν συνδέσμῳ συνταγῇ, τὴν ἑαυτοῦ βαρεῖαν διεγείρει, καὶ ἐγκλιτικῶς ἀναγινώσκεται. οἷον οὔκουν ἀτιμαστέον τὴν παίδευσιν. εἰ δὲ περισπωμένως λέγοιτο. οὐκοῦν, ἰσοδύναμον ἔσται τοῖς συλλογιστικοῖς τοίνυν καὶ τοιγαροῦν συνδέσμοις. ἰστέον δὲ ὅτι τὰ ἀποφατικὰ καὶ ἀπαγορευτικὰ καὶ συγκαταθετικὰ, προτάσσεσθαι τῶν ῥημάτων θέλουσιν. οἷον οὐ λέ-

σονται ῥήμασιν εὐκτικοῖς, ἢ προστακτικοῖς, ἀντὶ τῶν εὐκτικῶν παραλαμβανομένοις. οἷον ναιὸν ἴδοιμι τὰ ἀγαθὰ ἱερουσαλήμ. καὶ ναιὸν κε σῶσον τὸν λαόν σου. τὰ γὰρ προστακτικὰ πρὸς τὸ θεῖον ἢ ἀπὸ ἐλαττόνων πρὸς μείζονας λεγόμενα, τάξιν εὐχῆς καὶ δεήσεως ἀποτελεῖ. κυρίως γὰρ ἡ πρόσταξις πρὸς τοὺς ἥττονας καὶ ὑποχειρίου ἐστὶν ἀπότασις. ἀλλ' οὐ πρὸς μείζονας. οὐδ' ὁμοτίμους.

Τὰ δὲ ἀπαγορευτικά, προστακτικοῖς συντάσσεται. ἐπειδὴ ἡ ἀπαγόρευσις. προϋποκειμένων τινῶν ἔχει ἄρνησιν. προϋπάρχουσι γὰρ τῆς προστακτικῆς ἐγκλίσεως, ἄλλαι ἐγκλίσεις. οἷον μὴ γράφε μὴ δῆτα λέγε μηδαμῶς ποίει, μὴ τέτυφε. εἰ δέ που ῥῆμα εὑρεθῇ τὸ μή, ἀπαγορευτικὸν τοῖς ὁριστικοῖς συντασσόμενον, ἀεὶ τὸ τοῦ ἀποφατικοῦ προσήλυσθαι. οἷον μὴ δι' ἐμὴν ἰότητα σημαίνει ἀντὶ τοῦ οὐ δι' ἐμέ. Ἰστέον δὲ ὅτι τὰ τῆς ἀπαγορεύσεως ἐπιρρήματα, τοῖς δευτέροις προσώποις τῶν προστακτικῶν ἀορίστων ἐνεργητικῶν τε καὶ παθητικῶν καὶ μέσων, οὐ συντάσσονται. οὐ γὰρ φαμὲν μὴ τύψον. οὐδὲ μὴ τύφθητι. μὴ τύπηθι. οὔτε μὴ τύψαι. μὴ τυποῦ. ἀλλὰ καθὼς τοῖς αἰτιολογικοῖς συνδέσμοις. ἵνα. ὅπως. ἐάν, ὑποτάσσονται οἱ ἀόριστοι τῶν ὑποτακτικῶν, οὕτω κατὰ μόνον τὸ δεύτερον, ἑαυτῶν πρόσωπον ἔν τε τοῖς ἑνικοῖς καὶ δυϊκοῖς καὶ πληθυντικοῖς, ὑποτάσσονται τοῖς ἀπαγορευτικοῖς ἐπιρρήμασιν. οἷον ἑνικοῖς μὲν μὴ τύψῃς.

κοῖς. ἐπειδὴ οὐδαμῶς δεῖ προϋποκεῖσθαί τι
τῆς ἀποφάσεως. πρώτη δὲ ἡ ὁριστικὴ ἔγκλισις, καὶ
οὐδὲν αὐτῆς πρόκειται. οὐ γὰρ ἡ ἀπόφασις προϋ
ποκειμένου ἐστὶν ἀπόφασις. οἷον οὐ ποιῶ. οὐχὶ τρέ
χω. οὐδῆτα φθονῶ, καὶ οὕτω δι' ὅλων τῶν προσώ
πων καὶ χρόνων καὶ ἀριθμῶν. Εἰδέναι χρὴ ὡς ἡνί
κα δέοι συντάσσειν τὸ οὐ. ἀρνητικὸν ἐπίρρημα
λέξεσιν ἀρχομέναις ἀπὸ φωνήεντος, εἰ μὲν τὸ κατ'
ἀρχὴν φωνῆεν ψιλούμενον ἦ, πλεονάζει τὸ κ' μέσο
γραφούμενον. οἷον οὐκ ἔρχομαι. οὐκ ἐπορεύθειν.
οὐκ ἔστιν οὐκ ἐμόν. εἰ δὲ τὸ κατ' ἀρχὴν φωνῆεν δα
συνόμενον ἦ. πλεονάζει τὸ χ'. οἷον οὐχ ἕλκεται.
οὐχ ὁρᾶς. οὐχ ἡμεῖς. ὅθεν οὔτε δεῖ ἐπιτιθέναι ἀπόστρο
φον, οὔτε γάρ ἐστιν ὥς τινες δοκοῦσιν ἀπὸ τῆς οὐχὶ
ἀποφάσεως. τὸ γὰρ οὐχὶ τὸ ῑ αὐτοῦ, οὐδέποτε.
ἀποβάλλει. οὔτε μὴν τὸ οὐ τρέπει εἰς τὸ ἀντίστοι
χον τὸ κ'. καθά φησιν ἡρωδιανός. Τὰ δὲ τῆς
καταθέσεως ναιόν. ναίχι. προηγουμένης ἐρωτήσε
ως, ἀποδίδονται μετὰ τοῦ ῥήματος δι' οὗ γέγονε
τὸ ἐρώτημα. πολλάκις δὲ καὶ χωρὶς τοῦ ῥήμα
τος, πάντως ἀπὸ κοινοῦ. νοουμένου τοῦ ἐρωτηθέν
τος. ἡ δὲ ἐρώτησις δι' ὁριστικῶν ῥημάτων προβάλ
λεται. οἷον ἔρχῃ. ἀποκρινόμενος δέ φημι ναιὸν ἔρ
χομαι. μετὰ τοῦ ῥήματος. τῆς προηγουμένης ἐρω
τήσεως. εἰ δὲ καὶ εἴπω μόνον ναιὸν πλείως ἐστὶν ἀ
πόκρισις. ἀπὸ κοινοῦ νοουμένου τοῦ ἔρχομαι ῥήμα
τος. εἰ δὲ τὰ τῆς συγκαταθέσεως ῥήματα συντάσ

σονται

ματικῇ σημασίᾳ. διαφέρει δὲ τὰ τῆς ποσότητος ἐπιρρήματα τῶν ἀριθμοῦ δηλωτικῶν ὅτι τὰ μὲν τῆς ποσότητος, ἀόριστον ποσὸν σημαίνουσιν. οἷον πολλάκις. πλεονάκις ὀλιγάκις. εἰ γὰρ καὶ τὸ πολλάκις πολύ τι δηλοῖ, καὶ τὸ ὀλιγάκις ὀλίγον, ἀλλ᾽ οὖν, ἀόριστα. τὰ δὲ ἀριθμοῦ σημαντικὰ, οὐχ οὕτως ἀλλ᾽ ὡρισμένου ποσὸν ἐμφαίνουσιν. οἷον δίς. τρίς. τετράκις δεκάκις. εἰκοσάκις. ἑκατοντάκις. χιλιάκις. μυριάκις. τοῦτο μέντοι τὸ μυριάκις. ἔστιν ὅτε καὶ ἀορίστως παραλαμβάνεται. ὡς καὶ τὸ ὄνομα ὅθεν παρῆκται. ὡς τὸ ἣ μυρί᾽ ἀχαιοῖς ἄλγε᾽ ἔθηκεν. οὐχ᾽ ὅτι μυρία κακὰ ἃ πε πρόθεσιν ὁριστῶς ὁ ποιητὴς, εἴρηκε τοῦτο. ἀλλὰ πλῆθος ἀποφαινόμενος, ἄπειρον καὶ ἀόριστον. πλὴν δὲ καὶ ὁ τόνος, διάφορον σημασίαν τῆς λέξεως ταύτης διαστέλλει. ὅτι μὲν γὰρ τὸ μύρια προπαροξύνεται, δέκα χιλιάδων ἀριθμὸν ὡρισμένον δηλοῖ. ὅτι δὲ παροξύνεται, ἀόριστον δηλοῖ τὴν ποσότητα. τὰ δὲ εὐχῆς σημαντικὰ, τοῖς εὐκτικοῖς μόνοις συντάσσονται ῥήμασιν. οἷον αἴθ᾽ ὅσον ἥττων εἰμὶ, τόσον σέο φέρτερος εἴην. εἰ δὲ προσλάβοι τὸ ὄφελον. ἢ τι τῶν ἀπ᾽ αὐτοῦ δι᾽ ὅλων τῶν προσώπων καὶ ἀριθμῶν. τότε ἡ τοῦ λόγου σύνταξις μετὰ ἀπαρεμφάτου συντάσσεται. οἷον αἴθ᾽ ὄφελες ἄγονος τ᾽ ἔμμεναι. ἄγαμός τ᾽ ἀπολέσσαι. Τὰ δὲ τῆς ἀρνήσεως ἢ ἀποφάσεως ἐπιρρήματα, τοῖς ὁριστικοῖς ῥήμασι μόνοις συντάσσονται. τὰ δὲ τῆς ἀπαγορεύσεως, πρὸς τὰ κοι-

ταξιν. ἀκουστέον. καὶ ἰδοὺ ἐγὼ μεθ' ἡμῶν εἰμὶ πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος, ἀμήν. καὶ ἐν τοῖς ψαλμοῖς. ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη. καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη. τοῦτο δὲ τὸ ἕως, ἰσοδυναμεῖ τὸ μέχρι καὶ ἄχρι. καὶ τὴν αὐτὴν σύνταξιν ἔχουσι. τὰ δὲ μεσότητος ἐπιρρήματα. διαφόρους ἔχουσι καὶ ἀπείρους σημασίας. ὅθεν οὐκ ἀπὸ τοῦ σημαινομένου τὴν κλῆσιν ἔλαχον. ἀλλ' ἀπὸ τῆς γενικῆς τῶν πληθυντικῶν τριγενῶν ὀνομάτων ἐξ ὧν γίνονται. τῆς μέσης οὔσης τῶν τριῶν γενῶν. οἷον τῶν καλῶν. ἐφ' ἑκάστου γὰρ γένους, ἡ γενικὴ λέγεται αὕτη. ὅθεν οὖν καὶ τὴν ὀνομασίαν. καὶ τὸ σημαινόμενον. καὶ τὴν γραφήν. καὶ τὸν τόνον ἀπηνέγκατο. παντοίοις ῥήμασι τασσόμενον. οἷον δυσσεβῶς ζῆν. ἀπαύστως. φοβεῖσθαι τὸν θεὸν χρή. ἁγίως πολιτεύου. δαψιλῶς ἐμφορηθείην τῆς ἐνθέου ἐφέσεως. ἐὰν ἐμπόνως ἀναγνῶ, ὠφεληθήσομαι. καὶ ἀπὸ μετοχῶν ὁμοίως γίνεται. οἷον θαῤῥούντως φειδομένως. Τοῖς δὲ ποιότητος ἐπιρρήμασι χρώμεθα, ἡνίκα ἂν θέλοιμεν ποιάν τινα κίνησιν ἢ σχῆμα, ἢ ἄλλο τι ποιὸν πρᾶγμα δηλοῦν. οἷον βοτρυδὸν αἱ μέλισσαι πέτονται. σημαίνει δὲ τὸ ὁμοῦ. ἰλαδὸν οἱ στρατιῶται προσίονται. κρουνηδὸν ὁ διδάσκαλος διαλέγεται. παντοίοις δὲ καὶ ταῦτα συντάσσονται ῥήμασιν. ὡσαύτως δὲ καὶ τὰ σημαίνοντα ποσότητα, πᾶσι συμπλέκεται ῥή-

τὰ ἑαυτῶν ἀνταποδοτικὰ κατασκευάζουσιν. ὥσπερ καὶ τὰ ἐν τοῖς ὀνόμασιν ἀναφορικά. ὃν γὰρ τρόπον ἐκ τοῦ ποῖος, πόσος, πηλίκος γίνεται, οἷος. ὅσος. ἡλίκος, τὸν αὐτὸν δὲ τρόπον ἐκ τοῦ τῆμος. τότε. τέως. τηνίκα. τόφρα. γίνεται ἦμος. ὅτε. ἕως. ἡνίκα. ὄφρα. ὅπερ συμπίπτει τῷ αἰτιατικῷ συνδέσμῳ. λέγω δὲ τῷ ὁμωνύμῳ αὐτοῦ ὄφρα. εἰσὶ μέντοι ποιητικά, τό τε τῆμος. καὶ ἦμος. ὁμοιόσημα, τῷ τότε καὶ ὅτε. τηνίκα τε καὶ ἡνίκα. προηγοῦνται δὲ κατὰ τὴν τοῦ λόγου σύνταξιν ἀλλήλων καὶ ἐφέπονται, καθ' ὁμοιότητα τῶν ἀναφορικῶν ὀνομάτων. κατὰ πᾶσαν ἔγκλισίν τε καὶ διάθεσιν. οἷον ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς. καὶ τότ' ἔπειτ' ἀνάγοντο κατὰ στρατὸν εὐρὺν ἀχαιῶν. ἦμος δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθε. δὴ τότε κοιμήσαντο παρὰ πρυμνήσια νηός. καὶ τἄλλα τὴν αὐτὴν ἔχουσι σύνταξιν. οἷον τόφρα δ' ἐπὶ τρώεσσι τίθει κράτος. ὄφρα ἂν ἀχαιοὶ υἱὸν ἐμὸν τίσωσιν, ὀφέλλωσί τέ ἑ τιμῇ. παρατίθενται δὲ πολλάκις ἕκαστον τούτων, ἐν τῇ συντακτικῇ τοῦ λόγου κατασκευῇ. χωρὶς τῆς τοῦ ἑτέρου ἀνταποδόσεως. ῥημάτων δηλαδὴ προταττομένων, ἢ ἐπαγομένων, χρονικὴν ὁριζόντων σημασίαν. οἷον ἕως ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν. ἕλκετο δ' ἐκ κουλεοῖο μέγα ξίφος. ἦλθε δ' ἀθήνη οὐρανόθεν. πρὸ γὰρ ἧκε θεὰ λευκώλενος ἥρη. καὶ ἵνα σοι παρὰ τῆς θείας γραφῆς τὴν τοιαύτην παραστήσω σύν-

ξιν τῷ ἤδη καὶ τὸ πάλαι ἔχει. τὸ δὲ ὅτι καὶ ποτε. πᾶσι παρὲξ τοῦ παρακειμένου συντάσσεται, οἷον ὅτε νοῶ. ὅτε ἐνόουν. ὅτε ἐνενοήκειν. ὅτε ἐνόησα. ὅτε νοήσω. οὐ γὰρ λέγομεν ὅτι νενόηκα. Τὸ αὖθις τῷ μέλλοντι χρόνῳ τάσσεται. οἷον αὖθις ποιήσω. αὖθις διδάξω. Τῶν δὲ καιροῦ παραστατικῶν, τὸ μὲν σήμερον, πᾶσι χρόνοις συντάσσεται. χωρὶς τοῦ ὑπερσυντελίκου καὶ τοῦ μέλλοντος. τὸ δὲ αὔριον τῷ μέλλοντι. οἷον αὔριον ποιήσω ποτὲ δὲ τῷ ἐνεστῶτι. ἡνίκα αὐτὸ ὡς ἐν βεβαίῳ τῷ μέλλοντι γενέσθαι δηλοῦν βουλόμεθα. οἷον αὔριον ἔρχομαι τὸ δὲ ἐχθὲς ὃ καὶ χθὲς μονοσυλλάβως λέγεται τῷ παρατατικῷ καὶ ἀορίστῳ συντάσσεται. Ἰστέον δὲ ὅτι ἐν μὲν τοῖς χρόνου δηλωτικοῖς ἐπιρρήμασιν. ἔστιν ὅτε ἀναφορικά. τὸ τῆμος καὶ τὸ τότε, ἐν δὲ τοῖς καιροῦ παρατατικοῖς, τὸ τόφρα. τέως. τηνίκα. ὅπερ κατὰ παραγωγὴν γίνεται. τηνικαῦτα. κατὰ τοῦτο δὲ τοῦ χρόνου δηλωτικά. Τῶν καιροῦ, παρατατικῶν διενήνοχε. καθόλου καθολικώτερός τε καὶ περιεκτικώτερος τοῦ καιροῦ καθέστηκεν ὁ χρόνος, περιέχει γὰρ ὁ χρόνος τὸν καιρόν. ὁ δὲ καιρὸς τὸν χρόνον οὐ περιέχει. εἴποι γὰρ ἄν τις τὸν καιρὸν χρόνον. οὐ μὴν δὲ τὸν χρόνον καιρόν. ἀναφορικὰ δὲ καλεῖται, ἐπειδὴ τὸν νοῦν τοῦ ἀκροατοῦ ἀναφέρουσιν ἐπὶ τὸν καιρόν. ὑπὸ τοῦ λαλοῦντος ὁριζόμενα καθ᾽ οἷον ἐθέλει χρόνον. ἐνεστῶτα. ἢ παρῳχηκότα ἢ μέλλοντα. ἀποβάλλοντα δὲ τὸ κατ᾽ ἀρχὴν τ᾽.

τῶν μετοχῶν καὶ ἀντωνυμιῶν ὁμοίως. ἐπὶ μὲν μετοχῶν. οἷον ὁ πλάσας, ὀφιλήσας. καὶ φωτίσας καὶ σώσας ἡμᾶς ἰησοῦς, τοῦ οἰκείου πλάσματος προνοεῖται. ἐπὶ δὲ ἀντωνυμιῶν. οἷον ἡμεῖς. ὑμεῖς κἀκεῖνοι, τὸν θεὸν εὐσεβοῦμεν. τὰ ἐπιρρήματα ὡς ἔφθημεν εἰπόντες πρὸς τὸ ῥῆμα τὴν σύνταξιν ἔχει. πλὴν τῶν κλητικῶν ἐπιρρημάτων, ἅτινα πρὸς τὴν κλητικὴν πτῶσιν τάττεται. ἔστι δὲ τὰ κλητικὰ ἐπιρρήματα πρὸς γενικὴν ἔχοντα τὴν σύνταξιν. οἷον φεῦ τῆς ἐμῆς ἀσθενείας. βαβαὶ τῆς εὐθείας ἀνοχῆς καὶ μακροθυμίας. τὰ θετικὰ δὲ πρὸς δοτικὴν καὶ αἰτιατικὴν συντάσσεται. οἷον γραπτέον ὑμῖν καὶ γραπτέον ἡμᾶς. ἔσθ' ὅτε καὶ χωρὶς ἐπιφορᾶς πτώσεως λεγόμενα ἀπολύτως. οἷον ἰστέον. ἀντὶ τοῦ δεῖ εἰδέναι. ὅσα γὰρ ῥηματικὰ ἔννοιαν ἔχουσιν ὑποθήκης καὶ συμβουλῆς ἕνεκα τιθέμεθα.

Τῶν δὲ χρονικῶν ἐπιρρημάτων, τὸ μὲν νῦν τάσσεται πᾶσι τοῖς χρόνοις. πλὴν τοῦ ὑπερσυντελίκου. ἐνεστῶσι μὲν οἷον νῦν πειρᾶται. τάχα δ' ἴψεται υἷας ἀχαιῶν. μέλλοντι δέ, οἷον νῦν αὖ τέχνῃ πειράσομαι αἴκε τύχωμαι. παρακειμένῳ δέ, οἷον νῦν δὴ ἐξαπόλωλε σὺν ἀθήνῃ, καὶ παρατατικῷ συντάσσεται. οἷον νῦν ἐπόνουν. ἀορίστῳ δέ, οἷον νῦν μὲν δὴ μελέως ἐνίκησε σὺν ἀθήνῃ. τὸ δὲ ἤδη. ὅτι χρονικὴν σημασίαν ἔχει, παρατατικῷ καὶ ὑπερσυντελίκῳ καὶ ἀορίστῳ μόνῳ συντάσσεται. ἤδη ἔγραφον. ἤδη ἐγεγράφειν. ἤδη ἔγραψα. τὴν αὐτὴν δὲ σύνταξιν

δ' αὐλῆρος καταθήσει. ἀλλὰ περὶ μὲν τῆς τῶν προθέσεων συντάξεως, ὡς οἷόν τε ἦν, ἱκανῶς εἰρήσθω. καιρὸς δὲ λοιπὸν διεξελθεῖν περὶ τῆς τῶν ἐπιρρημάτων.

Τὰ δὲ ἐπιρρήματα πρὸς τὰ ῥήματα ἔχει τὴν σύνταξιν. ἀεὶ γὰρ αὐτῶν ῥήματα προηγοῦνται, ἢ ἐφέπονται. προσεχῶς, ἢ πορρωτέρω. ὡς περ γὰρ τὰ ἐπίθετα ὀνόματα τῶν κυρίων τε καὶ προσηγορικῶν ἐστι κατηγορικὰ προκείμενα, οὕτω καὶ τὰ ἐπιρρήματα τῶν ῥημάτων ἐστὶ κατηγορικά, διὸ καὶ ἐπιρρήματα καλοῦνται. πολλάκις γὰρ μεταξὺ τοῦ τε ῥήματος καὶ τοῦ ἐπιρρήματος, καὶ ἕτερα ὕλη ὀνομάτων καὶ μετοχῶν καὶ τῶν ἄλλων μερῶν τοῦ λόγου ἐντίθενται, πρὸς τὸ ῥῆμα δὲ τοῦ ἐπιρρήματος τείνεται. ὅθεν καὶ διονύσιος ὁ θρᾷξ διοριζόμενος τὸ ἐπίρρημα φησὶ κατὰ ῥήματος λεγόμενον, ἢ ἐπιλεγόμενον ῥήματι. τουτέστι προτασσόμενον ῥήματος, ἢ ἐπιτασσόμενον ῥήματι. οἷον καλῶς ἦλθες. ἦλθες καλῶς. σοφῶς ἔφης. ἔφης σοφῶς. πολλάκις δὲ συμπλέκοντες ἐπάλληλα ἐπιρρήματα ἑνὶ ῥήματι. ἔστιν ὅτε ἀρκούμεθα. οἷον εὐγενῶς, καὶ εὐσεβῶς καὶ τιμίως, καὶ θεαρέστως εἰργάσω. ὁ κατὰ δὲ τῆς συντάξεως οὗτος, καὶ ἐπὶ τῶν λοιπῶν τοῦ λόγου μερῶν διήγει. ὀνόματα γὰρ καὶ μετοχὰς ἢ ἀντωνυμίας ἐπ' ἀλλήλων συντάσσοντες ἑνὶ χρώμεθα ῥήματι. οἷον ὁ οὐρανός, καὶ πᾶς τῶν ἀστέρων χορός. γῆ τε καὶ θάλασσα καὶ πᾶσα κτίσις, τὸν δημιουργὸν καὶ εὐεργέτην χριστὸν δοξολογεῖ, καὶ ἐπὶ

ἡ πρόθεσις ἑτέρου μορίου λόγου ἐπέσῃ, ὡς ἐπὶ τούτῳ τῷ δ' ἐπὶ τυδείδης ὦρτο κρατερὸς διομήδης. ἔστι γὰρ τὸ ἑξῆς· ἐπὶ τούτῳ δὲ ὁ τυδείδης ὦρτο. οὐκ ἀναστρέφεται ἡ πρόθεσις· διὰ τὸ μεσοσυλλαβῆσαι τὸν σύνδεσμον. τοιοῦτόν ἐστι καὶ τὸ, δ' ἦλθε πτωχὸς πανδήμιος. εἰ μέντοι ἐν τέλει στοίχων εἴη, ἢ ἁπλῶς ἐν τέλει νοήματος μεθ' ἣν τίθεται στιγμή, ἀναστρέφεται πάντως. οἷόν ἐστι τὸ πάντων δ' ἔπλυσε πολὺ κάτα. ἤγουν κατέπλυσε. ἀναστρέφομεν γὰρ τὴν πρόθεσιν. καὶ μεσοσυλλαβεῖταί τινα μόρια. διὸ σημειοῦνται τὴν παρὰ πλάτωνι ἀνάγνωσιν. ἀρετῆς δ' αὖ πέρι διότι ἀναστρέφεται ἡ πρόθεσις μεσοσυλλαβοῦντος τοῦ δὲ συνδέσμου καὶ τοῦ αὖ. τὸ γὰρ ἑξῆς· περὶ δὲ ἀρετῆς αὖ τοῦ. αἱ συναληγιμέναι οὐκ ἀναστρέφονται. εἰ μὴ στιγμῆς ἐπιφέροιτο ἀνάπαυσις. ἢ κινδυνεύει τὸ σημαινόμενον λυμήνασθαι. οἷον τοῖσι παρ' εἰνάετεις. τὸ γὰρ ἑξῆς τῆς ἑρμηνείας, παρὰ τοῖσι νῆας ἐπεστάοντο. οὐκ ἀναστρέφονται οὖν διὰ τὴν συναλοιφήν. εἰ μέντοι τὸ ἄστυ κατ'· αὐτὰρ ἐπεὶ κατὰ μῆλα κακοὶ φθείρουσι νομῆες, ἀναστρέφεται ἡ κατὰ διότι μετ' αὐτὴν κεῖται στιγμή, καὶ ἐν τῷ στεῦτο δ' ἄρ' ἡφαίστοιο παροισέμεν ὅπλα, ἀναστρέφεται. ἵνα ᾖ παρὰ τοῦ ἡφαίστου οἴσειν. καὶ μὴ νομίζηται τοῦ ἡφαίστου ὅπλα παροισέμεν. παραλαμβάνονται δὲ πολλάκις αἱ δισύλλαβοι προθέσεις, διχρονοῦσαι καὶ βαρυνόμεναι, ἀντὶ ῥημάτων. οἷον ἔνθ' ἔνι μὲν φιλότης, παρφ

κατὰ τὴν ἰθάκην ἀναστρέψεις τὴν πρόθεσιν. εἰ δὲ πρὸς τὸ κοιρανέουσιν, ἵνα πλείονα δηλώσῃ ἔμφασιν τῆς τῶν μνηστήρων ἀκρατείας. ὅπερ καὶ μᾶλλον δοκεῖ, ὀρθοτονήσει τὴν πρόθεσιν. τὸ αὐτὸ καὶ ἐν τῷ εὗρε δὲ πατρόκλῳ περικείμενον. εἰ μὲν γὰρ τὴν περὶ πρόθεσιν συντάξειέ τις περὶ τῷ πατρόκλῳ, ἀφήσεται ὁ τόνος. εἰ δὲ μεταξὺ πέσοι δύο ὀνομάτων ἡ πρόθεσις, τοῦ μὲν ἑνὸς, κυρίου ὄντος τοῦ δὲ ἑτέρου προσηγορικοῦ, ἢ ἐπιθετικοῦ ἐν πᾶσι τούτοις ἀναστρέφειν δεῖ τὴν πρόθεσιν. ἵνα τῆς ὅλης συντάξεως προηγήσηται. οἷον ποταμοῦ ἄπο προσελλήεντος. ξάνθῳ ἔπι δινήεντι. ἤγουν ἐπὶ τῷ δινήεντι. καὶ μεταξὺ τῷ ξάνθῳ μάχῃ ἔνι κυδιανείρῃ. ἤγουν ἐν τῇ κυδιανείρῃ μάχῃ. ὁμοίως καὶ μεταξὺ δύο κυρίων ἢ δύο προσηγορικῶν πέσῃ, ἀναστρέφεται. συνδέσμου παραλαμβανομένου μετὰ τὴν πρόθεσιν. οἷον νηῶν, ἄπο καὶ κλισιάων. ἀγαμέμνονος πέρι καὶ ἀχιλλέως. ἵνα πάλιν ἀμφοτέρων προηγεῖται ἡ πρόθεσις. εἰ δὲ μὴ μεταξὺ πέσῃ ὑποταγῇ δὲ τούτῳ οὗπερ ἔδει αὐτὴν προηγεῖσθαι μηδενὸς ἑτέρου μέρους λόγου μεταξὺ ἐμπίπτοντος πάλιν ἀναστρέφεται, οἷον ᾧ ἔπι πόλλ' ἐμόγησα. τὸ γὰρ ἑξῆς ἐστιν ἐφ' ᾧ πολλὰ ἐμόγησα. δῶσαν δ' ἐμοὶ υἷες ἀχαιῶν. ἰθάκῃ ἔνι κοιρανέων. ἀντὶ τοῦ ἐν τῇ ἰθάκῃ. θεῶν ἄπο μήδεα εἰδώς. ἤγουν ἀπὸ τῶν θεῶν μήδεα εἰδώς. εἰ δὲ μεταξὺ τῆς τε προθέσεως καὶ τοῦ εἰρημένου ῥήματος ἢ ὀνόματος πρὸς ὃ τὴν σύνταξιν ἔχει

ὑπὲρ πᾶν ὀνομαζόμενον ὄνομα οὐδαμῶς τε καὶ ἀ/
ρετῆς σημαντικὸν ἐξ αὐτῆς δὲ παρέχειν καὶ τὸ ὑ/
πέρτερος. Δεῖ δὲ καὶ περὶ τῆς τούτων ἀναστρο/
φῆς διαλαβεῖν· ἵνα μὴ ἀτελὴς γένηται ὁ περὶ τῆς
αὐτῶν συντάξεως λόγος. αἱ μὲν οὖν μονοσύλλα/
βοι προθέσεις ὅταν ἐν τέλει μόνον στίχων ὦσιν, ἀνα
στρέφονται καὶ ὀρθοτονοῦσι τὴν ὀξεῖαν, τάσιν. ὅ/
πως ἡ ἀναστροφὴ καταλαμβάνηται. οἷον οὐ μέν
μοι κακὸς κακὸς εἴδεται. οὐδὲ κακῶς ἐξ ἧ καὶ πά/
λιν ἐλθὼν δ' ἀργυρότοξος ἀπόλλων ἀρτέμιδι ξύν.
τῶν δὲ δισυλλάβων, αἱ μὲν δίχρονοι, ἔν τε τοῖς πε
ζοῖς καὶ τοῖς ἐμμέτροις ἀναστρέφονται. παρὲξ
τῆς διὰ καὶ τῆς ἀνά. ἵνα μὴ συνεμπέσῃ τῇ αἰτι
ατικῇ τοῦ ζεὺς ὀνόματος. τουτέστι τῇ δία. καὶ ἵ/
να μὴ συνεμπέσῃ τὸ ἀνὰ λητοῦς υἱέ. αἱ δὲ τρίχρο/
νοι, οὐκ ἀναστρέφονται. ἥτε ἀντὶ καὶ ἀμφί. ὅθεν
οὐδὲ αἱ τὸ ι πλεονάζουσαι. οἷον κατὰ. παραί. ὑ/
πείρ. ἅτε τρίχρονοι γενόμεναι, οὐκ ἀναστρέφονται.
ἡ δὲ ἐν πρόθεσις ἐνὶ γενομένη δισυλλαβήσασα καὶ
τριχρονήσασα, οὐκ ἀναστρέφεται. οἷον ἤ με τέῳ
ἐν οἴκῳ. καὶ πάλιν ᾧ ἔνι κούρῃ κοιμᾶται. ἔστι δ' ὅ/
τε καὶ αὗται αἱ δισύλλαβοι διχρονοῦσαι, οὐκ ἀνα
στρέφονται. εἰ γὰρ μεταξὺ πέσοιεν ὀνόματος καὶ ῥή/
ματος, ἢ μετοχῆς πρὸς διάφορον σημασίαν, ἀνα
στρέφονται ἢ οὐκ ἀναστρέφονται. οἷον ἰθάκην κατὰ
κοιρανέουσι. εἰ μὲν γὰρ τὴν κατὰ πρὸς τὴν ἰθάκην
συντάξειέ τις, ἵνα δηλώσῃ τὴν τ τοπικὴν σχέσιν,

βληται· ὅθεν καὶ τὸ ὕστερος ἐκ τοῦ ὑπὸ παρῆχθαι φαμέν· οἷον ὑπότερος· καὶ ἐν συγκοπῇ τῆς πο συλλαβῆς, καὶ πλεονασμῷ τοῦ σ', γέγηται ὕστερος, τουτέστιν ὁ κατώτερος καὶ ἔσχατος. τοῦ δὲ τρίτου οἷον ὑπακοή. ὑποταγή. ὑπόκλισις. ὑπόπτωσις. τοῦ δὲ τετάρτου, οἷον ὑπέλαβον. ὑπῆλθον. ὑποσκελίσαι. ὑπὲρ πρὸς γενικὴν καὶ δοτικὴν. καὶ αἰτιατικὴν συντάσσεται οἷον ὑπὲρ τοῦ ἀνθρώπου. ὃ σημαίνει δύο. τὸ ἄνωθεν τοῦ ἀνθρώπου. καὶ περὶ τοῦ ἀνθρώπου ἡνίκα συνηγορίαν ποιῶμεν, λέγομεν ὑπέρ τινος. ἡ γὰρ ὑπὲρ συνηγορικωτέρα ἐστίν. ὁ γὰρ λέγων ὑπὲρ τοῦ πέτρου, συνηγορεῖ τῷ πέτρῳ. εὑρίσκεται δὲ καὶ λαμβανομένη ἀντὶ τῆς κατά. ὡς καὶ παρ' ὁμήρῳ. τὸ δ' ἐμὸν κῆρ, ἄχνυται ἐν θυμῷ. ὅθ' ὑπὲρ σέθεν αἴσχε' ἀκούω. ἀντὶ τοῦ κατὰ σοῦ. δηλοῖ δὲ καὶ πολλάκις τὴν ἀντὶ πρόθεσιν. οἷον ὑπὲρ χριστοῦ παθόντος, ἀντὶ τοῦ χριστοῦ δηλοῖ καὶ ὑπὲρ τοῦ φίλου κινδυνεύω. τὸ ἀντὶ τοῦ φίλου, κινδυνεύει σημαίνει. τὸ αὐτὸ σημαίνει κατὰ δοτικὴν σύνταξιν τὸ, ὑπὲρ ἀνθρώπῳ. τὸ ἄνωθεν τοῦ ἀνθρώπου. τὸ μέντοι ὑπὲρ ἀνθρώπου, ἀεί ποτε σημαίνει τὸ ὑπέρτερον τοῦ ἀνθρώπου. καὶ τὰ παραπλήσια ταττόμενα. δηλοῖ δὲ ἐν ταῖς συνθέσεσιν, ὑπεράσπισιν καὶ συνηγορίαν. οἷον ὑπέρμαχος, ὑπερασπιστής. καὶ τὰ ὑπὲρ τὰ λεγόμενα ἄρνησιν καὶ ὕψωσιν. οἷον ὑπέρθεος ὑπερούσιος. ὑπεράγαθος. ἐπὶ δὲ θεοῦ ταῦτα λέγεται καὶ σημαίνουσιν αὐτὸν εἶναι.

γραφή. περιδίνησις, περιστοίχησις. ἀμφὶ πρόθεσις, ὁμοιόσημος ἐστὶ τῇ περὶ, καὶ τὴν αὐτὴν ἔχουσιν ἀμφότεραι σημασίαν καὶ σύνταξιν. συνηθεστέρα μέντοι ἐστὶν ἡ περί. Ἀπὸ πρὸς γενικὴν συντάσσεται μόνον, οἷον ἀπὸ σκόπου. ἀπὸ τόπου. σημαίνει δὲ ἐν ταῖς συνθέσεσι πλείονα ἔμφασιν. οἷον ἀπαργάζομαι. καὶ ἄρνησιν οἷον ἀπόφημι. καὶ ἀπολέγω. καὶ ἀπαυδῶ. καὶ ἀπαγορεύω. καὶ στέρησιν, οἷον ἀπέμαθον. ἀποδιδράσκω. ἀπόδρομος. ἀποκληρονόμος. ἄποικος, ἀπογάλακτος, δηλοῖ δὲ ἔτι καὶ τὴν πόῤῥω θέσιν. οἷον ἀπέχω. ὅπερ σημαίνει τὸ πόῤῥω ὑπάρχω. ἐξ αὐτῆς δὲ καὶ τὸ ἄπο καὶ τὸ ἄπωθεν. καὶ ἀποτάτω, ἐπιῤῥήματα γεγόνασι. δηλοῖ δὲ πάλιν ἀπό τινος εἴς τι ἀποκατάστασιν. οἷον ἀπέδωκα. ἀπήνεγκα. ἀπέλαβον. εἰ μὴ γὰρ τι πρότερον ἐλήφθη, ἢ ἐδιώχθη, ἢ ἐδόθη, οὐκ ἂν ἐλέγετο ἀπέδωκα. ἀπήγαγον ἀπέλαβον. Ὑπὸ πρόθεσις, πρὸς γενικὴν καὶ δοτικὴν καὶ αἰτιατικὴν συντάσσεται. οἷον ὑπὸ τῆς στέγης. ὑπὸ τῇ στέγῃ. ὑπὸ τὴν στέγην. τουτέστιν ὑποκάτω τῆς στέγης. λέγων δὲ σωκράτης ὑπὸ τοῦ τρύφωνος ἐκπαιδεύεται, δηλῶ ὅτι, τρύφων παιδεύει σωκράτην σημαίνει δὲ ἐν ταῖς συνθέσεσι μείωσιν. καὶ τὸ κεῖσθαί τι ὑπό τινι. καὶ τινὸς τινὶ κύπτει. καὶ λαθραίαν κίνησιν. καὶ τὰ παραδείγματα τοῦ μὲν πρώτου ὕφασις. ὑφαίρεσις. τοῦ δὲ δευτέρου, ὑπόστασις. ὑφάπλωσις, καὶ ἐν ῥήμασιν οἷον ὑπόκειται, ὑπέστρωται. ὑποβέ-

παράβασις. παράβλεψις. Ἀντὶ πρὸς γενικὴν
συντάσσεται. οἷον ἀντ' ἐμοῦ. ἀντ' ἐκείνου. σημαί-
νει δὲ ἐν ταῖς συνθέσεσι, πῆ μὲν τὸ ἴσον. πῆ δὲ τὸ
ἐναντίον. οἷον ἀντίθεον. πολύφημον παρ' ὁμήρῳ, ἀν-
τὶ τοῦ ἰσόθεον. ἀντίῤῥοπον. ἀντίπαλος. ἀντίλογος, ὁ
ἐναντίως παλαίων. καὶ λέγων. καὶ πάλιν ἀντίθε-
σιν σημαίνει ἐν τούτοις, τὸ τοῦ θεοῦ ἐναντίον. ὡς φα-
μὲν δόγμα ἀντίθεον. Ἐπὶ πρόθεσις. πρὸς γενι-
κὴν καὶ δοτικὴν καὶ αἰτιατικὴν συντάσσεται. οἷον
ἐπὶ τῆς γῆς. ἐπὶ τῇ γῇ. ἐπὶ τὴν γῆν, τουτέστιν ἐ-
πάνω τῆς γῆς. σημαίνει δὲ ἐν ταῖς συνθέσεσι, τὴν
ἐπί τινος θέσιν. ἢ πλείονα ἔμφασιν. ἢ ἀκολουθίαν.
οἷον ἐπίθεμα. τουτέστιν ἐπάνω τῆς γῆς. ἢ ἐπ' ἄλ-
λο. ἤτοι ἐπάνω ἄλλου τιθέμενον. πλείονα δὲ ἔμ-
φασιν οἷον ἐπικρύπτω. ἀκολούθησιν δὲ, οἷον ἐπι-
φορά. ἐπαγωγή. Περὶ πρόθεσις, πρὸς γενικὴν
καὶ δοτικὴν καὶ αἰτιατικὴν συντάσσεται. πρὸς γενι-
κὴν μὲν, οἷον περὶ σωτηρίας. πρὸς δοτικὴν δὲ, περὶ
τῷ θρόνῳ. ἔστι δὲ ποιητικὴ σύνταξις, ποτὲ μὲν δηλοῦ-
σα τὴν ἐν πρόθεσιν ὡς ἐν τῇ πρώτῃ ῥαψωδίᾳ
φησὶν ὅμηρος. ἐρωήσει περὶ δουρί. ἀντὶ τοῦ ῥεύσει
τῷ δόρατι. ποτὲ δὲ τῷ κύκλῳ. οἷον περὶ πύρ-
γῳ. τουτέστι κύκλῳ τοῦ πύργου. ὅπερ σημαίνει
λεγόντων ἡμῶν περὶ τὸν πύργον. πρὸς αἰτιατικὴν
δὲ οἷον ὁ βασιλεὺς καὶ οἱ περὶ αὐτόν. σημαίνει δὲ
ἐν ταῖς συνθέσεσι τὴν κυκλοτερῆ κίνησιν καὶ κρά-
τησιν. οἷον περιφορά. περιδρομή. περιαγωγή. περι-

σημον μὲν, ὡς φαμὲν διαστολὴν διαίρεσιν· διανομήν· πλείονα τὲ ἔμφασιν, οἷον διαγίσταμαι· διεγείρομαι.

Μετὰ πρὸς γενικὴν καὶ δοτικὴν καὶ αἰτιατικὴν συντάσσεται· πρὸς γενικὴν μὲν, οἷον μετὰ τοῦ φίλου· ἀντὶ τοῦ σὺν τῷ φίλῳ· πρὸς δοτικὴν δὲ, οἷον μετ' ἀνδράσιν· ἀντὶ τοῦ σὺν ἀνδράσιν· σύνταξις δὲ ποιητική ἐστιν αὕτη· πρὸς αἰτιατικὴν δὲ, οἷον μετὰ τὸν νῶε· ὁ ἀβραὰμ ὕστερος ὢν τοῦ νῶε· σημαίνει γὰρ χρόνον οὕτω τασσομένη· ἐν δὲ ταῖς συνθέσεσιν δηλοῖ τὴν ἀπὸ τόπου εἰς τόπον κίνησιν· ἢ ὑστεροχρονίαν· οἷον μέτοικος μεταγάστης· μεταγενέστερος.

Παρὰ πρόθεσις πρὸς γενικὴν καὶ δοτικὴν καὶ αἰτιατικὴν συντάσσεται πρὸς γενικὴν μὲν, οἷον παρὰ θεοῦ· πρὸς δοτικὴν δὲ, οἷον παρὰ τῷ βασιλεῖ κάθηται· ἀντὶ τοῦ πλησίον τοῦ βασιλέως· πρὸς αἰτιατικὴν δὲ, οἷον παρὰ τὴν θάλασσαν ὥδευσε· τουτέστιν ἐγγὺς τῆς θαλάσσης· ἀλλ' ἐπὶ μὲν τῶν ἐμψύχων τῇ δοτικῇ, ἐπὶ δὲ τῶν ἀψύχων, τῇ αἰτιατικῇ χρώμεθα. πολλάκις λαμβάνεται ἀντὶ τοῦ ὑπὲρ αἰτιατικῇ συντασσομένη ὡς ἐν τῷ ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ διά· οἷον οὐ παρὰ τὴν τοῦ θεοῦ βούλησιν ἐσκοτίσθησαν ἀλλὰ παρὰ τὴν ἰδίαν κακὴν προαίρεσιν· σημαίνει δὲ καὶ τὸ ἐναντίον οἷον οὐδὲν παρὰ τὸν τοῦ θεοῦ νόμον, ὁ δίκαιος διαπράττεται· τουτέστιν οὐδὲν ἐναντίον τοῦ νόμου ποιεῖ τοῦ θεοῦ· ἐν δὲ ταῖς συνθέσεσι δηλοῖ ἀπόκλισιν· οἷον παραδρομή·

καὶ πρόδηλος ὁμοίως. σημαίνει δὲ τὸ ἔχειν τι μᾶλλον τῶν ἄλλων. τῇ ἀξίᾳ. καὶ τὸ, προϊέναι κατὰ χρόνον. οἷον πρόεδρος. καὶ πρόγονος. προγενέστερος. ἐξ αὐτῆς δὲ παρήχθη καὶ τὸ πρότερος. ἀνὰ πρόθεσις, πρὸς αἰτιατικὴν μόνην συντάσσεται. οἷον ἀνὰ τὴν ὁδὸν, ἀντὶ τοῦ εἰπεῖν ἀντὶ τοῦ ἐπὶ τῆς ὁδοῦ. ἀνὰ τὸ στρατόπεδον. ἀντὶ τοῦ εἰπεῖν ἐπὶ στρατοπέδου. καὶ ἀντὶ τοῦ εἰπεῖν. κατὰ τὴν ὁδὸν, κατὰ τὸ στρατόπεδον. καὶ πάλιν ἀντὶ τοῦ εἰπεῖν εἰς τὴν πόλιν, λέγομεν ἀνὰ τὴν πόλιν. σημαίνει δὲ ἐν ταῖς συνθέσεσι τὴν ἄνω σχέσιν. ἢ τὴν ὀπίσω κάμψιν. οἷον ἄνωδος ἀναγωγή. ἀνάληψις. ἀναδρομή. ἀνατρέχω. ὃ σημαίνει, τὴν ὀπίσω ἐπιστροφήν. κατὰ πρὸς γενικὴν καὶ αἰτιατικὴν τάττεται οἷον κατὰ τῆς πόλεως κατὰ τὴν πόλιν. κατὰ τῆς πόλεως μὲν λέγοντες κατηγορίαν. καὶ ἐναντιότητα δηλοῦμεν. κατὰ τὴν πόλιν δὲ, ἀντὶ τοῦ εἰπεῖν ἐν τῇ πόλει. ἢ ὅμοιον τῇ πόλει. σημαίνει δὲ ἐν ταῖς συνθέσεσι τὴν κάτω σχέσιν καὶ πλείονα ἔμφασιν. οἷον καταγωγή. καταδρομή. καταβολή. πλείονα δὲ ἔμφασιν, οἷον κατεσθίω. καταπίνω. διὰ πρόθεσις. πρὸς γενικὴν καὶ αἰτιατικὴν συντάσσεται. οἷον διὰ τῆς πύλης ἦλθον. καὶ διὰ τῶν ἀποστόλων σῶσον τὰς ψυχὰς ἡμῶν πρὸς αἰτιατικὴν δὲ ὅταν αἰτιολογῶμεν. οἷον διὰ τὴν ἀγάπην ἐποίησα ἀντὶ τοῦ εἰπεῖν ἕνεκεν τῆς ἀγάπης. σημαίνει δὲ ἐν ταῖς συνθέσεσιν, μερισμὸν καὶ πλείονα ἔμφασιν. μερι

φειαν. οἷον συνέμπορος. συνέκδημος. σύντροφος. σύμπρονος. σύνοικος. ὅθεν καὶ τὸ ξυνός. ὃ δηλοῖ τὸ κοινῶς. ἀπὸ τῆς σὺν φαμὲν γεγενῆσθαι. τοῦ σ τραπέντος εἰς ξ. καὶ γὰρ οἱ ἀττικοὶ αὐτὴν τὴν σὺν, ξὺν φασίν. Ἡ πρὸς πρὸς γενικὴν, καὶ δοτικὴν, καὶ αἰτιατικὴν συντάσσεται. πρὸς γενικὴν μὲν, ἀντὶ τῆς ἐξ καὶ ἐκ παραλαμβανομένη. οἷον πρὸς τοῦ θεοῦ. ἤγουν ἐκ τοῦ θεοῦ. ἢ παρὰ τοῦ θεοῦ. πρὸς δοτικὴν δὲ ὅταν ληφθῇ, ἀντὶ τῆς παρὰ μόνης. οἷον πρὸς τοῖς ποσί. πρὸς αἰτιατικὴν δὲ καθ᾽ ὃν ἔφθημεν εἰπόντες λόγον. οἷον πρὸς τὸν ἀγαμέμνονα. λαμβάνεται δὲ ἀντὶ τοῦ μετὰ ὡς καὶ ἀλλαχοῦ κεῖται οὐχὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ αἱ ἀδελφαὶ αὐτοῦ πρὸς ἡμᾶς εἰσὶν ἀντὶ τοῦ μεθ᾽ ἡμῶν εἰσίν. ἀντὶ τοῦ μεθ᾽ ὑμῶν ἀναστρέφονται, καὶ ὡς ὁ κυριακὸς λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν. ἀντὶ τοῦ μετὰ τοῦ θεοῦ. ἢ σὺν τῷ θεῷ. σημαίνει δὲ ἐν ταῖς συνθέσεσι μάλιστα, τὴν πρός τι πρᾶγμα ἐγγύτητα. οἷον προσέδραμον. προσβολὴ προσδρομή. Πρὸ πρὸς γενικὴν συντάσσεται μόνην δύο σημαίνουσα, τόπον ἢ χρόνον. τόπον μὲν, οἷον πρὸ τῆς θύρας, ἀντὶ τοῦ ἔμπροσθεν τῆς θύρας. χρόνον δὲ οἷον πρὸ τοῦ περσικοῦ πολέμου, ὁ τρωϊκός, σημαίνει δὲ ἐν ταῖς συνθέσεσι, τὴν πρός τινος ὁρμὴν, ἢ στάσιν. ἢ τὴν εἰς τοὐμφανὲς πρόοδον. οἷον πρόδρομος, ὁ πρό τινος δραμών. πρόβολος, ὁ πρό τινος ἱστάμενος. προφανὴς ὁ προκείμενος εἰς φανέρωσιν.

εἰς ἐκκλησίαν. εἰς ἀγοράν. ἀττικῶς δὲ καὶ πρὸς γενικήν. ὡς φαμὲν. εἰς διδασκάλου. εἰς ἅδου σημαίνει δὲ τὴν εἰς τόπον σχέσιν. ὁμοίως καὶ αὐτὴ κατ' ἔλλειψιν νοεῖται. ὥς τι εἶναι εἰς τὴν τοῦ διδασκάλου καὶ εἰς τὴν τοῦ ἅδου. σημειωτέον δὲ ὅτι ἐπὶ μὲν ἀψύχων, τῇ εἰς προθέσει, χρώμεθα. ἐπὶ δὲ ἐμψύχων τῇ πρός. οἷον ἀπέρχομαι εἰς τὴν αὐλὴν, πρεσβύομαι πρὸς τὸν διδάσκαλον. ὁ μέντοι ποιητὴς χρῆται ἑκατέρᾳ παρ' ἀμφοτέρων. τῇ μὲν εἰς ἀντὶ τῆς πρός. ἐν τῇ ὀγδόῃ ῥαψωδίᾳ. ἔνθα φησίν. ἀλλ' αὐτ' οὐδ' ἑτέρωθεν ἐϋκνήμιδες ἀχαιοὶ εἰς ἀγαμέμνονα δῖον ἄγον κεχαριότα νίκην. τῇ δὲ πρὸς ἀντὶ τῆς εἰς ὡς ἐν τῇ δευτέρᾳ ῥαψωδίᾳ ὅπου φησὶ περὶ τοῦ φάσματος τοῦ δράκοντος βωμοῦ ὑπαΐξας, πρός ῥα πλατάνιστον ὄρουσεν. ἀντὶ τοῦ εἰπεῖν εἰς τὴν πλάτανον. ἀλλ' οὐ χρηστέον τῇ ποιητικῇ συνηθείᾳ. ἐξ πρόθεσις ἀσώματος οὖσα, πρὸς γενικὴν συντάσσεται μόνην, ἅτε μήτηρ ὑπάρχουσα πασῶν τῶν πλαγίων. οἷον ἐξ οὐρανοῦ. ἐκ θαλάσσης. ἐπαγομένου μὲν συμφώνου εἰς κ τὸ ξ μεταβάλλουσα. ἐπιφερομένου δὲ φωνήεντος, ἄτρεπτω τὸ ξ φυλάττουσα. σημαίνει δὲ ἐν ταῖς συνηθείαις τὴν ἔξω σχέσιν καὶ ἔκριψιν. οἷον ἔξοικος. ἔκβολος. ὁ ἔξω βεβλημένος, καὶ ἔξω οἴκου διάγων. σὺν πρόθεσις πρὸς δοτικὴν μόνην συντάσσεται. οἷον σὺν ἀνθρώπῳ. σὺν παιδίῳ. σημαίνει δὲ ἐν ταῖς συνθέσεσι, τὴν μετά τινος συνάφειαν.

ματα. οἷον ἐκάθευδον. ἐκαθεζόμην. ἡνίκα δ' ἄλλας
προθέσεις διὰ χρείαν συντιθῶσι ῥήμασιν ἔσωθεν
κλίνονται· κλίνοντες γὰρ τὸ ἁπλοῦν καθ' ἕκαστον
χρόνον συντίθεμεν τὴν πρόθεσιν· οἷον γράφω, ἔγρα
φον. κατέγραφον. διαγράφω. διέγραφον. ὅταν
μὲν οὖν αἱ ἁπλαῖ λέξεις φυλάττεται τὸ ἔσχατον φω
νῆεν ἑαυτῆς ἵνα μὴ συνεμπέσῃ τῷ περ συνδέσμῳ ση
μαίνουσι δὲ αἱ προθέσεις ἐν τῇ συνθέσει ἢ τόπον ἢ χρό
νον ἢ πλείονα ἔμφασιν. τόπον μὲν ὡς προειρήκαμεν.
χρόνον δὲ οἷον ἀναβάλλομαι. ὑπερτίθεμαι. προσδέ
χομαι πλείω δὲ ἔμφασιν, οἷον τρώγω. πλείονα γὰρ ἔμ
φασιν. οἷον δηλοῖ τὸ κατατρώγω. οὐ τρώγω. πρό
θεσις δὲ ἐν παραθέσει μετὰ εὐθείας, ἢ μετὰ τῆς κλητι
κῆς, οὐδέποτε τάττεται, συντάσσεται μέντοι ταῖς
τρισὶ πλαγίαις. τῇ γενικῇ. τῇ δοτικῇ. τῇ αἰτιατικῇ
τὸν δὲ τὸν τρόπον· ἡ ἐν πρόθεσις. μετὰ δοτικῆς συντάσ
σεται, καὶ πρὸς γενικήν, οἷον ἐν οἴκῳ. ἐν ἀγρῷ. ση
μαίνει δὲ τὴν ἔν τινι σχέσιν, καὶ γενικῇ δὲ συντάσσε
ται ἀττικῶς διὰ τὴν συμπάθειαν τῆς δοτικῆς. συμ
παθεῖ γὰρ ἡ δοτικὴ πρὸς τὴν γενικήν. οὐ μὴν τὸ ἀνά
παλιν. οἷον ἐν ἀγροῦ. ἐν ᾅδου. σπανίως δὲ ταῦτα,
παρὰ τοῖς ἀρχαίοις εὑρίσκεται, καὶ οὐ χρὴ τὸ σπάνι
ον εἰς κοινότητα παραλαμβάνεσθαι, ἡ σύνταξις δὲ
αὕτη. ἐλλειπτικῷ τρόπῳ γίνεται. ὥστε νοεῖσθαι ἐν
τοῖς τοῦ ἀγροῦ, ἐν τοῖς τοῦ ᾅδου. ὅτι ἐν γειτόνων, ἐν
παίδων. ἐν διδασκάλων.

Η εἰς πρόθεσις μετὰ αἰτιατικῆς συντάσσεται. οἷον

ται. οἷον τληπόλεμος καὶ σαρπηδὼν, ἀλλήλους ἔτρωσαν πολυνείκης καὶ ἐτεοκλῆς, ἀλλήλους ἐφόνευσαν. καὶ ἐπὶ θηλυκῶν λέγομεν, ἀλλήλων, ἀλλήλαις, ἀλλήλας, καὶ ἐπὶ οὐδετέρων ὁμοίως. ἀλλήλων, ἀλλήλους, ἄλληλα. ἐὰν δὲ σύνθετη πρόθεσις, γίνεται εὐθεῖα. οἷον ἐπάλληλος, διάλληλος, παράλληλος. οὐ μέντοι σημαίνουσιν αὐτοπάθειαν, αἱ εὐθεῖαι. ἰστέον δὲ ὅτι αἱ σύνθετοι ἀντωνυμίαι καὶ πλάγιαι δὲ αὐτοπάθειαι λαμβανόμεναι, παθητικοῖς συντάσσονται ῥήμασιν τοῦ γὰρ ἐνεργοῦντος εἰς ἑαυτὸν τὴν ἐνέργειαν, ἡ αὐτοπάθεια, ὡς φθάσαντες εἴπομεν.

ΠΕΡΙ ΠΡΟΘΕΣΕΩΝ.

Αἱ προθέσεις πάντων τῶν τοῦ λόγου μερῶν προτίθενται. ἔν τε συνθέσει καὶ συντάξει. ἐν συνθέσει μὲν, οἷον ἀναφορά. καταφορά. διαφορά. ἐν συντάξει δὲ. οἷον ἐπὶ τῆς χώρας κατὰ τῆς χώρας συντίθεται δὲ ταῖς ἁπλαῖς λέξεσι. τῇ μὲν διὰ χρείαν ἀναγκαίαν. καὶ ἀλλοιοῦσι τὴν σημασίαν, οἷον φορὰ ἁπλῆ λέξις. ἥτις σημαίνει τὴν ἁπλῆν ὁρμήν. ἀναφορὰ δὲ σύνθετος, δηλοῖ δὲ τὴν ἐπὶ τὰ ἄνω ὁρμὴν καταφορὰ δὲ τὴν ἐπὶ κάτω. ἐκφορὰ δὲ τὴν ἐπὶ τὰ ἔξω. εἰσφορὰ δὲ τὰ ἐπὶ τὰ ἔσω. τῇ δὲ κατὰ πλεονασμὸν εἰς κόσμον τῆς λέξεως. πλέον τῶν ἁπλῶν μηδὲν σημαίνουσαι. οἷον εὕδω καθεύδω. ἕζομαι. καθέζομαι. διὰ τοῦτο ἔξωθεν κλίνονται. ὡς τὰ ἁπλᾶ ῥή-

προσώπου, νῶϊ αὐτώ, ἐβλαψάμεθον. νῶϊν αὐτοῖς ἠψάμεθον. ἐπὶ δὲ τοῦ δευτέρου, σφῶϊ αὐτώ ἐβλάψαθον. σφῶϊν αὐτοῖν ἥψαθον. ἐπὶ δὲ τῆς σφωε τρίτου προσώπου τῶν δυϊκῶν, οὐ λέγομεν οὕτως· ὅτι ἐγκλίνεται. ἐπὶ μέντοι τῶν πληθυντικῶν φαμὲν τοῦ πρώτου προσώπου. οἷον ἡμῶν αὐτῶν ἠκούσαμεν. ἡμῖν αὐτοῖς ἐβοηθήσαμεν. ἡμᾶς αὐτοὺς εὐηργετήσαμεν. τοῦ δὲ δευτέρου. ὑμῶν αὐτῶν ἠκούσατε. ὑμῖν αὐτοῖς ἐδώκατε. ὑμᾶς αὐτοὺς ἔγνωτε. τοῦ δὲ τρίτου, σφῶν αὐτῶν ἐπεράθησαν. σφίσιν αὐτοῖς ἐχαρίσατο. σφᾶς αὐτοὺς ὠδήγησε. σημειωτέον δὲ ὅτι μὲν οἱ ἀττικοὶ λέγουσιν παραλόγως ἑαυτῶν. ἑαυτοῖς. ἑαυτούς. τῆς συνθέσεως ἁρμοζούσης τοῖς ἑνικοῖς μόνοις, ἐπειδὴ ἐκ τῆς ε̄ ἀντωνυμίας τοῦ τρίτου προσώπου τῶν ἑνικῶν συντίθεται ἡ ἑαυτοῦ ἒ καὶ αὐτόν. σὲ γὰρ ἦν, καὶ ἐκβολὴ τοῦ σ. ἑ ποιητικῶς ἐκράτησε δὲ ἐπὶ τῇ συνηθείᾳ λέγεσθαι, ἐπὶ τῶν τρίτων προσώπων τῶν πληθυντικῶν. ἰστέον δὲ ὅτι τὸ ἀλλήλων ἀλλήλοις ἀλλήλους. τὸ ἀλλοπαθὲς δηλοῦσιν. ἄλλος γὰρ ἐνεργεῖ καὶ αἱ πλάγιαι δὲ τῶν ἄλλων ἀντωνυμιῶν, ἀναδέχονται τὸ αὐτοπαθές τι καὶ ἀλλοπαθές. ἐμοῦ αὐτοῦ ἀκούω. ἐμοῦ αὐτοῦ ἀκούεις. ἐμοῦ αὐτοῦ ἀκούει. λαμβάνονται δὲ ἀντὶ τοῦ ἀλλήλων. ἀλλήλοις. ἀλλήλους. αὗται δὲ αἱ τρεῖς πλάγιαι. οὐκ ἔχουσιν εὐθείας, οὔτε δυϊκάς, οὔτε πληθυντικάς, οὔτε μὴν κλητικάς. δι' αὐτοπάθειαν δὲ καὶ αὗται. ἐπὶ τῶν συμπεπλεγμένων λαμβάνον-

ἐνεργοῦσι καὶ πάσχουσιν. ἰστέον δὲ ὅτι αἱ σύνθετοι ἀντωνυμίαι ἀντανακλαστικαὶ λέγονται· ἐπειδὴ ἀπὸ τοῦ αὐτοῦ προερχομένου ἡ ἐνέργεια, εἰς τὸ αὐτὸ ὑποστρέφει πρόσωπον τὸ πάσχον. πᾶσα γὰρ σύνθετος ἀντωνυμία, πάντως εἰς τὸ αὐτὸ ὑποστρέφει πρόσωπον, ἢ εἰς τὸ κτῆμα αὐτοῦ τοῦ κτήτορος τοῦ ἐνεργοῦντος. οἷον ἐμαυτὸν τύπτω, καὶ τὸν ἐμαυτοῦ παῖδα τύπτω. ἐν συνθέσει δ' εἶπον. ἐπειδὴ ἐν παραθέσει δυνατὸν εἰπεῖν σὲ αὐτὸν ὠφελῶ. χάριν οὖν τῆς ἀντιδιαστολῆς αὐτοπαθείας ἀπὸ τῆς ἑτεροπαθείας ἐγένοντο αἱ σύνθετοι ἀντωνυμίαι, ἡ σύνθεσις δὲ μόνοις τοῖς ἑνικοῖς ἐν ταῖς τρισὶ πλαγίαις ἐγένοντο. οὐ μὴν δυϊκοῖς. οὔτε πληθυντικοῖς. οἷον ἐμαυτοῦ. σεαυτοῦ. ἑαυτοῦ. ἐμαυτῷ. σεαυτῷ. ἑαυτῷ. ἐμαυτόν. σεαυτόν. ἑαυτόν.

Ι ἰστέον δὲ ὅτι κατὰ κρᾶσιν λέγομεν σαυτοῦ. σαυτῷ. σαυτόν. καὶ πάλιν ἐπὶ τοῦ τρίτου προσώπου αὑτοῦ. αὑτῷ. αὑτόν. τῇ δασείᾳ χωρίζοντες αὐτὰ ἀπὸ τῆς ἁπλῆς, ἥτις ψιλοῦνται. ἐν δὲ τοῖς δυϊκοῖς καὶ πληθυντικοῖς, θέλοντες δηλοῦν αὐτοπάθειαν, τάσσομεν τὴν ἐπιταγματικὴν μετὰ τῶν πλαγίων τῶν προσώπων. δι' αὐτῆς γὰρ ἔν τε τῇ συνθέσει καὶ τῇ παραθέσει σημαίνεται ἡ αὐτοπάθεια. ὅθεν καὶ συντεθειμένη τοῖς ὀνόμασιν αὐτοπάθειαν δηλοῖ. οἷον αὐτοδίδακτος, ὁ ἑαυτὸν διδάσκων αὐτόκλητος, ὁ ἑαυτὸν καλῶν. αὐτοπάθειαν μὲν οὖν ἐν τοῖς δυϊκοῖς σημαίνομεν λέγοντες. ἐπὶ μὲν τοῦ πρώτου

ἡμεῖς, καὶ ὑμεῖς. κἀκεῖνοι τὸν θεὸν δοξάζομεν.

ΠΕΡΙ ΑΝΤΩΝΥΜΙΑΣ.

Εἰδέναι δεῖ ὅτι περὶ ἀντωνυμίας, οὐκ ἦσαν σύνθετοι κατὰ τοῖς ἀρχαίοις. ἀνεπλήρουν δὲ τὴν χρείαν αὐτῶν, ταῖς ἁπλαῖς χρώμενοι, μετὰ τῆς συνταγματικῆς ἀντωνυμίας. συνταγματικὴ δέ ἐστιν ἀντωνυμία, ἡ αὐτός. διὰ τοῦτο ἐκλήθη συνταγματική, ὅτι μετὰ πάσης πρωτοτύπου ἀντωνυμίας, δύναται τάττεσθαι, δι' ὅλων πτώσεων καὶ ἀριθμῶν. οἷον ἐγὼ αὐτός. ἐκεῖνος αὐτός. καὶ ἐπὶ τῶν δυϊκῶν νῶϊ αὐτώ. σφῶϊ αὐτώ. ἡ σφωὲ δὲ οὐ λέγεται πτῶσις. ἐπεὶ δὴ ἐγκλίνεται, καθὰ παρὰ τῷ ποιητῇ. τίς γάρ σφωε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι, καὶ ἐπὶ τῶν πληθυντικῶν δὲ τάττεται. οἷον ὑμεῖς αὐτοί. σφεῖς αὐτοί. χρεία δὲ τοῦ συντάττειν τὴν αὐτῆς ἀντωνυμίαν ταῖς πλαγίαις τῶν πρωτοτύπων ἀντωνυμιῶν, μάλιστα δὲ διὰ τὴν αὐτοπάθειαν. ἧς ἕνεκεν, αἱ σύνθετοι ἀντωνυμίαι ἐπενοήθησαν. ἔστι γὰρ αὐτοπάθεια, καὶ ἑτεροπάθεια. εἴτουν ἀλλοπάθεια. αὐτοπάθεια μὲν ὅταν τις αὐτὸς ᾖ ὁ ἐνεργῶν καὶ ὁ πάσχων. οἷον ἐμαυτὸν ὠφελῶ. ἑτεροπάθεια δὲ ὅταν τις εἰς ἄλλον ἐκτελῇ τὴν ἐνέργειαν. οἷον σὲ ὠφελῶ. οὐδὲ ἑαυτὸν ὠφελῶ. ἀλλὰ περὶ ἑαυτοῦ τις λέγων ἐρεῖ· σεαυτὸν ὠφελεῖς. ἐμαυτὸν ὠφελῶ, ἐπειδὴ περ αὐτὸς ἐνεργεῖ καὶ πάσχει. περὶ αὐτῶν δὲ λέγω, σεαυτὸν ὠφελεῖς. ἑαυτὸν ὠφελεῖ, ὅπερ αὐτοὶ

τὰ τοιαῦτα· οἷον ἡ ἁγνίη· ἡ σοφίη, παρεσχηματίσθησαν ἰωνικῶς. ὅθεν καὶ αἱ εἰς ρος ἀρσενικαὶ ἀντωνυμίαι, εἰς ρα ἐκφέρουσι τὰ θηλυκὰ ἑαυτῶν. οἷον ὁ νωΐτερος, ἡ νωϊτέρα. ὁ ὑμέτερος, ἡ ὑμετέρα. ὁ σφέτερος, ἡ σφετέρα. ἰωνικῶς δὲ ἡ ἡμετέρη, ἡ νωϊτέρη, ἡ σφωϊτέρη. τὰ μέντοι εἰς ος σύνθετα, κοινά εἰσι τῷ γένει, καὶ ὁμοιόκλιτα. ἀρσενικά τε καὶ θηλυκά. λέγονται δὲ καὶ μετὰ διαφόρου ἄρθρου. οἷον ὁ φιλόσοφος, καὶ ἡ φιλόσοφος. ὁ ἔμπειρος, καὶ ἡ ἔμπειρος. ὁμογενῶς δὲ καὶ ὁμοιοπτώτως. τοῖς κυρίοις καὶ προσηγορικοῖς συντάσσονται. ὡς καὶ τὰ σύνθετα καθὼς προέφημεν. οἷον ὁ ἐμὸς οἶκος. ἡ ἐμὴ οἰκία. τὸ ἐμὸν οἴκημα. τοῦ ἐμοῦ οἴκου. τῆς ἐμῆς οἰκίας. τοῦ ἐμοῦ οἰκήματος. ὁ ἡμέτερος πατὴρ, τοῦ ἡμετέρου πατρός. ἡ ἡμετέρα μήτηρ. τῆς ἡμετέρας μητρός. τὸ ἡμέτερον τέκνον, τοῦ ἡμετέρου τέκνου, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. καὶ ἣν δὲ πάλιν σύνταξιν ἔχουσι τὸ ῥῆμα καὶ αἱ μετοχαὶ πρὸς τὸ ὄνομα κατὰ πᾶσαν διάθεσιν, καὶ σημασίαν, τὴν αὐτὴν ἔχουσι καὶ πρὸς τὴν ἀντωνυμίαν. ὡς γὰρ λέγω ἐδίωξα μέμνονα, οὕτω καὶ ἐδίωξα αὐτὸν, καὶ ὡς λέγω, ἀκούω τοῦ νέστορος, καὶ ἐπαινῶ τὸν νέστορα, οὕτω λέγω καὶ ἀκούω αὐτοῦ, καὶ ἐπαινῶ αὐτόν. ἰστέον δὲ ὅτι τρία πρόσωπα τῶν ἀντωνυμιῶν μετ᾽ ἀλλήλων ἐν συντάξει λόγου προφέρονται εἴτε ἐν τῇ ἀρχῇ τοῦ λόγου, εἴτε ἐν τῷ τέλει τῷ πρώτῳ προσώπῳ τοῦ ῥήματος χρώμεθα. οἷον ὑμνοῦμεν

θῶσι, καὶ αὗται διαστέλουσι πρόσωπον· οἷον ἡμεῖς εἴπομεν· τουτέστιν ἡμεῖς καὶ οὐκ ἄλλοι. ἐγὼ ἔγραψα, καὶ οὐκ ἄλλος. ὁμοίως δὲ καὶ ἐπὶ τῶν πλαγίων, ἐμοῦ ἤκουσας ἀντὶ τοῦ ἐμοῦ ἤκουσας, καὶ οὐκ ἄλλου. αὗται δὲ ἡ ἐμοῦ καὶ ἐμοὶ. καὶ ἐμὲ, ἐγκλινόμεναι, οὐκ ἄλλο, ἢ ἀποβάλλουσι τὸ κατ᾽ ἀρχὴν φωνῆεν, καὶ ἀπολύτως λέγονται. ἤκουσάς μοι, καὶ ἔδωκάς μοι, καὶ εὔφρανάς με. αἱ δὲ κτητικαὶ, ἤγουν αἱ παραγωγοὶ ἀντωνυμίαι ἥντινα σύνταξιν τὰ ἐπίθετα ὀνόματα καὶ αἱ μετοχαὶ πρὸς τὰ κύρια καὶ τὰ προσηγορικά, ἔχουσι τὴν αὐτὴν καὶ αὗται. εἰσὶ δὲ τριγενεῖς, οἷον ὁ ἐμὸς. ἡ ἐμὴ, τὸ ἐμόν. ὁ σὸς, ἡ σὴ, τὸ σόν. ὁ ὅς, ἡ ἥ, τὸ ὅν. ὁ νωΐτερος. ἡ νωϊτέρα, τὸ νωΐτερον. ὁ σφωΐτερος, ἡ σφωϊτέρα. τὸ σφωΐτερον. ὁ ἡμέτερος, ἡ ἡμετέρα, τὸ ἡμέτερον. ὁ σφέτερος, ἡ σφετέρα, τὸ σφέτερον. ποιοῦσι γὰρ τὸν παρασχηματισμὸν ὁμοίως τοῖς τριγενέσιν ἁπλοῖς ὀνόμασιν. ὥσπερ γὰρ τὰ εἰς ους ἁπλᾶ τριγενῆ μετὰ συμφώνου πλὴν τοῦ ρ, ποιεῖ τὸ θηλυκὸν εἰς η. οἷον ὁ ὄρνιμος, ἡ ὄρνιμη. ὁ φρόνιμος, ἡ φρονίμη. ὁ μέσος, ἡ μέση. ὁ μέθυσος, ἡ μεθύση, οὕτω καὶ αὗται ἐποίησαν. ὁ ἐμὸς, ἡ ἐμὴ. ὁ σὸς ἡ σὴ, πρόκειται δὲ μετὰ συμφώνου. πλὴν τοῦ ρ. ἐπειδὴ τὰ εἰς ος καθαρὰ ἁπλᾶ ὀνόματα, ἢ μετὰ τοῦ ρ, εἰς α παρασχηματίζουσι τὰ θηλυκὰ ἑαυτῶν, οἷον ὁ ἅγιος, ἡ ἁγία. ὁ δίκαιος, ἡ δικαία. ὁ λαμπρὸς, ἡ λαμπρὰ ὁ σοφώτερος, ἡ σοφωτέρα. εἰ δέ που εὑρεθῇ εἰς η

τῶν ἄρθρων τασσομένων. τὴν δὲ ὀρθὴν πτῶσιν τῶν ὑποτακτικῶν ἄρθρων, οἱ ἀττικοὶ ὁμοίως, τοῖς κοινολεκτοῦσι ποιοῦσι τῶν ἐπαγωγῶν τῶν ἐπιφερομένων, προσέχοντες, οἷον, παῦλος ὃν ἴσμεν καὶ ἐπὶ κλητικῆς ὁμοίως· οἷον παῦλε ὃν ἀγαπῶμεν ἰστέον δὲ ὅτι προτάσσονται τὰ ἐπίθετα τῶν κυρίων καὶ τῶν προσηγορικῶν· καὶ ἑνὶ ἄρθρῳ ἐπ' αὐτοῖς χρώμεθα, εἴ γε χρεία τοῦ ἄρθρου, γένηται οἷον ταχὺς ὁ αἴας. βραδὺς ὁ ἵππος. εἰ δὲ τὰ κύρια καὶ τὰ προσηγορικὰ προτάξομεν τῶν ἐπιθέτων· δυσὶν ἄρθροις χρώμεθα. οἷον ὁ πλάτων ὁ φιλόσοφος, ὁ δημοσθένης ὁ ῥήτωρ.

E ἐπειδὴ τὸ ῥῆμα πολλάκις καὶ ἕκαστον πρόσωπον ἔχειν ὄνομα δεῖται· εἰς ἀπαρτισμὸν τῆς κατὰ σύνταξιν λόγων, τῶν ὀνομάτων τοῖς πρώτοις καὶ δευτέροις προσώποις μὴ τασσομένων, ἐπιγίνεται ἡ ἀντωνυμία προσώπων δεικτικὴ οὖσα. δυναμένη τάττεσθαι τοῖς ῥήμασι κατὰ πᾶν πρόσωπον οἷον ἐγὼ γράφω. σὺ γράφεις. ἐκεῖνος γράφει. ἀντὶ τῶν κυρίων δὲ, κυρία ἐλήφθη ἡ ἀντωνυμία. εἰ μὴ γάρ τις εἴη λόγῳ κεχρημένος, οὐκ ἐρεῖ ἐγώ. πλὴν ὅτι καταχρηστικῶς ἀντὶ τῶν λοιπῶν ὀνομάτων, ἔσθ' ὅτε λαμβάνεται. ἔχει δὲ καὶ πτώσεις ὡς παραλαμβανομένη ἀντὶ ὀνομάτων. διὸ τοῖς ὀνόμασι καὶ ταῖς μετοχαῖς κατὰ πτῶσιν συντάσσεται. ἰστέον δὲ ὅτι αἱ εὐθεῖαι τῶν πρωτοτύπων ἀντωνυμιῶν, ὡς ἀεὶ ὀρθούμεναι πρὸς ἀντιδιαστολὴν ἄλλων προσώπων λαμβάνονται, αἱ δὲ πλάγιαι, ἢ μὲν ὀρθοτονοῦ-

τῆν· ῶ· ἅ εἰσιν ἑνικὰ προτακτικά· δυϊκὰ προ-
τακτικὰ τά· ταῖν· ὦ· πληθυντικὰ δὲ τὰ· τῶν τοῖς τὰς
ὦ· ὑποτακτικὰ δὲ θηλυκὰ τάδε· ἑνικὰ μὲν· ἡ· ἧς·
ἧ· ἥν· ὦ· δυϊκὰ δὲ, ἅ· αἷν· ὦ· πληθυντικὰ δὲ, αἵ· ὧν·
αἷς· ἅς· ὦ· τὰ δὲ οὐδέτερα τάδε, ἑνικὰ μὲν προ-
τακτικά, τό· τοῦ· τῷ· τὸ ὦ· ἑνικὰ δὲ ὑποτακτικά,
ὅ· οὗ· ᾧ· ὅ ὦ· δυϊκὰ προτακτικά, τώ· τοῖν· ὦ· ὑπο-
τακτικὰ δὲ δυϊκά, τάδε· ὥ· οἷν· ὦ· πληθυντικὰ
προτακτικά, τά· τῶν· τοῖς· τά· ὦ· ὑποτακτικὰ δὲ
πληθυντικά· ἅ· ὧν οἷς· ἅ· ὦ· τὰ μὲν οὖν προτακτι-
κά, οἷς συναρτᾶται, μορέσι τοῦ λόγου, καὶ συμ-
παρέπει· τὰ δὲ ὑποτακτικὰ κατὰ μὲν τοὺς ἀπλι-
κούς, ὁμοίως τοῖς προτακτικοῖς μέρεσιν ἐν τῇ συντά-
ξει τοῦ λόγου ποιοῦνται, τὰς πλαγίας· φημὶ δὴ γε-
νικήν τε καὶ δοτικήν· καὶ αἰτιατικήν· οἷον τῶν βι-
βλίων ὧν ἤγαγες, τοῖς βιβλίοις οἷς ἤγαγες· τὰ
βιβλία ἃ ἤγαγες κατὰ τοὺς κοινολεκτοῦντας·
πρὸς τὴν ἐπιφερομένην ῥηματικὴν σύνταξιν, ποι-
οῦνται τὴν κοίνησιν ἐν πάσαις ταῖς πτώσεσιν οἷ-
ον τῶν συγγραμμάτων, ἃ συνέγραψας· τοῖς συγ-
γράμμασιν ὧν ἤκουσα· τὰ συγγράμματα οἷς ἐ-
νέτυχες, κλητικὴν δὲ πτῶσιν οὐκ ἔχουσι τὰ ὑπο-
τακτικά· ἀλλ᾽ οὐδὲ τὰ προστακτικά· τὸ γὰρ ὦ τὸ τε-
ταγμένον ἀνωτέρω μεταξὺ τῶν προτακτικῶν καὶ
ὑποτακτικῶν, τὸ αὐτὸ κατὰ πᾶν γένος, καὶ παν-
τα ἀριθμὸν, οὐκ ἄρθρον· ἀλλὰ κλητικὸν ἐπίρρημα·
καταχρηστικῶς μέντοι ἄρθρον κέκληται· οὔτε μετὰ

ἓν τῶν γενῶν, πληθυντικῶς παραλαμβάνεται ἡ φωνὴ ὡς ἐπὶ τοῖς ὁμηρικοῖς χρήσεως. τοῖχος μὲν δ᾽ ἄλοχοί τε καὶ νήπια τέκνα, ῥύατ᾽ ἐφεσταῶτες, μετὰ δ᾽ ἀνέρες οὓς ἔχε γῆρας. τῶν κατὰ κοινότητα, οἷον αἱ φόρκυνες, ἕνα ὀφθαλμὸν εἶχεν. οὐδὲ δυνάμεθα οὖν εἰπεῖν, ὅτι ἡ φόρκυς ἕνα ὀφθαλμὸν εἶχεν. οὐκ ἦν γὰρ μιᾶς ὀφθαλμός. Εἰσὶ δὲ συντάξεις, αἵτινες πρὸς τὸ προσεχὲς παραλαμβάνονται, οἷον οὐδ᾽ εἰ ἄρης λαοσσόος. οὐδὲ ἀθήνη τόνδε ἰδοῦσα. ὀνόσαιτο. καὶ οὐκ ἔστιν δεινὸν τόδ᾽ εἰπεῖν ἔπος, οὐδὲ πάθος, οὐδὲ ξυμφορὰ θεήλατος, ἧς οὐκ ἂν ἄροιτ᾽ ἄχθος ἀνθρώπων φύσις. ἔστι δ᾽ ὅτι εὑρίσκεται σύνταξις τῶν πολλαχῶς λεγομένων. οἷον ὦρτο μὲν ἀκρόων. νέως τε. καὶ κύκλος καὶ λατρεύς.

ΠΕΡΙ ΑΡΘΡΩΝ.

Τὰ ἄρθρα προεγνωσμένου τινός, ἀναπόλησιν σημαίνουσιν. λέγοντες γὰρ ἄνθρωπος εἶπεν, ἄδηλόν τινα ἄνθρωπον λέγομεν. λέγοντες γὰρ ὁ ἄνθρωπος ἦλθεν ὁ ἄνθρωπος εἶπεν, προδεδηλωμένον τινὰ λέγομεν. τῶν οὖν ἄρθρων, τὰ μέν ἐστι προτακτικά. τὰ δὲ ὑποτακτικά. καὶ τὰ μὲν ἀρσενικά εἰσι τάδε. προτακτικοῦσι μὲν ἑνικά, ὁ. τοῦ. τῷ. τόν. ὦ. ὑποτακτικὰ δὲ ἑνικά, ὅς. οὗ. ᾧ. ὅν. ὦ. δυϊκὰ προτακτικά, τώ. τοῖν. ὦ. δυϊκὰ ὑποτακτικά, ὥ. οἷν. ὦ. πληθυντικὰ προτακτικά. οἱ. τῶν. τοῖς. τούς. ὦ. ὑποτακτικὰ οἵ. ὧν. οἷς. οὕς. ὦ. τὰ δὲ θηλυκὰ τάδε. ἡ. τῆς. τῇ.

σα τὸ τυπτοῦν. ὁμοίως καὶ αἱ παθητικαὶ καὶ αἱ μέσαι. ὁ τυπτόμενος. ἡ τυπτομένη τὸ τυπτόμενον. ὁ τετυμμένος. ἡ τετυμμένη. τὸ τετυμμένον. ὁ τυφθείς. ἡ τυφθεῖσα. τὸ τυφθέν. ὁμοίως καὶ τὰ λοιπὰ, συντάσσονται οὖν τοῖς τρισὶ προσώποις τῶν ῥημάτων. οἷον γράφων ὠφελοῦμαι. γράφων ὠφελῇ. γράφων ὠφελεῖται. Δεῖ δὲ εἰδέναι ὅτι προτάσσονται τῶν μετοχῶν, ἐν συντάξει, λόγου ἀρσενικὰ, ὁμοῦ καὶ θηλυκὰ ὀνόματα. ἀρσενικὴν μετοχὴν ἐπιφέρομεν, τοῦ ἀρσενικοῦ γένους ἀεὶ κρατιστέρου καὶ κυριωτέρου. ὄντος. οἷον ἄνδρες καὶ γυναῖκες κάθηνται ὁμιλοῦντες, εἰ δὲ προτάξομεν τῶν θηλυκῶν μετοχῶν θηλυκὰ καὶ οὐδέτερα ὀνόματα, θηλυκὴν μετοχὴν ἐπιφέρομεν. τοῦ θηλυκοῦ γένους κυριωτέρου καὶ προτέρου ὑπάρχοντος. τοῦ οὐδετέρου, ὡς παρὰ τῷ ποιητῇ. αἱ δέ που ἡμέτεραί τ' ἄλοχοι. καὶ νήπια τέκνα εἵατ' ἐνὶ μεγάροισι ποτιδέγμεναι. εἰ δὲ προταγῶσιν ἀρσενικά τε καὶ θηλυκὰ κατὰ φωνὴν. μὴ ὄντα δὲ κατὰ σημασίαν, οὐδετέραν μετοχὴν ἐπάγομεν. ὡς ὁ πολὺς ἐν θεολόγοις γρηγόριος νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις, ἀπ' ἀλλήλων διακριθέντα, τὴν αὐτὴν σύνταξιν ἔχουσιν καὶ τὰ ὑποτακτικὰ ἄρθρα. ὡς καὶ ἐν ψαλμοῖς, σελήνην καὶ ἀστέρας ἃς σὺ ἐθεμελίωσας. ἰστέον δὲ ὅτι τὴν κατὰ σύλληψιν πληθυντικῶν, ἔνιοι καὶ οὔκ ἐστιν. οὐδὲ τὴν κατὰ κοινότητα. σύλληψις δὲ ἐστὶν, ὅταν εὑρεθῶσι διάφορα γένη. καὶ πρὸς τὸ

T

λήσα, λέγω, γράφων, ἔλεγον· ἢ λέγων, ἔγραφον. λαλήσας, ὠφελήσω, ἐν τῷ ἐξέρχεσθαί με, τῷ θυρωρῷ ὑπήντησα. ἀντὶ τοῦ ἐξερχόμενος τῷ θυρωρῷ ὑπήντησα. οἵαν δὲ σύνταξιν ἔχουσι τὰ ῥήματα, πρὸς ἄλληλά τε καὶ πρὸς τὰ ὀνόματα, τὴν αὐτὴν καὶ αἱ μετοχαὶ πρὸς ἑαυτάς τε καὶ πρὸς τὰ ῥήματα καὶ πρὸς τὰ ὀνόματα. ὃν γὰρ τρόπον φημὶ, θέλω γράφειν. ἐφίεμαι τοῦ πράττειν, σπεύδε φθάσαι, τὸν αὐτὸν τρόπον λέγω, ὁ θέλων γράφειν. ὁ ἐφιέμενος τοῦ πράττειν, ὁ σπεύδων φθάσαι. καὶ ὡς γὰρ λέγω τύπτω τὸν πλάτωνα, οὕτω λέγω. ὁ τύπτων τὸν πλάτωνα. δίδωμι τῷ πλάτωνι. ὁ διδοὺς τῷ πλάτωνι. γεύομαι τοῦ μέλιτος, ὁ γευόμενος τοῦ μέλιτος ἅπτομαι τοῦ πυρὸς, ὁ ἁπτόμενος τοῦ πυρὸς, πρὸς ἄλληλα δὲ, ὡς γὰρ λέγω φιλῶ τὸν σωτῆρα, ὁμοίως ὁρῶ, ὁ φιλῶν τὸν σώζοντα προσκυνῶ τὸν λυτρωτὴν, ὁ προσκυνῶν τὸν λυτρούμενον. βλέπω τὸν θεατὴν, ὁ βλέπων τὸν θεώμενον. καὶ ἥν τινα σύνταξιν ἔχουσι τὰ ἐπίθετα πρὸς τὰ κύρια, καὶ προσηγορικὰ τὴν αὐτὴν ἔχουσιν καὶ αἱ μετοχαὶ πρὸς ἄλληλα. ὁμοιοπτώτως καὶ ὁμοιογενῶς σχηματιζόμεναι. τριγενεῖς δὲ εἰσὶν, ὡς καὶ τὰ ἐπίθετα ὀνόματα. οἷον ὁ τύπτων, ἡ τύπτουσα, τὸ τύπτον. ὁ τετυφὼς, ἡ τετυφυῖα, τὸ τετυφός. ὁ τετυπὼς. ἡ τετυπυῖα τὸ τετυπός. ὁ τύψας, ἡ τύψασα, τὸ τύψαν. ὁ τυπὼν, ἡ τυποῦσα τὸ τυπόν. ὁ τύψων. ἡ τύψουσα τὸ τύψον. ὁ τυπῶν. ἡ τυποῦ

νὰς μὲν τοὺς ἐνεστῶτας καὶ μέλλοντας, πᾶσι τοῖς παρεληλυθόσι συντάσσομεν· ἄλλο δὲ καὶ ἄλλο προσφέροντες, ἐνεστῶτας ἐνεστῶσι· καὶ παρατατικοὺς παρατατικοῖς, καὶ παρακειμένους παρακειμένοις· ὑπερσυντελίκους ὑπερσυντελίκοις· καὶ μέλλοντας μέλλουσιν ἔν τε ταῖς ἐγκλίσεσι· καὶ ταῖς μετοχαῖς· καὶ τὰ παραδείγματα, πρόδηλα. ἰστέον δὲ ὅτι τρία πρόσωπα τῶν προστακτικῶν, ἀνομοιοσχήμων λέγονται· ἑνὸς γὰρ προσώπου παρόντος πρὸς ὃν ἀποτεινόμεθα προστάσσοντες, λέγομεν πληθυντικῶς, προστάττοντες, τυπτέτωσαν, ὅπως ὁ εἷς, μεταδῷ τοὺς πολλοὺς τοῦ τύπτειν. καὶ πάλιν ἐκ τοῦ ἐναντίου πολλῶν προσώπων προσόντων, λέγομεν, προστάσσοντες τυπτέτω ἑνικῶς· καὶ τὴν πρὸς πολλούς, ποιούμενοι τὴν ἀπότασιν πρὸς πολλοὺς γὰρ ἀποτεινόμεθα, ἵνα μεταδῶσιν ἑνὶ τοῦ τύπτειν.

Ἐπειδὴ τὸ ὄνομα ῥήματι συντασσόμενον, λόγον συντίθησιν. ἡ δὲ τοῦ ῥήματος φύσις πτώσεων ἐστὶν ἀνεπίδεκτος. ἔδει δὲ τὸ ὄνομα κοινούμενον διὰ τὴν τῶν συμβαινόντων διάθεσιν ἔχειν τὴν τοῦ ῥήματος δύναμιν, ἐπινενόηται ἡ μετοχή· δυνάμει οὖσα καὶ ὄνομα καὶ ῥῆμα, πάντων τῶν τοῦ ὀνόματος καὶ ῥήματος μετέχουσα δίχα πραγμάτων τε καὶ ἐγκλίσεων, οἷον ὁ φιλόσοφος πλάτων, ἐπενοήθη δὴ ἡ μετοχὴ διὰ τὴν συντομίαν· ἀντὶ τοῦ εἰπεῖν γὰρ ἔγραφον καὶ ἔλεγον, ἐλάλησα καὶ ὠφέ-

γράφειν· παίδειν μαθεῖν· ἐπείγεσθαι κατ᾽ αὐτὰ ἀπάρχεσθαι ἐννοεῖν· ἀγωνίζεσθαι σώζειν, θέλειν εὐεργετεῖν. Τῶν τοῦ ῥήματος χρόνων ἓξ ὑπαρχόντων, ἐνεστῶτος φημὶ παρατατικοῦ παρακειμένου ὑπερσυντελίκου· ἀορίστου καὶ μέλλοντος. ὁ μὲν ἐνεστὼς καὶ ὁ μέλλων, συντέλειαν δηλοῦσιν ὁ δὲ παρατατικὸς, τὶ μὲν συντετελέσθαι δηλοῖ. τὶ δὲ μὴ συντετελέσθαι. ὁ δὲ παρακείμενος, πρᾶγμα νεωστὶ τετελεσμένον. οἱονεὶ παρακείμενον ἔτι. ὁ δὲ ὑπερσυντέλικος· τὸ πάλαι συντετελέσθαι σημαίνει. ὁ δὲ ἀόριστος, δύναμιν ἔχει παρακειμένου καὶ ὑπερσυντελίκου. ἐὰν γὰρ εἴπω ὅτι ἄρτι ἔγραψα, σημαίνει τὸν παρακείμενον. ἐὰν δὲ εἴπω πάλαι ἔγραψα ἤδη ἐποίησα, τὸν ὑπερσυντέλικον ἐδήλωσα, δεῖ οὖν ἡμᾶς παρατατικοὺς παρατατικοῖς συντάσσειν διαλεγομένους. περὶ παρῳχημένων τινῶν διαφερόντων, τῷ σημαινομένῳ, κατά τι μὲν, συντετελεσμένων· κατά τι δὲ μή. εἰ δὲ τὸ αὐτὸ σημαινόμενόν ἐστι, καὶ τὶ μὲν τοῦ πράγματος ἐτελειώθη· τὶ δὲ τῆς τελειώσεως ἔχεται καὶ τῷ ἐνεστῶτι καὶ τῷ μέλλοντι, ὁ παρατατικὸς συντάσσεται παρατατικοὺς μὲν οἷον παρατατικοῖς τῷ σημαινομένῳ διαφέρουσιν. οἷον. ἐσχόλαζον καὶ ἐφιλοπόνουν. ἐμάνθανον καὶ ὠφελούμην. παρατατικοὺς δὲ κατὰ τὸ αὐτὸ σημαινόμενον, ἐνεστῶτι καὶ μέλλοντι. οἷον ἐλάλουν. καὶ λαλῶ καὶ λαλήσω. ἁπλῶς δὲ φαμὲν, ἡνίκα αὐτὸ ῥῆμα κα

Ἰστέον δὲ ὅτι τὰ ὑποτακτικὰ ἓξ ἔχουσιν ὀνομασί-
ας· τρεῖς ἀπὸ τῆς σημασίας καὶ δύο ἀπὸ τῆς συν-
τάξεως· καὶ μίαν ἀπὸ τῆς φωνῆς. ἀπὸ τῆς ση-
μασίας μὲν ἀποτελεστική· αἰτιολογική· διαστατι-
κή· οἷον δός μοι τὸ βιβλίον· ἵνα γνῶ· τουτέστιν ἵνα
ἀποτελέσω τὴν ἀνάγνωσιν· ἐλυπήθην ἵνα τιμη-
θῶ· ἐὰν λούσωμαι ὑγιαίνω. τὸ μὲν γὰρ ἀποτελεσμὸν
τὸ δὲ αἰτίαν· τὸ δὲ δυσταγμὸν σημαίνει. ἀπὸ τῆς
συντάξεως, ὑποτακτικὰ καὶ ἀντεκτικὰ διότι
τοῖς συνδέσμοις ὑποτάσσονται· ὑποζεύγνυνται
τούτοις· ἐὰν, ἂν, ὄφρα· ὅπως· ἵνα· ἀπὸ δὲ τῆς φω-
νῆς λέγεται ἐπίρρημα· διότι τὸ φωνῆεν τῶν ὁριστι-
κῶν, εἰς μεῖζον ἐπαίρουσιν· οἷον τύπτομαι ἐὰν τύ-
πτωμαι. Ἰστέον ὅτι τὰ ὑποτακτικὰ ῥήματα ἃ καὶ
ὑποθετικὰ, σπάνιά ἐστι· καὶ οὐ πολλάκις εὑρισκό-
μενα, ἐν τῇ χρήσει καὶ πρώτου προσώπου εἰσὶ καὶ
δευτέρου καὶ τρίτου προσώπου· οὔτε ἑνικοῦ οὔτε
δυϊκοῦ· ἀλλὰ πληθυντικοῦ μόνον· οἷον ἀλλά γε δὴ ἀ-
ριθμήσωμεν· καὶ ἴδωμεν· ἀλλ' ἄνδρας κτείνωμεν· καὶ
πάντας διώξωμεν· διὰ τοῦτο δὴ πάντα διώξωμεν,
καὶ ὑποτακτικαὶ φωναί εἰσιν, ἐλλειπτικῶν πρὸ τῶν
τῶν συνδέσμων νοουμένων. Τὰ δὲ ἀπαρέμφα-
τα, πρὸς μὲν τὰς ἄλλας ἐγκλίσεις οὔτε μετὰ συν-
δέσμων, οὔτε χωρὶς συνδέσμων τάσσονται· πλὴν
τῶν προαιρετικῶν οἷον γράφειν καὶ λέγειν· τὰ προ-
αιρετικὰ δὲ πρὸς ἄλληλα, τοῖς ἀπαρεμφάτοις
συντάσσονται χωρὶς συνδέσμων· οἷον αἱρεῖσθαι

γεγονέναι. ἔστι δ᾽ ὅτι ταῦτα καὶ πρὸς αἰτιατικὴν συντάσσονται. βασιλεύουσι. δεσπόζουσι. κυριεύουσι. ἐξουσιάζουσι. ἡγεμονεύουσι. ἵνα σημαίνει βασιλέα εἶναι τινῶν. καὶ δεσπότην καὶ κύριον, καὶ ἐξουσίαν καὶ ἡγεμόνα. Τὰ δὲ προαιρετικὰ ῥήματα, βουλευτικά τε καὶ ἐφετικά. ὡς πράγματα δηλοῦντα τοῖς ἀπαρεμφάτοις, ὡς πραγμάτων δηλωτικὰ οὖσιν ἀσυνδέτως συντασσόμενα, αὐτοτέλειαν σημαίνει. θάτερον γὰρ θατέρῳ τὸ ἐλλιπὲς ἀναπληροῖ. οἷον θέλω γράφειν. βούλομαι λέγειν. ἐφίεμαι τοῦ ἀναγινώσκειν. ἐπιθυμῶ τοῦ ἰατρεύειν. δεῖ γὰρ τὰ ἐφετικὰ συντάσσειν τοῖς ἀπαρεμφάτοις. μετὰ τῆς προσλήψεως τοῦ ἄρθρου. τὰ δὲ δηλοῦντα βούλησιν καὶ πρᾶγμα, οὐδέποτε πρὸς ἄλληλα, οὔτε πρὸς ἕτερα ἀσυγκρίτως συντάσσονται. οὐδεὶς γὰρ λέγει τύπτω γράφω. οὐδὲ σκάπτω σπείρω. ἀλλὰ τύπτω καὶ γράφω. σκάπτω καὶ σπείρω. οὐδὲ θερίζω συνάγω. ἀλλὰ θερίζω καὶ συνάγω. Τὰ δὲ ὑποτακτικὰ ἀεὶ σύνδεσμον αἰτιολογικὸν προηγούμενον ἄγουσιν, καὶ διὰ τοῦτο προηγούμενον ἄλλου, καὶ χωρὶς ἄλλου συνδέσμου πρὸς τὰς ἄλλας ἐγκλίσεις συντάσσεται. πρὸς ἑαυτὰ δὲ οὐδέποτε. τοῦ μὲν προτέρου, παράδειγμα τοῦτο. νοῶ ἐὰν λέγω. κοπιῶ ἵνα ὠφεληθῶ. ἀνέρχομαι ὅπως ἴδω. τοῦ δὲ δευτέρου παράδειγμα τοῦτο. ἐὰν διώκωμαι. καὶ σώζωμαι. καὶ φωτίζωμαι τοῦ ἐὰν συνδέσμου ἀπὸ κοινοῦ λαμβανομένου.

οὐ πρὸς αἰτιατικὴν συντάσσονται. πρὸς μὲν γενικὴν, οἷον ἀκούω σου, καὶ ἀκούομαι ὑπὸ σοῦ. πρὸς δὲ δοτικήν, οἷον πολεμῶ σοι, καὶ πολεμοῦμαι ὑπὸ σοῦ. ὡς τῶν ἐνεργητικῶν ῥημάτων τῶν εἰς παθητικὴν διάθεσιν μεταβαινόντων. τὰ μὲν πρὸς αἰτιατικὴν, ἅτινα ἐστὶ γνήσιά τε καὶ πολλά. τὰ δὲ πρὸς γενικήν. τὰ δὲ πρὸς αἰτιατικὴν συντάσσονται.

Διατί εἴρηται καὶ εἰς παθητικὴν μεταβαίνειν διάθεσιν; ἐπειδὴ τὰ οὐδέτερα ῥήματα, καὶ κατὰ τὴν φωνὴν μὲν ἐνεργητικῶν. σημαινόμενον δὲ, παθητικὴν, εἰς φωνὴν παθητικὴν οὐ μεταβαίνει διάθεσιν. οὐ γὰρ λέγω ζῶμαι. οὐδὲ πλουτῶμαι. οὐδὲ ὀφθαλμιῶμαι. οὔτε πάσχομαι, ἀλλὰ μόνον ζῶ καὶ πλουτῶ. καὶ ὀφθαλμιῶ. καὶ πάσχω. τὰ δὲ παθητικὰ ῥήματα, ἡνίκα δηλοῦν ἐθέλει τὸν πάσχοντα τόπον, πρὸς γενικὴν συντάσσεται. οἷον ὁρῶ σου. πλήσσεται γὰρ ἡ ψυχὴ ὑπὸ τοῦ κάλλους, καὶ συντάσσεται γενικῇ, ὁρῶ τοῦδε. ἐπιθυμῶ τοῦδε. φροντίζω τοῦδε. κήδομαι τοῦδε. φείδομαι τοῦδε. ἰστέον δὲ ὅτι τὸ ὁρῶ καὶ τὸ φιλῶ, ἀλλήλων διαφέρουσι. τὸ γὰρ ὁρῶ πάθους μετέχει. καὶ διὰ τοῦτο πρὸς γενικὴν συντάσσεται. τὸ δὲ φιλῶ πρὸς αἰτιατικήν. φιλεῖ γὰρ ὁ δεῖνα τὸν υἱὸν αὐτοῦ. ἀλλ᾽ οὐχὶ ὁρᾷ. λέγομεν γὰρ ἕνεκεν διαβολῆς τὸ ὁρᾶν λαμβάνεσθαι. ὅσα ἐστὶ κτητικῆς ἐνδείας ἐχόμενα ταῦτα γενικῇ συντάσσονται. οἷον δεσπόζω τοῦδε. ἄρχομαι τοῦδε. βασιλεύω. κυριεύω. ἐξουσιάζω τοῦδε. ἡ-

ρυξας, ἐκεῖνος ἰωάννης ἐβρόντησεν. πρώτου δὲ προσώπου προστεθείκαμεν, ὅτι πᾶσα ὀνομαστικὴ εὐθεῖα, τρίτῳ προσώπῳ συντάσσεται, καὶ γὰρ πᾶν ὄνομα τρίτῳ προσώπῳ συντάσσεται. οἷον ἄνθρωπος λαλεῖ. ἵππος χρεμετίζει. ὄνος ὀγκᾶται, βοῦς μυκᾶται. ὅτι δὲ ἐνεργητικὰ ῥήματα καθαρά. καὶ εἰς παθητικὴν μεταβαίνει διάθεσιν. πρὸς αἰτιατικὴν συντάσσεται. οἷον τύπτω σε. ὅτι τύπτομαι. ὅτι τέμνω σε. τέμνομαι. σώζω σε ὅτι σώζομαι. λέγω σε ὅτι λέγομαι. δαίρω. λακτίζω. ὑβρίζω φονεύω. εἰ δὲ εἴπωμεν λέγω σοι σώζω σοι κομίζω σοι. περιποίησιν δηλοῦμεν. νοουμένης ἔξωθεν τῆς αἰτιατικῆς, οἷον λέγω σοι λόγον. σώζω σοι φίλον. κομίζω σοι περιποίησιν δηλοῦμεν, νοουμένης ἔξωθεν τῆς αἰτιατικῆς. οἷον λέγω σοι λόγον, σώζω σοι φίλον. κομίζω σοι ἵππον. τὸ μάχομαι δὲ, δέχομαι. ὄρχομαι πέτομαι, ἐνεργητικά εἰσιν ἤγουν αὐτοενεργητικά. παθητικὰ δὲ τῇ φωνῇ εἰσιν. ὅθεν οὐκ ἔχουσιν ἐνεργητικὰ θέματα. διότι ἐν τῇ παθητικῇ φωνῇ δηλοῦσιν ἐνέργειαν. ὡς τὸ θνήσκω. πίπτω. ὀφθαλμιῶ. πυρέσσω. ῥιπῶ. ῥιγῶ. φρίσσω. τρέμω. χαίρω ὀρυθριῶ τῇ φωνῇ ἐνεργητικὰ ὄντα. τῷ δὲ σημαινομένῳ, παθητικὰ οὐκ ἔχουσιν. αὐτοπαθῆ γάρ εἰσι. καὶ οὐ ζητοῦσι παθητικά. διότι ἐν τῇ ἐνεργητικῇ φωνῇ πάθος δηλοῦσι. τίνος ἕνεκεν πρόσκειται καθαρὰ, ἐπειδή ἐστι μὴ καθαρὰ ἐνεργητικὰ ἅτινα καὶ πρὸς παθητικὴν διάθεσιν μεταβαίνει. ἀλλ᾽

τὰ σημαίνουσιν. οὐκ ἔτι δεόμενα πλαγίως προσθέσ-
εως αἰτιατικῆς. πρὸς ἀπαρτισμὸν αὐτοτελοῦς δια-
νοίας. ὡς καὶ τὰ φύσει ἐνεργητικά. εἰ γὰρ εἴπω ζῶ.
πλουτῶ, οὐκ ἀναγκαίως χρήζω πλαγίαν προστι-
θέναι πτῶσιν. ἢ γυμνάζω τὴν ψυχήν. πλουτῶ τὸ σῶ-
μα. ὥσπερ ἐν τῷ λέγειν τύπτω, εἰ μὴ ἐπάγοιτο αἰ-
τιατική, οὐκ ἔσται αὐτοτέλεια. οἷον τύπτω Δίω-
να. ἕλκω τρύφωνα. ἰστέον δὲ ὅτι τὰ οὐδέτερα ταῦ-
τα λέγεται καὶ ἀπολελυμένα. διότι ἀπολέλυνται
τῆς τῶν πλαγίων συντάξεως. ὡσαύτως δὲ καὶ τὰ
ὑπαρκτικὰ τὸ ἀριστῶ. δειπνῶ. περιπατῶ, ἐνόργει-
αν σημαίνουσιν. οὐκ ἔχουσι δὲ σύνταξιν πρὸς πλα-
γίαν. οὔτε πρὸς γενικήν, οὔτε πρὸς δοτικήν, οὔτε
πρὸς αἰτιατικήν, ὅθεν οὐκ ἔχουσι παθητικά. οὐδέ-
ποτε δὲ ῥηματικὸν πρῶτον πρόσωπον, οὔτε δεύτε-
ρον ὀνομαστικῆς εὐθείας συντάσσεται πτώσει. πλὴν
τῶν κλητικῶν καὶ ὑπαρκτικῶν ῥημάτων οἷον, πέ-
τρος καλοῦμαι. ἄνθρωπος εἰμί. πρόσκειται δὲ ὀ-
νομαστική, διὰ τὰς εὐθείας τῶν μετοχῶν. καὶ τῶν
ἀντωνυμιῶν, ὅτι καὶ αὗται δὴ εὐθεῖαι καλοῦνται.
αὗται γὰρ τοῖς τρισὶ προσώποις τῶν ῥημάτων συν-
τάσσονται. οἷον ἐγὼ λέγω. σὺ λέγεις. ἐκεῖνος λέ-
γει. λαλήσας ὠφέλησα. δραμὼν κατέλαβες. κα-
θεσθεὶς ἠρέμησε. ῥηματικὸν δὲ εἴπομεν, ἐπειδὴ
τὰ ἀντωνυμικὰ πρόσωπα ταῖς ὀνομαστικαῖς εὐθεί-
αις συντάσσεται. μεσοσυλλαβούντων τῶν ἄρθρων.
οἷον ἐγὼ ὁ πέτρος ἐθεολόγησα. σὺ ὁ παῦλος ἐκή-

κατέρου μισθούς. ἀντιπωλοῦσι δὲ λαμβάνεται, τὸ ἐξ ἴσου πρὸς ἐνέργειαν προεξάρχεσθαι. Τὰ δὲ πρὸς αἴσθησιν λαμβανόμενα, οἷον βλέπω. ὁρῶ. ἀθρῶ. θεωρῶ. ἀκούω. πυνθάνομαι. ὀσφραίνομαι. ὀσμῶμαι. ὀσφραίνοιμαι. γεύομαι καὶ ἅπτομαι. τὰ δὲ μετοχικὰ πάθη, οἷον ἐρῶ. ἐπιθυμῶ. φροντίζω. μεριμνῶ. κήδομαι. φείδομαι. τὰ δ' ἐστὶ κτητικῆς ἐννοίας ἐχόμενα. οἷον δεσπόζω. ἁρμόζω. ἄρχω. βασιλεύω. τὴν διαίρεσιν οὖν ποιησάμενοι τὴν κανόνων ἔκθεσιν ποιησάμεθα. ἄνευ ῥήματος ὁριστικοῦ, ἢ προστακτικοῦ, ἢ εὐκτικοῦ οὐδέποτε γίνεται τέλειος λόγος. εἰ δὲ γένηταί που, κατὰ τὸν τρόπον ἐλλείψεως γίνεται. οἷον ἐγὼ μὲν βραδὺς εἰς πόδας. λείπει τὸ ὑπάρχω. σὺ δὲ ταχύς. ἐκεῖνος δὲ τὸν νοῦν ὀξύς. τρεῖς γὰρ εἰσὶν οὗτοι τέλειοι λόγοι. εἰ καὶ λείπουσιν ὑπαρκτικῷ ῥήματι. τὸ εἰμί. εἶ. ἐστίν. ἢ τὸ ὑπάρχω ἢ τοῖς ὁμοίοις. ἐν μὲν τοῖς κυρίοις οὖσιν ἐνεργητικοῖς ῥήμασιν, ἡ μὲν εὐθεῖα ἐνεργεῖ. ἡ δὲ αἰτιατικὴ πάσχει οἷον δίων τύπτει θέωνα. ἐν δὲ τοῖς κυρίοις παθητικοῖς ῥήμασιν, ἡ μὲν γενικὴ ἐνεργεῖ. ἡ δὲ εὐθεῖα πάσχει. οἷον ὁ θέων ὑπὸ τοῦ δίωνος τύπτεται. τὰ δὲ οὐδέτερα ῥήματα. οἷον τὸ ἀριστῶ. δειπνῶ. περιπατῶ, ἐνέργειαν σημαίνουσιν. οὐκ ἔχουσι δὲ σύνταξιν πρὸς πλαγίαν. οὔτε πρὸς γενικήν, οὔτε πρὸς δοτικήν, οὔτε πρὸς αἰτιατικήν. ὅθεν οὐκ ἔχουσι παθητικά· οἷον τὸ ζῶ. πλουτῶ. βιοτεύω. ἱππεύω. αὐτοτέλειαν καθ' ἑαυ-

τινὰ μὲν μετ' εὐθείας συνταττόμενα πτώσεως αὐτοτέλειαν ποιεῖ. ἅτινα καλοῦνται σύνθετα κατηγορήματα. οἷον σωκράτης περιπατεῖ. τρύφων ζῇ. δίας τρέχει· τινὰ δὲ οὐ ποιεῖ αὐτοτέλειαν μετ' εὐθείας συμπλεκόμενα πτώσεως. ἅτινα καλοῦνται ἐλάττονα κατηγορήματα. οἷον σωκράτης φιλεῖ. πλάτων στέργει. λείπει γὰρ τὸ τίνα. τινὰ δὲ μετὰ πλαγίας τιθέμενα πτώσεως, πλάγιον ἀποτελεῖ λόγον τέλειον. οἷον σωκράτης μεταμέλει. ἅπερ καλοῦνται παρασυμβάματα. τινὰ δὲ μετὰ πλαγίας τασσόμενα, πλάγιον τέλειον λόγον οὐκ ἀποτελεῖ οἷον σωκράτει μέλει. λείπει γὰρ τὸ τείνος. ἅπερ καλοῦνται ἐλάττονα παρασυμβάματα.

Ρῆμα λέγεται, ἀπὸ τῆς φωνῆς ῥηματικῆς, σημαῖνον κατηγόρημα. ἰστέον δὲ ὅτι τριχῶς λέγεται τὸ κατηγόρημα. πρῶτον μὲν πᾶν ῥῆμα, γενικῶς λέγεται κατηγόρημα. σύνθετον μέν ἐστι, τὸ συντεταγμένον πτώσει ὀνόματος, ἢ ἀντωνυμίας. ἀσύνθετον δὲ, αὐτὸ τὸ ῥῆμα τὸ καθ' ἑαυτὸ λεγόμενον. σύνθεσιν δὲ, οἱ στωϊκοὶ τὴν σύνταξιν λέγουσιν. ἔτι τῶν ῥημάτων τὰ μὲν καλοῦνται ὑπαρκτικά. οἷον ὑπάρχω. πλουτῶ. εἰμί, πέφυκα. καθέστηκα. τυγχάνω. τὰ δὲ κλητικά. οἷον καλοῦμαι. ὀνομάζομαι. προσαγορεύομαι. χρηματίζω, τινὰ δὲ ἀντιπαθητικά. οἷον παλαίω. τρέχω. πολεμῶ. ζητῶ. ἀγωνίζομαι. ἐρίζω. φιλονεικῶ. ταῦτα γὰρ κατὰ ἀντιπάθησιν λαμβάνονται. ἐξ ἴσου γὰρ προσέρχεται ἡ ἐνέργεια ἐξ ἑ-

κὰ μὲν, οἷον γράφω· τύπτω· παθητικὰ δὲ, οἷον τύπτομαι. οὐδέτερα δὲ, τὰ μήτε ἐνέργειαν μήτε πάθος σημαίνοντα· οἷον ζῶ πλουτῶ, πτωχεύω· ὑπάρχω. μέσα δὲ, εἴτοι τὰ ποτὲ μὲν ἐνέργειαν ποτὲ δὲ πάθος δηλοῦντα, οἷος βιάζομαι κολάζομαι. εἰσὶ ῥήματα ἐν τῷ ἐνεστῶτι ἀτελῆ ὡς ἀπλήρωτον τὴν διάθεσιν ἔχοντα. ἔτι μέντοι ἐν παρατάσει ὄντα. οἷον τύπτω γράφω. καὶ εἰσὶ ῥήματα ἐν τῷ ἐνεστῶτι τὸ τέλος ἔχοντα τοῦ πράγματος, οἷον τὸ ὑπάρχω· νοῶ· γινώσκω· βλέπω· ἀκούω· καὶ ἔτι ἐν παρατάσει ὑπάρχοντα. ἰστέον ὅτι τὰ ἐνεργητικὰ ῥήματα, λέγεται δραστικὰ καὶ ὀρθά· τὰ δὲ παθητικὰ ὕπτια. ἔτι τῶν ῥημάτων τὰ μέν ἐστι τῇ φωνῇ, ἐνεργητικά· τῇ δὲ σημασίᾳ παθητικά. οἷον πάσχω· ὀφθαλμιῶ· ἐρυθριῶ· ἀλγῶ· πονῶ· θνήσκω. τὰ δὲ, τῇ φωνῇ παθητικά· τῇ δὲ σημασίᾳ, ἐνεργητικά. οἷον ἔρχομαι· προσδέομαι· νήχομαι. ἔτι τῶν ῥημάτων τὰ μὲν, σημαίνουσι βούλησιν καὶ πρᾶγμα. οἷον τύπτω· γράφω· ὁ γὰρ γράφων βούλησιν ἔχει καὶ πρᾶγμα ἐνεργεῖ. πλέκω· ᾄδω· σώζω· τάσσω· νέμω· κρίνω, τὰ δὲ βούλησιν μόνην. οἷον ὡς τὰ προαιρετικὰ καὶ ἀφετικά, βούλομαι· ἐφίεμαι· ἐπιθυμῶ· ἱμείρομαι· ὀρέγομαι· γλίχομαι· ἐέλδομαι· εὐφραίνομαι· ὀριγνῶμαι· ἐρῶμαι. τὰ δὲ πράγματα μόνον ὡς τὰ ἀπαρέμφατα. οἷον τύπτειν· γράφειν· τύπτεσθαι γράφεσθαι. τὸ μὲν γὰρ τύπτειν, σημαίνει τὴν τύψιν. τὸ δὲ τύπτεσθαι τὸ τύμμα. Ἐπὶ τῶν ῥημάτων τι-

τὸν προστακτικοῖς ῥήμασιν ἢ δευτέροις προσώποις τῶν ἐγκλίσεων χρήσει. ἀεὶ γὰρ ἡ κλητικὴ πρὸς τὰ δεύτερα πρόσωπα τῶν ῥημάτων ἔχει τὴν σύνταξιν. πῶς μὲν τὰ ὀνόματα πρὸς ἑαυτὰ συντάσσονται εἴρηται. λείπει δὲ εἰπεῖν, πῶς πρὸς τὸ ῥῆμα καὶ πρὸς τὰ λοιπὰ μόρια τοῦ λόγου συντάσσεται καὶ προσσυμπλέκεται. ἐπειδὴ δὲ ἐν τῇ τοῦ ῥήματος πρὸς ἑαυτὸ συμπλοκῇ, καὶ πρὸς τἄλλα τοῦτο γνωρίζοιτο, εἴπωμεν πῶς τὰ ῥήματα πρός ἑαυτά τε καὶ πρὸς τὰ λοιπὰ μόρια τοῦ λόγου συντάσσεται. Τινὲς λέγουσι τοῦ λόγου ἀπὸ συνθήκης λέξεων συνισταμένου, τίνος ἕνεκεν ἀπὸ μιᾶς ῥηματικῆς λέξεως, λόγος τέλειος ἔννοιαν ἔχων γίνεται. πρὸς οὓς ἐροῦμεν. ὃν τρόπον ἡ μονὰς εἰ καὶ ἁπλῆ ἐστὶ καὶ ἀσύνθετος, ἀριθμὸς λέγεται, τοῦ ἐκ σωρείας καὶ συνθέσεως μονάδων συνισταμένου ἀριθμοῦ. καὶ τῶν φωνηέντων ἕκαστον ἄνευ συμπλοκῆς συμφώνου ἢ φωνηέντων, συλλαβὴν ἀποτελεῖ. τῆς συλλαβῆς κυρίως συλλήψεως οὔσης συμφώνων μετὰ φωνήεντος, ἢ φωνηέντων, τὸν αὐτὸν τρόπον ἐκ μιᾶς λέξεως ῥηματικῆς, λόγος τέλειος συνίσταται. ἔδει γὰρ τὰ γεννῶντα τοῦ λόγου τὴν τελειότητα, μὴ ἄμοιρα εἶναι τῆς τοῦ λόγου συντάξεως.

ΠΕΡΙ ΡΗΜΑΤΟΣ.

Τῶν ῥημάτων, τὰ μέν εἰσιν ἐνεργητικά. τὰ δὲ παθητικά. τὰ δὲ οὐδέτερα. ἔστι δὲ καὶ μέσα. ἐνεργητι

ποιόματος, καὶ τοῦ ὡς ποίημα γίνεται. εἶτουν τοῦδε χομένου, τοῦ διδομένου, καὶ τοῦ ποιήσαντος.

ΠΕΡΙ ΑΙΤΙΑΤΙΚΗΣ.

Τῇ δὲ αἰτιατικῇ χρώμεθα, ὅταν αἰτίαν σημαίνομεν. ὡς φαμὲν, διὰ τὴν παίδευσιν ἦλθον. διὰ τὸν πάτροκλον ἐθυμώθη. διὰ τοῦτο καὶ αἰτιατικὴ κέκληται. διότι αἰτίαν δηλοῖ.

ΠΕΡΙ ΚΛΗΤΙΚΗΣ.

Τῇ δὲ κλητικῇ χρώμεθα θέλοντες καλέσαι ἢ ἐπιστρέψαι τινὰ πρὸς ἑαυτοὺς ἢ προστάξαι ἢ προσαγορεῦσαι. οἷον αὐτόχειδε. χαῖρε. ὀδυσσεῦ. καὶ διὰ τοῦτο κλητικὴ καλεῖται. ὅτι καλεῖ καὶ προσαγορεύει. Ιστέον δὲ ὅτι ἡ κλητικὴ αὐτοτελής ἐστι καὶ πρός τινα λόγον ἔχει. καὶ ὁμοιόπτωτον σχῆμα ἀπαιτεῖ ἤγουν δευτέρου προσώπου τοῦ ῥήματος. ἡ δὲ εὐθεία οὐκ ἔστιν αὐτοτελής καὶ τὸν περὶ λόγον ἔχει. καὶ οὐ πάντως ὁμοιόπτωτον σχῆμα ἀπαιτεῖ. διότι αἰτίας πολλάς δηλοῖ. εἰς ἐπιγραφὴν δὲ, τῇ κλητικῇ χρώμενοι, σῴζομεν. εἶτα ἐπιφέρομεν ὁποίους ἂν βουλώμεθα λόγους. εἴτε περὶ αὐτῶν εἴτε περὶ ἄλλων. ἡνίκα δὲ πρὸς τὸν κληθέντα περὶ αὐτοῦ τοῦ προσφωνουμένου ἀποτεινώμεθα. ἢ προστακτικοῖς ῥήμασιν ἢ δευτέροις προσώποις τῶν λοιπῶν ἐγκλίσεων χρώμεθα. οἷον ἀρίσταρχε. ἐπίγραφέν τι δὲ ἀριστάρχῳ, εἴ ποις ἂν εἴτε περὶ ἑαυτοῦ εἴτε περὶ ἑτέρου, ὅντιναοῦν τρόπον ἐθέλει. πρὸς αὐτὸν δὲ περὶ αὐτοῦ τοῦ προφαινομένου, ποιούμενος τὸν λό-

πρὸς πατέρα ἢ δεσπότου πρὸς δοῦλον. ἢ μαθητοῦ πρὸς διδάσκαλον. ἰστέον δὲ ὅτι ἡ φιλικὴ σχέσις, κυρίως μὲν, πρὸς δοτικὴν συντάσσεται. οἷον ὁ φίλος. φίλω φίλος καθὰ προείρηται. κατὰ δὲ συνήθειαν πρὸς γενικὴν, ἢ ἄλλο τι τῶν ἐν σχέσει. ἢ κτῆμα κτήτορος φαίνεται. διὰ τοῦτο ἡ γενικὴ πτῶσις κλητική τε καὶ πατρικὴ λέγεται γενεαλογοῦντες γὰρ αὐ λέγομεν. ἀγαμέμνων τοῦ ἀτρέως τοῦ πέλοπος τοῦ ταντάλου. ἀχιλλεὺς τοῦ πηλέως τοῦ αἰακοῦ τοῦ διός. τῶν δὲ ἐν σχέσει ἢ κτημάτων λέγοντες ὅδρου μὲν υἱὸς τοῦ πριάμου. φίλος τοῦ μενελάου. μαθητὴς τοῦ πλάτωνος δοῦλος τοῦ σωκράτους. ἀδελφὸς τοῦ ἀλεξάνδρου. ἵππος τοῦ ἰδομενέως. αὐλὴ τοῦ ἀλκινόου. ἰλιὰς τοῦ ὁμήρου. υἱὸς τοῦ πατρός. πατὴρ τοῦ υἱοῦ. δοῦλος τοῦ δεσπότου. ἀμνὸς τοῦ ποιμένος. βασιλεὺς τῶν ἰουδαίων. ἄρχων τῶν αὐτοχέων. ὅρασις ἀνθρώπου. φωνὴ ἀλέκτορος. χρεμετισμὸς ἵππου. βληχὴ προβάτου. μυκηθμὸς βοός. καὶ τὰ ὅμοια.

ΠΕΡΙ ΔΟΤΙΚΗΣ.

Δοτικῇ δὲ χρώμεθα, ὅτε διδόναι ἢ χαρίσασθαι ἢ ἐπαγγεῖλαι ἢ ὁπουοῦν προσποιήσασθαι τινὶ βουλόμεθα. οἷον γλαῦκος ἔδωκε διομήδῃ ἵππον. βελλεροφόντης ἐχαρίσατο οἰνεῖ σπάθην. φόρεκλος ἀλεξάνδρῳ ναῦς ἐτεκτήνατο ἐν ταύτῃ δὴ τῇ συντάξει, τρία δηλοῦνται πρόσωπα. τοῦ ποιοῦντος, τοῦ

μάτων, παράγωγα ῥήματα ἢ παρασύνθετα δοτικῇ συντάσσονται. ὅμοιος τῷδε. ἴκελος τῷδε. τῷδε ἰσοῦται. τῷδε ὁμοιοῦται. τῷδε ἰσοφωνεῖ.

Νοητητέον δὲ περὶ τῶν πτώσεων τῆς τε ὀνομασίας αὐτῶν καὶ συντάξεως τοῦ ὀνόματος. Κυρίως πτώσεις εἰσὶ τέσσαρες. ἡ γὰρ ὀρθὴ καταχρηστικῶς λέγεται πτῶσις. καὶ κατὰ συνδρομὴν τοῦ σημαινομένου μέντοι αἱ πτώσεις καὶ οὐ τῇ φωνῇ. καθὸ τὸ ὄνομα ἀπὸ τοῦ σημαινομένου πίπτει.

ΠΕΡΙ ΟΡΘΗΣ ΠΤΩΣΕΩΣ.

Εἴρηται δὲ ὀρθὴ πτῶσις, ἐπειδὴ ὀρθῶς σημαίνει τὴν οὐσίαν τοῦ πράγματος. λέγεται δὲ καὶ εὐθεῖα καὶ ὀνομαστική. εὐθεῖα μὲν, ἐπειδὴ συνώνυμός ἐστι τὸ εὐθὺ τῷ ὀρθῷ. ὀνομαστικὴ δὲ, ὅτι ὀνομάσαι τὰ πράγματα βουλόμενοι, τῇ ὀρθῇ χρώμεθα. αἱ δὲ λοιπαὶ τέσσαρες πτώσεις, πλάγιαι καλοῦνται. ἐπεὶ δὴ συνώνυμόν ἐστι τὸ εὐθὺ τῷ ὀρθῷ. καὶ ὅτι ἐξ ὀρθοῦ μὲν, σημαίνουσι τὴν οὐσίαν. ἐκ πλαγίου δὲ, τὰ περὶ τὴν οὐσίαν ὄντα, γινόμενα. θέλοντες γὰρ σημᾶναι τὸν ἄνθρωπον. ἢ τὸν ἥλιον. ἢ τὸν ἵππον. ἢ ὁτιοῦν τῶν ὄντων εἴτουν ὁρίσαι ἢ διαγράψαι ἢ ὀνομάσαι, λέγομεν ἄνθρωπος. ἥλιος. ἵππος. εἰ δ᾽ ἔτι περὶ ταῦτα εἰπεῖν βουλόμεθα, ταῖς πλαγίαις χρώμεθα.

ΠΕΡΙ ΓΕΝΙΚΗΣ.

Γενικὴ μὲν, ἡνίκα γενεαλογοῦμεν, ἢ σχέσιν τινὰ υἱοῦ

τρίχα· μέλας τὴν σάρκα· δαφοινὸς τὰ νῶτα· πυρρὸς τοὺς ὀφθαλμούς· τὸ δὲ πλῆθος τῶν τοιούτων παραδειγμάτων εὕροιεν ἂν οἱ σπουδαιότατοι ἐν ταῖς στοιχειώδεσι πραγματείαις, τῶν πάλαι τῶν διειληφότων πολυμαθεστάτων ἀνδρῶν· ἡ γὰρ παροῦσα πραγματεία τῇ σῇ φιλομαθίᾳ συντομίας ἕνεκεν ἐπήγγελται. ἔτι δὲ καὶ ταῦτα ὅσα ἀπὸ τοῦ ὁμοῦ ἐπιρρήματος ἢ τῆς σὺν προθέσεως ὀνόματα συντίθεται, ὡς μὲν ἐπίθετα ὄντα, πρῶτον μὲν ἀπαιτοῦσι κύρια καὶ προσηγορικὰ ἔχειν· ἐφ' ὧν τίθενται ὡς τὰ προειρημένα. ἔπειτα δὲ θέλουσι κυρίως μὲν δοτικήν· πρὸς ἃ τὴν σχέσιν ἔχουσιν· οἷον ὁμοούσιος τῷδε· ὁμοφυὴς τῷδε· ὁμόπιστος τῷδε· ὁμόδοξος τῷδε· ὁμόθρονος· ὁμοδύναμος· ὁμόφρων· ὁμογνώμων· ὁμόδουλος· ὁμότροφος· ὁμοτράπεζος· ὁμοώροφος· ὁμοδίαιτος· διὰ δὲ τῆς δοτικῆς πρὸς γενικὴν τὴν συγγένειαν πολλάκις καὶ ταῦτα τῇ γενικῇ συντάσσεται. ὁμοίως δὲ καὶ ἀπὸ τῆς σύν· οἷον σύνθρονος τοῦδε καὶ τῷδε σύνοικος· σύντροφος· σύναιμος· συνέκδημος· σύμφιλος· σύμψηφος· συγγενής· συνέμπορος· τὸ μέντοι ὅμοιος· ἴκελος· ἴσος· παραπλήσιος· καὶ τὰ ὁμοιόσημα· καὶ τὰ ἐξ αὐτῶν συγκείμενα· ὁμοιότροπος· ὁμοιότριχος· ὁμοιόχρονος· ὁμοιογενής· ὁμοιόπλωτος· ἰσομήκης· ἰσοπαλής· ἰσοπαχύς· ἰσότοιχος· ἰσόμετρος ἰσάριθμος· πρὸς δοτικὴν ἔχει τὴν σύνταξιν· ὁμοίως καὶ τὰ ἀπὸ τούτων καὶ τῶν τοιούτων ὀνο-

τάξιν ἔχουσιν ὡς καὶ τὰ ἐπίθετα. καὶ τριγενῆ δέ εἰσιν. οἷον ξύλινος στῦλος. ξυλίνη θύρα. ξύλινον ἔδαφος. ὁμοιογενῶς καὶ ὁμοιοπτώτως κλινόμενα. ἐπεὶ οὖν περὶ τῆς συντάξεως τῶν κατὰ τὴν σημασίαν καὶ τῶν κατὰ φωνὴν εἰδῶν τῶν ὀνομάτων διεξήλθομεν ὡς δυνατὸν διασαφήσαντες πῶς μετὰ ἀλλήλων συντάσσονται, φέρε δὴ ὀλίγα περὶ τῆς συντάξεως τινῶν τῶν ἐπιθέτων ὀνομάτων εἴπωμεν. πῶς μετὰ τὸ κατηγορεῖσθαι τῶν κυρίων τε καὶ προσηγορικῶν, ὁμοιογενῶς καὶ ὁμοιοπτώτως. καὶ πλαγίαις ἄλλων ὀνομάτων, συντάσσεσθαι θέλουσι τὰ τοιαῦτα. τοιγαροῦν τῶν κυρίων καὶ τῶν προσηγορικῶν κατηγορούμενα γενικὴν ἀπαιτοῦσιν ἄλλων ὀνομάτων εἰς ἀπαρτισμὸν τῆς ἐννοίας. οἷον αἴτιος ὅδε τοῦδε. ὁδηγὸς ὅδε τοῦδε. καὶ ὅσα ἐστὶν ὀνόματα ῥηματικὰ σημαίνοντα ἐνέργειαν, γενικὴν ἀπαιτοῦσιν. οἷον κριτικὸς ὅδε τοῦδε. ἐφετικὸς ὅδε τοῦδε. κτίστης ὅδε τοῦδε. καὶ τὰ τοιαῦτα. περιεκτικὸς ὅδε τοῦδε. μεταληπτικὸς ὅδε τοῦδε. μεθεκτικὸς ὅδε τοῦδε. ἐρωτικὸς ὅδε τοῦδε. ταῦτα δὲ καὶ τὰ τοιαῦτα, κυρίων τε καὶ προσηγορικῶν ὁμοιογενῶς καὶ ὁμοιοπτώτως κατηγορούμενα, πρὸς γενικὴν ἄλλων ὀνομάτων συντάσσονται. πρὸς δὲ δοτικὴν καὶ αἰτιατικὴν, τὰ τοιάδε. οἷον ἄριστος ὅδε τῷδε. καὶ τόδε. ἢ τίμιος, ἢ ἔνδοξος ὅδε τῷδε. καὶ τόδε. ὑγιὴς ὅδε τῷδε καὶ τόδε. σῶος ὅδε τῷδε καὶ τόδε. πρὸς αἰτιατικὴν δὲ μόνην τάδε. λευκὸς τὴν

τὸ θάτερον. ἑκάτερος ἑκατέρα, ἑκάτερον. ἄλλος ἄλλη ἄλλο. ἕκαστος ἑκάστη ἕκαστον. ὁμοιογενῶς δὲ καὶ ὁμοιοπτώτως τοῖς κυρίοις καὶ προσηγορικοῖς συντάσσονται. ἕτερον μὲν οὖν λέγοντες καὶ θάτερον, οἷον τὸ θάτερον, ἕνα τῶν δύο φαμέν. ἄλλον δὲ ἕνα τῶν πολλῶν.

ΠΕΡΙ ΤΑΚΤΙΚΟΥ

Τὰ δὲ τακτικά, ὡς τὰ ἐπίθετα ὁμοιογενῶς καὶ ὁμοιοπτώτως τοῖς κυρίοις καὶ προσηγορικοῖς συντάσσονται. οἷον ὁ πρῶτος οὐρανὸς ὁ δεύτερος οὐρανὸς τοῦ δευτέρου οὐρανοῦ τοῦ τρίτου οὐρανοῦ. οὕτω καὶ τὰ ὅμοια.

ΠΕΡΙ ΜΕΤΟΥΣΙΑΣΤΙΚΟΥ.

Τὰ δὲ μετουσιαστικά, ἐμφερῆ μὲν τοῖς κτητικοῖς ὑπάρχουσιν. ἐκείνοις μέν, κυρίως δὲ συντάσσονται τοῖς μετέχουσι τῆς οὐσίας τῶν πραγμάτων. ὧν αἱ πρωτότυποι φωναὶ σημαντικαί εἰσιν ἀφ᾽ ὧν καὶ παρήχθησαν. οἷον ξύλινος πίναξ. ὀστράκινον σκεῦος. δρύϊνος ἱστός. ἀμμώδης ὁδός. καταχρηστικῶς δὲ τοῖς κατὰ τὴν ὁμοίωσιν πρὸς τὰ πράγματα ἔχουσιν. ὡς πολλάκις εἰώθαμεν λέγειν, λιθίνην καρδίαν τὴν τραχύτητι λίθου κατὰ τὴν διάθεσιν, ὁμοίαν. καὶ νοῦν κτηνώδη τὸν κατὰ τὸν βίον τοῖς κτήνεσιν ὁμοιούμενον. καὶ συντόμως εἰπεῖν πρὸς τὰ κύρια καὶ προσηγορικὰ συν

λοῦντε παλαιάγρου. αἰθέρα σοι δυσμενέες τιν ἔλωρ καὶ κύρμα γένησθε. καὶ ἡσίοδος δυϊκῷ ἀντὶ πληθυντικοῦ ἐχρήσατο. μέμφονται πάντες τοὺς χαλεποῖς βάζοντ' ἐπέεσιν ἀντὶ τοῦ βάζοντας. καὶ ὅμηρος. ἄσσον ἰόνθ' ὅτε κέν τοι ἀάπτους χεῖρας ἐφῶ. ἀντὶ τοῦ ἰόντες. σεσημειωμένων δὲ ἔτι τοῖς ἀττικοῖς λεγομένων ἑνικῶν ῥημάτων ἐπὶ πληθυντικῶν οὐδετέρων καθάπερ προέφημεν. οὔτε μὴν δυϊκῷ ἀριθμῷ ἀντὶ ἑνικοῦ χρώμεθα εἰ καὶ ὁ δυϊκὸς ἀριθμὸς περιέχει τὸν ἕνα. ὁ γὰρ δυϊκὸς ἀριθμὸς τῶν κλινομένων φωνῶν δυάδος σημαντικὸς ὢν ἀεὶ κωλύει τούτων ἤγουν τῶν ἑνικῶν χρήσει γίνεσθαι.

Ἰστέον δὲ ὅτι τὼ ἀμφοτέρω δυϊκῶς κατὰ τὴν φωνὴν καὶ κατὰ τὴν σημασίαν λέγεται. ἀμφότερος δὲ οὐ λέγεται διὰ τὸ τὴν φωνὴν δύο σημαντικὴν εἶναι. τὸ δὲ ἀθῆναι, μόνον πληθυντικῶς λέγεται ἐπὶ ἑνικοῦ πράγματος. μέντοι δὴ τὰ περιληπτικά, ἅτε προσηγορικὰ ὄντα, ὁμοιογενῶς καὶ ὁμοιοπτώτως ἑαυτοῖς σχηματίζουσι τὰ ἐπίθετα. οἷον ὁ ἰσχυρὸς δῆμος. ἡ εὐκλεὴς πληθύς, τὸ θεοφιλὲς ἄθροισμα.

ΠΕΡΙ ΕΠΙΜΕΡΙΖΟΜΕΝΟΥ.

Τὰ δὲ ἐπιμεριζόμενα, τριγενῆ καὶ αὐτά ἐστιν. οἷον ἕτερος ἑτέρα ἕτερον. θάτερος θατέρα θάτερον ὅπερ ἐστὶν ἀσύναρθρον. καὶ τὸ θηλυκὸν ὁμοίως οἷον θατέρα. τὸ μέντοι οὐδέτερον ἄρθρον ἐπιδέχεται οἷον

λόγῳ τοῦ πληθυντικοῦ χαρακτῆρος τῆς φωνῆς, πληθυντικοῖς ῥήμασι συντάσσονται. οἷον ἀθῆναι τῇ φωνῇ μὲν πλῆθος δηλοῦσα. τῷ σημαινομένῳ δὲ, μίαν πόλιν. οὐκ ἔτι οὖν τῷ λόγῳ τῆς σημασίας λέγομεν αἱ ἀθῆναι. ἀλλὰ τῷ λόγῳ τοῦ πληθυντικοῦ χαρακτῆρος τῆς φωνῆς. οἷον αἱ ἀθῆναι τῇ φιλοσοφίᾳ λάμπουσι. οὐδὲ ἀμφότεροι γράφετον. ἀλλὰ ἀμφότεροι γράφουσιν. τὸ δ᾽ ἄμφω καὶ δύο διφορεῖται τῇ γραφῇ. διὰ τοῦ ο μικροῦ καὶ ω μεγάλου γραφόμενα. θεματικὰ δέ εἰσι διὰ τοῦ ο μικροῦ καὶ ω μεγάλου γραφόμενα. δυϊκῶς δὲ μόνον ὡς τῇ σημασίᾳ οὕτω καὶ τῇ φωνῇ λεγόμενα. συντάσσονται δὲ, δυϊκοῖς καὶ πληθυντικοῖς ῥήμασιν. δυϊκοῖς μὲν, διὰ τὴν σημασίαν τοῖς δυϊκοῖς. πληθυντικοῖς δὲ, διὰ τὴν σημασίαν τοῖς πληθυντικοῖς ἐπειδὴ περιεκτικός ἐστιν ὁ πληθυντικὸς ἀριθμὸς τοῦ ἑνικοῦ καὶ δυϊκοῦ καὶ παντὸς ἀριθμοῦ. ἐμπεριέχεται γὰρ τῷ πληθυντικῷ ἀριθμῷ ὁ εἷς καὶ δύο καὶ πᾶς ἀριθμὸς, διὸ λέγομεν, ἄμφω τρέχετον καὶ ἄμφω τρέχουσιν. καὶ χρώμεθα πολλάκις τῷ πληθυντικῷ ἀριθμῷ ἀντὶ τῆς δυϊκῆς καὶ ἑνικῆς σημασίας, κατὰ πᾶσαν λέξιν συνθετικὴν ἀριθμοῦ. εἴποι γὰρ ἂν ὁ εἷς ἡμεῖς ἀσπαζόμεθα καὶ ἡμεῖς ὀρχόμεθα ἀντὶ τοῦ ἐγὼ ἀσπάζομαι καὶ ἐγὼ ὄρχομαι. ἀνάπαλιν δὲ χρῆσθαι ἑνικοῖς ἀριθμοῖς ἢ δυϊκοῖς ἀντὶ πληθυντικῶν ἀριθμῶν, ἀδύνατον. σεσημειωμένου οὕτω τοῦ παρ᾽ ὁμήρῳ εἰρημένου. μήπως ἀψῖσι λίνου ἁ-

τῶν ἀθηναίων ἢ λίκος ὁ τῶν ἰώνων πολλάκις δὲ καὶ χωρὶς τῆς πρὸς ἄλληλα ἀνταποδόσεως ἀπολύτως λαμβάνεται ὅτε μάλιστα ἐπὶ θαυμασμοῦ λέγεται.

ΠΕΡΙ ΠΕΡΙΛΗΠΤΙΚΟΥ.

Τα δὲ περιληπτικὰ, μονογενῆ μέν εἰσι. συντάσσονται δὲ ἑνικοῖς καὶ πληθυντικοῖς ῥήμασιν. διὰ τὸν ἑνικὸν χαρακτῆρα τῆς λέξεως. πληθυντικοῖς δὲ διὰ τὴν σημασίαν. πλήθους σημαντικὴν οὖσαν. οἷον ὁ δῆμος εἶπεν. ὁ δῆμος εἶπον. ἡ πληθὺς ποιεῖ. ἡ πληθὺς ποιοῦσι. τὸ σύστημα γράφει. τὸ σύστημα γράφουσι. τὰ δ' ἄλλα ὀνόματα. ἑνικῶς μὲν λεγόμενα, ἑνικοῖς ῥήμασι συντάσσονται. δυϊκῶς δὲ, δυϊκοῖς. πληθυντικῶς δὲ, πληθυντικοῖς. ὡσαύτως δὲ καὶ ἐπὶ μετοχῶν, καὶ ἀντωνυμιῶν. ὁ κῆρυξ βοᾷ. τὼ κήρυκε βοᾶτον. οἱ κήρυκες βοῶσιν. ἡ μοῦσα ᾄδει. τὰ μούσα ᾄδετον. αἱ μοῦσαι ᾄδουσιν. τὸ παιδίον παίζει τὼ παιδίω παίζετον. τὰ παιδία παίζουσιν. ἀττικοὶ δὲ ἐπὶ τῶν πληθυντικῶν εὐθειῶν τῶν οὐδετέρων ὀνομάτων ἑνικοῖς χρῶνται ῥήμασιν. οἷον τὰ παιδία. παίζει. τὰ δώματα στάζει. γράμματα δ' ἐστί. δίχρονα δὲ λέγεται. τὰ ἀρχαῖα παρῆλθον. ἰδοὺ γέγονε τὰ πάντα καινά. εἰσὶ δὲ πληθυντικοὶ ὀνομαστικοὶ χαρακτῆρες, τινὲς μὲν, ἑνικὴν σημασίαν ἔχοντες ὡς ἀθῆναι. θῆβαι. τινὲς δὲ δυϊκὴν ἀμφότεροι. οἵτινες οὐ τῷ λόγῳ τῆς σημασίας, ῥήμασιν ἑνικοῖς ἢ δυϊκοῖς συνταγῆναι δύνανται. ἀλλὰ τῷ

λόγῳ

μένη. ὁρῶν τις τὰ ὁμοιούμενα. ἀνταποδοτικὰ δὲ λέγεται ὅτι τὰ προηγούμενα ἀλλήλων καὶ ἐπαγόμενα, πρὸς ἄλληλα ἀνταποδίδονται. κυρίως μὲν ἀνταποδοτικὰ καλεῖται, ὅσα ἀπὸ τούτου ἄρχονται. οἷον ποῖος. πόσος. πηλίκος. ἅτινα καὶ διὰ τοῦ δε μορίου ἐπεκτείνεται καὶ τὸν τόνον δὲ ἐν τῇ ἐσχάτῃ αὐτῶν συλλαβῇ καταβιβάζουσι καὶ παροξύνονται. οἷον τοιόσδε τοσόσδε, καὶ τηλικόσδε. ποιοῦσι δὲ παράγωγα, διὰ τοῦ οὗτος. οἷον τοιοῦτος τηλικοῦτος. τοσοῦτος, καὶ ἄρθροις συντάσσονται.

Τὰ μέντοι ἀπὸ φωνῆς ἀρχόμενα ἀναφορικά, ἄρθροις οὐ συντάσσονται. οὐ γὰρ λέγομεν ὁ οἷος διὰ τοῦ ἄρθρου. ὁ ὅσος. ὁ ἡλίκος. ἀλλὰ χωρὶς ἄρθρου. οἷον ὅσος. οἷος. ἡλίκος. ἔστι δὲ τὰ μὲν σημαίνοντα τὴν ποσότητα. τοιάδε. ὅσος. πόσος. τοσόσδε. τοιοῦτος. τοσοῦτος. τὰ δὲ τὴν πηλικότητα, ἡλίκος. πηλίκος. πηλικόσδε. τηλικόσδε. τηλικοῦτος. τὰ δὲ τὴν ποιότητα δηλοῦντα. οἷον ποῖος. τοιόσδε. τοιοῦτος. προηγοῦνται δὲ ἀλλήλων ἐν ταῖς συντάξεσι καὶ ἐπιφέρονται ὡς προείπομεν. οἷον ἀγαθ' ὅσον ἥσσων εἰμὶ, τόσον σέο φέρτερος εἰμὶ, καὶ ἀνάπαλιν. ἀλλ' οὐ τόσοι, ἦσαν ὅσοι ἑλίκωπες ἀχαιοί. καὶ τὸ οἷος ὁμοίως. οἵηπερ φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν, καὶ ἀνάπαλιν. οὐ γὰρ τοίους εἶδον ἀνέρας. οὐδὲ ἴδωμαι. οἷον πυρίθοον. δρύαντά τε ποιμένα λαῶν, καὶ ἐπὶ τῆς πηλικότητος ὡσαύτως. ἡλίκος ὁ πύργος

νοσυλλάβως ἀοριστούμενον ἐγκλίνεται. οἷον ἦλθέ τις. τὰ μέντοι ἐναντίως τῷ ἐρωτηματικῷ λεγόμενα, προσλαμβάνει κατ᾽ ἀρχὴν τὸ ο. καὶ βαρυτονεῖται. οἷον ὁποῖος ὁπόσος τί διαφέρει τὸ ἀόριστον τῷ ἐρωτηματικῷ. διαφέρει ὅτι. τὸ μὲν ἐρωτηματικὸν ζητεῖ ὁρισθῆναί τι. τὸ δὲ ἀόριστον ἀναιρεῖ τὸν θέλοντα ὁρίσαι, ἢ καθὸ τὸ μὲν ἐρωτῶν γινώσκει. τὸ δὲ ἀόριστον ἄγνωστος. οἷον ὁποῖος. ὁπόσος ὁπηλίκος.

ΠΕΡΙ ΑΝΑΦΟΡΙΚΟΥ.

Τὰ δὲ ἀναφορικὰ, καὶ ταῦτα μὲν ἐπὶ ποσότητος ἤτουν πλήθους καὶ ἐπὶ πηλικότητος ἤτοι μεγέθους καὶ ἐπὶ ποιότητος λέγεται. ὡς τὰ ἐρωτηματικὰ καὶ ἀόριστα καὶ τριγενῆ ὑπάρχουσιν. ὁμοιογενῶς τε καὶ ὁμοιοπτώτως, τοῖς κυρίοις καὶ προσηγορικοῖς συντάσσονται. ἕνεκεν ὁμοιώσεως ἢ δείξεως ἔστι δ᾽ ὅτε καὶ θαυμασμοῦ προσφερόμενα. ἀναφορικὰ δὲ καλοῦνται, ὅτι δι᾽ αὐτῶν τὴν τῶν ἀκροωμένων διάνοιαν ἀναφέρομεν ἐπὶ τὰ προεγνωσμένα πράγματα. ὡς ὅταν σοι ἐγνωκότι τὸν ἀχιλλέα. εἴπω, οἷος ὁ ἀχιλλεύς. τοιοῦτός ἐστιν ὁ αἴας. ἐπαναφέρω γάρ σου τὴν μνήμην ἐπὶ τὸν προεγνωσμένον ἀχιλλέα. ἀναφορικὰ γάρ ἐστι προεγνωσμένου τινὸς ἀνάπολυσις. καὶ ὁμοιωματικὰ δὲ, λέγονται τὰ τοιαῦτα. ὅτι δι᾽ αὐτῶν ποιούμεθα τὴν ὁμοίωσιν. δεικτικὰ δὲ ὅτι δι᾽ αὐτῶν πολλάκις, δακτυλοδεικτοῦ-

ως, ἢ καταινέσεως. συμβολικῶν οὐσῶν ἀποκρίσεων. διὸ καὶ πᾶν μέρος λόγου καθ' ὑποκρίσεως λεγόμενον ἐν διαλεκτικῇ, σύνταξει, ἐρωτηματικὸν αἰτεῖ.

ΠΕΡΙ ΠΕΥΣΤΙΚΟΥ.

Πευστικὸν δὲ, ἐν μόνοις ὀνόμασι καὶ ἐπιρρήμασιν εὑρίσκεται. ἐν μὲν ὀνόμασι, τὸ τίς πότερος. ποῖος. καὶ τὰ λοιπὰ τὰ προειρημένα. ἐν δὲ ἐπιρρήμασι, ποῦ πῆ. πόθεν. πότε. πῶς. πηνίκα. ὡσαύτως δὲ καὶ τὰ ἀόριστα τριγενῆ ὑπάρχει. καὶ ἄρθροις οὐ συντάσσεται. οἷον ὅστις. ὁπότερος. ὁποῖος. ὁπόσος. ὁπηλίκος. καὶ τὸ μὲν ὅστις δύο μέρη λόγου ἔχον ἐν παραθέσει, ὡς ἑνὸς λογίζεται. τῶν δὲ λοιπῶν, ἕκαστον μέρος λόγου ἐστὶν ἕν. τὸ γὰρ ἐν αὐτοῖς κατ' ἀρχὰς ὁ, οὐκ ἄρθρον. ἀλλὰ μέρος τῆς λέξεως, τὴν αὐτὴν δὲ καὶ αὐτὰ τοῖς ἐρωτηματικοῖς ὀνόμασι σύνταξιν ἔχουσιν ὁμοίως αὐτοῖς σχηματιζόμενα. αὐτοῦ μὲν ἀρσενικοῦ ὅστις. αὐτοῦ δὲ θηλυκοῦ ἥτις. αὐτοῦ δὲ οὐδετέρου ὅτι. δύο μέρη λόγου. καὶ τὸ ὅς τις. καὶ τὸ ἥτις, καὶ τὸ ὅτι. ἰστέον δὲ ὅτι τὰ δισύλλαβα ἐρωτηματικὰ καὶ ἀοριστοῦνται. ἀπολύτως τε καὶ οὐ κατὰ τῆς ἐρωτήσεως λόγον. οἷον ποιός. ποσός. ὧν τὸ οὐδέτερον ἄρθρον ἀποδέχεται. ἵνα μὴ κατὰ κυρίου καὶ προσηγορικοῦ. ὡς ἐπίθετον κατηγορῆται ἀλλ' ὅταν αὐτὸ τὸ πρᾶγμα δηλοῖ. τουτέστιν τὴν ποιότητα, καὶ πηλικότητα, καὶ ποσότητα. τὸ δὲ τίς μο

δὲ πηλίκος, ἀπὸ πηλικότητος, καὶ μεγέθους. εἴρηνται ἀπὸ τοῦ μετρουμένων καὶ τοῦ συνεχοῦς ποσοῦ. τῷ δὲ ποδαπὸν ἀπὸ τῶν ἐθνικῶν χρῆσθαι εἰώθαμεν πυνθανόμενοι. καὶ τούτων τὰ παραδείγματα ταῦτα. ἐρωτώμενοι γὰρ λέγομεν ὅτι σωκράτης. τί δέ ἐστι σωκράτης. φαμὲν ἄνθρωπος, καὶ τί ἐστιν ἄνθρωπος. ζῶον. λογικόν. θνητόν. νοῦ καὶ ἐπιστήμης δεκτικόν. ποίας δὲ ἐστι σωκράτης. ἐρωτώμενοι ἀποκρινόμεθα. λευκὸς, ἢ σιμὸς, ἢ γέρων, ἢ φιλόσοφος, ἢ γραμματικός. πόστος δὲ δεκαετὴς, εἰκοσαετὴς, ἢ δέκατος, ἢ εἰκοστός. πόσος δὲ ὁ ὄχλος. ἑκατὸν, χίλιοι. πόσοι ἄνδρες. πέντε. δέκα. ὅταν δὲ ἐρωτηθῶμεν πηλίκος ἐστὶ, λέγομεν, δίπηχυς. τρίπηχυς. λεπτός. παχύς. ἰσχνός. ἰστέον δὲ ὅτι τὸ λεπτὸς παχύς ἰσχνός. κυρίως ἀπὸ τῆς ποιότητος λαμβάνεται. ἐνταῦθα δὲ ἀπὸ μεγέθους εἴληπται, παχὺς ἰσχνός. εἰ δὲ ποδαπὸς ἐρωτηθῶμεν, ἐροῦμεν φρύξ. γαλάτης ὁμοιογενῶς καὶ ὁμοιοπτώτως καὶ ταῦτα τὰ ἐρωτηματικὰ, τοῖς κυρίοις καὶ προσηγορικοῖς συντάσσονται.

ΠΕΡΙ ΕΡΩΤΗΜΑΤΙΚΟΥ.

Χρὴ δὲ γινώσκειν ὅτι διαφέρει τὸ ἐρωτηματικὸν τοῦ πευστικοῦ. τὸ μὲν γὰρ πευστικὸν, πλείονος δεῖται λόγου. οἷον ποῦ ὁ πέτρος, καὶ ὁμολογῶ ἐν ῥώμῃ. πόθεν ἐξῆλθεν, ἐξ ἰσραήλ. τὸ δὲ ἐρωτηματικὸν ἀποκρίσεως τοῦ ναὶ, ἢ τοῦ οὐ χρῄζει μόνον. ἢ ἀνανεύσε-

οἷαι συντάξεις. τοῖς διαζευκτικοῖς, συμπαραλαμβανόμεναι συνδέσμοις· οἷον ἢ φῶς ἢ σκότος, ἢ νὺξ, ἢ ἡμέρα, ἢ ζωὴ, ἢ θάνατος, ἢ ὑγίεια, ἢ νόσος ἢ ἀρετὴ, ἢ κακία. αἱ γὰρ διαζευκτικαὶ συντάξεις ἐπὶ τῶν μαχομένων, καὶ ἀλλήλοις συναφίστασθαι μὴ δυναμένων γίνονται. Τὰ δὲ ἐρωτηματικὰ ἃ καὶ πευστικὰ καλεῖται, τριγενῆ μέν ἐστιν, ὅτι τὸ πύσμα ἀγνοεῖ· τὸ δὲ ἄρθρον ἀναφέρει. ἄρθροις δὲ οὐ συντάσσεται. οὔτε κλητικὴν ἀπῶσιν. ἔχουσιν. οἷον τίς. οὗτος. τίς. αὕτη. τί τοῦτο. πότερος. ποτέρα. πότερον. ποῖος. ποία. ποῖον. πόστος. πόστη. πόστον. πόσος. πόση. πόσον. πηλίκος. πηλίκη. πηλίκον. ποδαπός. ποδαπή. ποδαπόν. καὶ τῷ μὲν τίς ὀνόματι· ἐπὶ τῶν ἀνὰ μέρος ἢ γοῦν τῶν ἀτόμων ἐπιζητοῦμεν. εἰς οὐδέτερον δὲ γένος παρασχηματιζομένῳ· οὐ μόνον περὶ ἀτόμων, ἀλλὰ καὶ περὶ οὐσιῶν. ὧν τῷ μὲν τίς ὀνόματι χρώμεθα, οὐ περὶ τῶν ἀνὰ μέρος μόνον ἢ γοῦν ἀτόμων, ἀλλὰ καὶ περὶ οὐσιῶν. οἷον τί ἐστιν ἄνθρωπος. τί ἐστι ζῶον. τὸ δὲ ποῖος τὴν ποιότητα ζητοῦμεν. τουτέστιν διάθεσιν καὶ ἕξιν. ἤτουν ἐπιστήμην, καὶ ἀρετὴν, ἢ τὰ ἐναντία ἀλλήλοις, ἢ δύναμιν, ἢ ἀδυναμίαν, ἢ πάθος, ἢ παθητικὴν ποιότητα, ἢ σχῆμα καὶ μορφὴν, καὶ συλλήβδην εἰπεῖν τῷ ποῖος δὴ, ἐπάγεσθαι πάντα ἐπίθετα. πλὴν τῶν κατὰ μεγέθους σωματικῶν, κειμένων. τὸ δὲ πόστος, καὶ πόσος, ἐπὶ τῶν καταριθμουμένων. ἤτουν ἐπὶ τοῦ διωρισμένου καιροῦ, καὶ ἐπὶ πλήθους χρώμεθα. τὸ

τικὰ ἀπὸ κυρίων τε καὶ προσηγορικῶν. τὰ δὲ συγκριτικὰ καὶ ὑπερθετικά, ἀπὸ τριγενῶν ὀνομάτων. ἀπὸ τοῦ ἰδίου σημαινομένου τὴν κλῆσιν εἰλήφασιν. οὐ μέντοι ἀπὸ τῆς ἰδίας ὕλης. τῶν μὲν ἀπὸ τῆς ἰδίας ὕλης, παρωνύμων τε κληθέντων καὶ ῥηματικῶν, ὅσα μέν ἐστι κύρια καὶ προσηγορικὰ κατὰ τὴν προειρημένην συντακτικὴν τεχνολογίαν, ὁμοιογενῶς καὶ ὁμοιοπτώτως ἑαυτοῖς τὰ ἐπίθετα συνεπισπάσονται. ὅσα δὲ ἐπίθετα πάλιν ὡς προλέλεκται συνθετικὴν ἔχει τὴν σύνταξιν μετὰ τῶν κυρίων τε καὶ προσηγορικῶν. ἐπανιτέον τοίνυν καὶ ἐπὶ τὰ λοιπὰ τῆς σημασίας εἴδη ὅσα μὴ συμπαρειλήπτεται τοῖς κυρίοις τε καὶ προσηγορικοῖς καὶ ἐπιθέτοις περὶ ὧν εἴδη φθάσαντες εἴπομεν. συμπαρειλημμένων σὺν τούτοις τῶν ὁμωνύμων τε καὶ συνωνύμων. φερωνύμων τε καὶ διωνύμων ἐπωνύμων τε καὶ ἐθνικῶν. περιεκτικῶν τε καὶ πεποιημένων. τῶν γενικῶν τε καὶ εἰδῶν καὶ ἀπολελυμένων, εἴπομεν περὶ τῶν λοιπῶν ἑκάστων, ἅτινα σύνταξιν ἰδικὴν ἔχει.

ΠΕΡΙ ΠΡΟΣ ΤΙ ΕΧΟΝΤΟΣ.

Τὰ πρός τι ἔχοντα, ἢ ἀπὸ εὐθείας πρὸς γενικήν, πρὸς ἃ τὴν σχέσιν ἔχει, ἀποδίδοται. ὡς τὸ αἴτιος τοῦ αἰτίου αἴτιος, ἢ ἀπὸ εὐθείας πρὸς δοτικήν. ὡς γὰρ ὁ φίλος, φίλῳ φίλος. ἢ πρὸς αἰτιατικήν. ὡς ὁ τύπτων γὰρ τυπτόμενον τύπτει. τὰ δὲ πρός τι ἔχοντα εἴτουν τὰ ἀλλήλοις ἐναντία, τὰς διεζευγμένας πρι

τα τοῦ πρωτοτύπου. οὐ γὰρ πρός τι ὡς τὰ συγκριτικὰ καὶ ὑπερθετικὰ λέγεται. παράγονται δὲ ἀπὸ κυρίων, καὶ ἀπὸ προσηγορικῶν. ἀπὸ μὲν κυρίων, ὡς ἀπὸ τοῦ ζηνόδωρος, ζηνᾶς. μητρόδωρος μητρᾶς. ἀπὸ δὲ προσηγορικῶν, ὡς ἀπὸ τοῦ ἄνθρωπος, ἀνθρωπίσκος. λίθος λίθαξ. παρθένος, παρθενίσκος. γίνονται δὲ τὰ ὑποκοριστικά, ἢ διὰ γελοῖον ὡς παρ' ἐπιχάρμῳ τὸ πριάμηος φαλλύδριον δι' ἀναγκαιότητα ὡς ἐὰν αἰτῇ τις σμικρύνει, ἵνα μὴ μεγάλην ποιήσῃς τὴν χάριν. ᾧ κέχρηνται οἱ τραγικοί. ὡς ἔχει τὸ παρὰ τῷ μενάνδρῳ λεβήτιον. ἢ διὰ τὸ πρέπον. ὡς παρ' ἀλκμᾶνι εὑρίσκομεν ταῖς παρθένοις ὑποκοριστικαῖς χρωμένας λέξεσι πρέπον γὰρ τοῦτο παρθένοις. σύνταξιν δὲ τὴν αὐτὴν τοῖς κυρίοις τε καὶ προσηγορικοῖς ἔχουσι, πρὸς τὰ ἐπίθετα ὁμογενῶς καὶ ὁμοιοπτώτως συντασσόμενα.

ΠΕΡΙ ΠΑΡΩΝΥΜΟΥ.

Τ αδὲ παρώνυμά τε καὶ ῥηματικὰ ἅτε διαφόρους ἔχοντα σημασίας οὐκ ἔτι τὴν ὀνομασίαν ἀπὸ τοῦ σημαινομένου εἰλήφασιν. ἀλλὰ ἀπὸ τῆς ἰδίας ὕλης ὅθεν ἔχει τὴν γένεσιν. τὰ μέν τι ἄλλα κατὰ τὴν φωνὴν εἴδη καὶ τὴν γένεσιν ἀπὸ τοῦ ὀνόματος ἔχουσι. καὶ παρώνυμα ὑπάρχουσι καὶ αὐτά. ἀλλ' οὖν ὡς ἔχοντα ἰδικὴν καὶ ἐξαίρετον σημασίαν ἀπ' αὐτῆς ἕκαστα ἐνομίσθησαν. τὰ γὰρ πατρωνυμικὰ ἀπὸ κυρίων μόνων παρηγμένα. τὰ δὲ κτη-

τοῖς ὑπερθετικοῖς μὴ ὄντα φύσει ὑπερθετικά. τὸ γὰρ παμπαλαίτατος κατὰ τὴν φωνὴν, ὅμοιον ἐστὶ τῷ κάλλιστος. οὐδὲν πλέον ἐστὶ τοῦ παλαιτάτου. Εἰδέναι δὲ δεῖ ὅτι τὰ συγκριτικὰ καὶ ὑπερθετικὰ πρὸς μὲν τὰ ὑποκείμενα, κύριά τε καὶ προσηγορικὰ, καθ' ὧν κατηγοροῦνται, συντάσσονται ὡς ἐπίθετα. ὁμοιογενῶς καὶ ὁμοιοπτώτως αὐτοῖς συνεκφερόμενα. πρὸς ἐκεῖνα δὲ ἃ τὴν σύγκρισιν ἔχει, γενικὴν ἀπαιτοῦσιν πτῶσιν. οἷον ἰσχυρότερος αἴαντος ἀχιλλεύς. σοφώτατος τῶν ἑλλήνων ὅμηρος. τοῦ σοφωτάτου τῶν ἑλλήνων ὁμήρου. τῷ σοφωτάτῳ τῶν ἑλλήνων ὁμήρῳ. ὦ σοφώτατε ἑλλήνων ὅμηρε. καὶ ἐπὶ τῶν δυϊκῶν καὶ πληθυντικῶν ὁμοίως. καὶ ἐπὶ τῶν ἄλλων γενῶν. Καὶ τοῦτο χρὴ ἐπίστασθαι, ὅτι τὰ μὲν ὑπερθετικὰ τὴν ἀπηρτισμένην καὶ ἀκροτάτην ἐπίτασιν ἔχοντα, οὐκ ἔτι προσλαμβάνει ἐπιτατικὸν ἐπίρρημα. τουτέστι λίαν ἢ σφόδρα. ἢ ἄγαν. μάλιστα μᾶλλον. πολύ. ἢ τοιοῦτόν ἐστιν. οὐ γὰρ λέγομεν λίαν τιμώτατος. τὰ δὲ συγκριτικὰ ἅτε τὴν τελειοτάτην ἐπίτασιν οὐκ ἔχοντα, ἔστιν ὅτε δευτέραν ἐπιρρήματι κἂν ἐπίτασιν ἐπιδέχονται. ὡς καὶ παρ' ὁμήρῳ. πολλὰ ἀρειότερον καὶ ῥηΐτερον. δὴ μᾶλλον ἔσεσθαι.

ΠΕΡΙ ΥΠΟΚΟΡΙΣΤΙΚΟΥ.

Τ ὰ δὲ ὑποκοριστικὰ, ἀπόλυτον ἔχουσι τὸ σχῆμα. καὶ τὸ σημαινόμενον, μείωσιν ἀσυγκρίτως δηλοῦν-

ΠΕΡΙ ΥΠΕΡΘΕΤΙΚΩΝ.

Τὰ δὲ ὑπερθετικὰ πρὸς γενικὴν μὲν ἔχει τὴν σύντα-
ξιν· πρὸς πλείους δὲ τὴν σύνταξιν ἔχει· ὁμοφυεῖς
τε καὶ ὁμοιογενεῖς, ἢ ὁμοίους κατὰ τὸν βίον, ἢ ἐπι-
τήδευμα, ἢ ἀξίωμα· οἷον σολομὼν σοφώτατος
τῶν ἀνδρῶν. ἠσαΐας μεγαλοφωνότατος τῶν προ-
φητῶν, σαμψών· ἀνδρειότατος τῶν ἀνδρῶν· εἰ δέ
που εὑρεθῇ τῶν σοφῶν σοφώτατον. ἢ ἄλλο τοιοῦτο
καταχρηστικῶς ἐλέχθη· λαμβάνεται δὲ πολλάκις
ὑπερθετικά, ἀντὶ ἁπλῶν· ὡς παρὰ τῷ ποιητῇ· πρω-
τίστῳ δίδομεν, καὶ τὸ τρίτατος, καὶ δικαιότατος
κενταύρων καὶ θεῶν ὀλοώτατος ἀντὶ τοῦ πρώτῳ
καὶ τρίτος, καὶ δίκαιος, καὶ ὀλοός· ὁμοίως καὶ τὸ
κάκιστος φίλων, ἀντὶ τοῦ κάκιστος ἐν φίλοις· χαρα-
κτῆρι γὰρ τὰ τοιαῦτα ὑπερθετικά, οὐ μήν τοι σημαι-
νομένῳ ὑπάρχουσι. τινὰ δὲ καὶ ἴσῳ λόγῳ παρα-
λαμβάνεται· ἐπεὶ ἐν διαφόροις πράγμασιν ἡ
αὐτὴ ὑπέρθεσις ᾖ, πρὸς τὰ ὑποτιθέμενα. οἷον ἀρί-
στη ἡ γραμματική· ἀρίστη καὶ ἡ ῥητορικὴ καὶ ἡ ἰα-
τρική· ἡ γὰρ ὑπέρθεσις ἐνταῦθα, οὐ πρὸς σύγ-
κρισιν ἑτέρου πράγματος. νοεῖται. ἀλλὰ πρὸς αὐ-
τὸ μόνον τὸ προκείμενον. ὥστε τὸ ἀρίστη ἀντὶ τοῦ
καλὴ παραλαμβάνεται. ἔνια δὲ καὶ ὀνομαστικώ-
τερα. ἀντὶ κυρίων τίθεται. ὡς ὁ φίλιστος, καὶ φανώ-
τερος καὶ καλλίστη, ταῦτα γὰρ ὑπερθετικὰ ὄντα.
εἰς κυρίων μετέπεσαν φύσιν. ἔνια δὲ καὶ ἐμφερῆ τῶν

μένου λέγεται, ἀλλὰ μεταφορικῶς καὶ καταχρηστικῶς λέγεται κοινότερον, ἐπὶ τοῦ ἤντιναοῦν ὑπεροχὴν πρός τινα ἔχοντος. τὸ δὲ νεώτερος πρεσβύτερος, τούτων μὲν συγκριτικὰ ὑπάρχει σημαινομένων δὲ ἁπλᾶ ἐστι· πρὸς γενικήν, μέντοι συντασσόμενα συγκριτικὰ γίνονται. ὡς καὶ παρ' ὁμήρῳ· ἄμφω δὲ νεωτέρω ἐστὸν ἐμεῖο, καὶ ἀπὸ μετοχῶν· ὡς ἀπὸ τοῦ ἐρρωμένος, ἐρρωμενέστερος, καὶ ἀπὸ τοῦ ἐπισταμένος ἐπισταμενέστερος, καὶ ἀπὸ προθέσεως ὡς ἀπὸ τοῦ πρὸ καὶ ὑπὲρ πρότερος καὶ ὑπέρτερος. καὶ ἀπὸ ἐπιρρημάτων. ὡς ἀπὸ τοῦ ἐγγὺς καὶ πόρρω καὶ ἄνω, ἐγγύτερος καὶ πορρώτερος καὶ ἀνώτερος. ἀπὸ δὲ ἄρθρων ἢ ἀντωνυμιῶν ἢ συνδέσμων, οὐ γίνεται, τὰ μὲν γὰρ ἄρθρα. μόνην ἀναφορὰν δηλοῦσιν. αἱ δὲ ἀντωνυμίαι ἅπερ δὴ ἀντὶ κυρίων καὶ ἀντὶ προσηγορικῶν λαμβανόμεναι οὐσίαν σημαίνουσιν. ἡ δὲ οὐσία μᾶλλον οὐκ ἐπιδέχεται, οἱ δὲ σύνδεσμοι, συνδεῖν τὴν φράσιν πεφύκασι. Γίνεται δὲ ἡ σύγκρισις ὁμοφυοῦς πρὸς ὁμοφυῆ, ἢ ὁμοτέχνου πρὸς ὁμότεχνον. ἢ ὁμοιογενοῦς πρὸς ὁμοιογενῆ, ἢ ἑτερογενοῦς πρὸς ἑτερογενῆ. γένος δὲ λέγω, τὸ ἀπὸ πατρὸς ἢ πατρίδος οἷον μενέλεως εὐφυέστερος τηλεμάχου. ὅμηρος σοφώτερος ὀρφέως. ἀριστοτέλης δεινότερος πλάτωνος. ἕκτωρ κρείττων σαρπηδόνος. πάτροκλος ἥσσων ἀχιλλέως ὀδυσσεὺς βελτίων ἀντινόου πρὸς ἑτερογενεῖς δέ, οἷον ἀχιλλεὺς ἰσχυρότερος τῶν τρώων.

ποιότητα, ἢ ποσότητα, ἢ πηλικότητα. ποιότητα μὲν, οἷον ξανθός. γλυκύς. λευκός. ἀφ᾽ ὧν τὸ ξανθότερος γλυκύτερος. λευκότερος. ποσότητα δὲ, οἷον ὀλιγώτερος. πλειότερος. πηλικότητα δὲ, οἷον παχύτερος θάσσων, μείζων. οὐ μέντοι ἀπὸ τοῦ ἀθάνατος. ἄφθαρτος. ἄκτιστος. γίνονται συγκριτικά. οὔτε μὴν ἀπὸ τοῦ φθαρτός. θνητός. καὶ κτιστός. οὔτε δὴ ἀπὸ τοῦ δοῦλος. τὰ τοιαῦτα γὰρ τὴν μᾶλλον ἐπίτασιν οὐκ ἀναδέχονται. οὐ γὰρ λέγομεν μᾶλλον θνητός. μᾶλλον ἀθάνατος. μᾶλλον δοῦλος. καὶ τὰ κτητικὰ δὲ ἤγουν τὰ ἀριθμητικά, οὐ ποιοῦσι συγκριτικά. τὸ γὰρ πρῶτος καὶ, δεύτερος οὐ ποιοῦσι πρωτότερος καὶ δευτερώτερος. ἐπεὶ τὴν σημασίαν ἀπόλλυσιν. εἰ γὰρ τὸ δεύτερον τάξιν ἔχον ἐπίτασιν δέξεται, οὐκ ἔτι μένει δεύτερον.

Ιστέον δὲ ὅτι ἕτερά εἰσι τὰ συγκριτικὰ καὶ ἕτερα τὰ τῆς συγκρίσεως ὀνόματα. τὰ γὰρ συγκριτικὰ δεικνύουσι τὴν τοῦ συγκρινομένου ποιότητα. ὡς λευκότητα τὸ λευκόν, καὶ ξανθότητα τὸ ξανθόν. τὰ δὲ συγκρίσεως ὀνόματα, οὐχ οὕτως, ἀλλ᾽ ἄδηλον ἔχει τὴν σύγκρισιν, καλλίων γὰρ ὁ κάλλους πλέον μετέχων. ἢ δυνάμεως ἢ τάχους, καὶ κρείσσων, ὁ κατά τι προέχων. ὁμοίως καὶ τὸ βελτίων. ἀμείνων. ἀρείων, καὶ τὸ χείρων καὶ ἐλάσσων. καὶ κρείσσων,, καὶ ἥσσων συγκρίσεώς εἰσιν ὀνόματα, καὶ τὸ φέρτερος καὶ τὸ βέλτερος. εἰ καὶ κυρίως μὲν ἀπὸ τοῦ φέρειν μᾶλλον. καὶ βάλλειν μᾶλλον δυνα-

ἀτρείδης μενέλαος. ὁ πριαμίδης ἕκτωρ. εἰ δὲ μὴ ὦσιν ἀδελφοί, οὐ χρεία προσθήκης κυρίου ὀνόματος. ἀρκούμεθα γὰρ τῇ πατρωνυμίᾳ. οἷον ὁ πηλείδης ἐφόνευσεν ἕκτορα. ὁ μενοιτιάδης ἀπέκτεινε σαρπηδόνα. τὰ γὰρ πατρωνυμικὰ αὐτόθεν ἔχει τὴν σημασίαν. κἄν τε μήτε τὸ υἱὸς ἐπάγοιτο, μήτε τοῦ παιδὸς κύριον ὄνομα ὡς προείρηται.

Τὰ δὲ κτητικὰ οὐχ οὕτως. ἀλλ᾽ ἀνάγκη προσυπακούεσθαί τι αὐτοῖς. εἰ γάρ τις φαίη πλατωνικὸς μὴ προσυπακουομένου τοῦ νόμος, ἢ χιτὼν ἢ ἄλλο τι πρᾶγμα ἀτελές ἐστι. διὸ ἀναγκαίως δεῖ ἐπιφέρειν τοῖς κτητικοῖς ἢ προσηγορικοῖς, προσηγορικὰ ἢ κύρια. οἷον ὁμηρικὸς λόγος. νήλειος ἵππος βασιλεικὸς δῆμος. βασίλειος δρόμος. ποτάμιος ἰχθύς. παράγονται δὲ τὰ κτητικὰ ὀνόματα, ἀπὸ κυρίων. ἢ ἀπὸ προσηγορικῶν. ἀπὸ κυρίων μὲν ὡς ἀχίλλειος. ὀδύσσειος. πριαμικός. ἀπὸ δὲ προσηγορικῶν ὡς ἀνθρώπειος, ἀνθρωπικός. ἵππειος. ἱππικός. ὁμοιοτρόπως δὲ καὶ ὁμοιογενῶς τοῖς κυρίοις καὶ προσηγορικοῖς, ὥσπερ τὰ ἐπίθετα συντάσσονται.

ΠΕΡΙ ΣΥΓΚΡΙΤΙΚΩΝ.

Τὰ δὲ συγκριτικὰ πρὸς γενικὴν μὲν ἔχει τὴν σύνταξιν. παράγονται δὲ ἀπὸ τῶν τριγενῶν ὀνομάτων, ὅσα δύνανται τὴν τοῦ μᾶλλον ἐπίτασιν ἀναδέξασθαι. οἷον μᾶλλον λευκός. μᾶλλον ταχύς. μᾶλλον ὀλίγος. μᾶλλον παχύς. ἅπερ σημαίνει

μενα πρὸς μὲν τὰ προσηγορικὰ, ἢ κύρια τασσόμενα τάξιν ἀντιθετικὴν ἔχει. οἷον ὁ ἄναξ ἀνὴρ, ἡ ἄνασσα γυνή. ὁ βασιλεὺς κωνσταντῖνος. ἡ βασίλισσα, καὶ ἡ βασιλὶς ἑλένη. ὁ προφήτης ἄνθρωπος, καὶ ἡ προφῆτις ἄνθρωπος. ὁ προφήτης σαμουὴλ, καὶ ἡ προφῆτις ἄννα. ἐπιθέτοις δὲ συμπλεκόμενα, προσηγορικὰ γίνεται. οἷον ὁ καλὸς βασιλεὺς, καὶ ἡ καλὴ βασίλισσα, καὶ ἡ βασιλὶς, ὁ εὐκλεὴς πολίτης. καὶ ἡ εὐκλεὴς πολίτης. ἔστι δ᾽ ὅτε ἐπίθετα τὰ αὐτὰ καὶ προσηγορικὰ γίνονται. ἐπίθετα μὲν συμπλεκόμενα τοῖς κυρίοις ὀνόμασι. προσηγορικὰ δὲ συμπλεκόμενα τοῖς ἐπιθέτοις. τῇ μὲν ὑποκείμενα. τῇ δὲ ἀντιθέμενα. οἷον ὁ δίκαιος σοφὸς, ὁ μέγας πρόμαχος. ταῦτα δ᾽ ἢ ἐπίθετα, πολλάκις προσηγορικὴν καὶ ἀντιθετικὴν σύνταξιν ἐπέχουσιν. ἀλλήλοις ὑποκείμενά τε καὶ ἀντικείμενα, καὶ ἀντιθέμενα. ὁ δίκαιος σοφός. ὁ μέγας σοφός. ὁ σοφὸς δίκαιος. ὁ μέγας δίκαιος. ἡ μεγάλη δικαία.

Τὰ πατρωνυμικὰ δυνάμει κύρια εἰσὶν, ὅθεν καὶ σύνταξιν ἔχουσιν ὁμοίαν τῇ συντάξει, τῶν κυρίων. ἐπιθέτοις τιθέμενα, οἷον ὁ γενναῖος πηλείδης. τοῦ γενναίου πηλείδου. τῷ γενναίῳ πηλείδῃ.

Ιστέον δὲ ὅτι τοῖς πατρωνυμικοῖς ἐνδέχεται τὰ τῶν παίδων ὀνόματα συντάττειν καὶ μή. εἰ γὰρ ἀδελφῶν ὄντων πολλῶν, τινὰ τούτων χωρὶς σημᾶναι βουλοίμεθα, τῷ πατρωνυμικῷ παρατίθεμεν τὸ τοῦ παιδὸς κύριον ὄνομα. οἷον ἁ

καὶ τὸ γύναιον. εἰ καὶ τῇ σημασίᾳ ἐστὶ θηλυκὸν, ἀλλ᾽ ἐπειδὴ τῇ φωνῇ ὅμοιόν ἐστι τῷ σπήλαιον, οὐδ᾽ ἑτέρῳ ὀνόματι, οὐδέτερον αὐτὸ ἐποίησαν.

Τὰ τοίνυν ἐπίθετα ὁμοιογενῶς καὶ ὁμοιοπτώτως τοῖς κυρίοις τε καὶ προσηγορικοῖς συντάσσεται δι᾽ ὅλων πτώσεων καὶ ἀριθμῶν, ἐὰν γὰρ ὦσι τὰ κύρια, ἢ τὰ προσηγορικὰ ἢ ἀρσενικὸν ἢ θηλυκὸν, ἢ οὐδέτερον ὁμοίως καὶ τὰ ἐπίθετα σχηματίζονται. οἷον ἀρσενικὸν μὲν ὁ σοφὸς ὅμηρος. τοῦ σοφοῦ ὁμήρου. τῷ σοφῷ ὁμήρῳ. ὦ σοφὲ ὅμηρε, καὶ ἄχρι δυϊκῶν καὶ πληθυντικῶν ἔφαμεν. θηλυκὸν δὲ οἷον ἡ σοφὴ καλλιόπη. τῆς σοφῆς καλλιόπης, καὶ τὰ ἑξῆς μέχρι καὶ κλητικῆς τῶν πληθυντικῶν, καὶ ἐπὶ οὐδετέρων τε ὡσαύτως οἷον τὸ σοφὸν παιδίον. τοῦ σοφοῦ παιδίου. τῷ σοφῷ παιδίῳ. τὸ σοφὸν παιδίον. ὦ σοφὸν παιδίον. ὁμοίως καὶ τὰ ἄλλα ἐπίθετα ὁποίας ἂν ποτε εἴη καταλήξεως, οἷον ὁ εὐγενὴς ἡ εὐγενὴς, καὶ τὸ εὐγενὲς, ὁ ταχὺς, ἡ ταχεῖα, τὸ ταχύ. ὁ σώφρων, ἡ σώφρων, καὶ τὸ σῶφρον, ὁ εὔγηρος, ἡ εὔγηρως, καὶ τὸ εὔγηρων. ὁ λιπόπατρις, ἡ λιπόπατρις, τὸ λιπόπατρι. ὁ φωνήεις, ἡ φωνήεσσα, τὸ φωνῆεν. ὁ χαρίεις, ἡ χαρίεσσα, τὸ χάριεν.

Ἔστι δ᾽ ἔτινα ἐπίθετα μόνον διγενῆ, ἃ ποτὲ μὲν ὡς προσηγορικὰ λαμβάνονται. ποτὲ δὲ ὡς ἐπίθετα. οἷον ὁ φυγὰς, καὶ ἡ φυγάς. ὁ ἐθὰς, καὶ ἡ ἐθάς. ὁ πολίτης, καὶ ἡ πολίτης. ὁ ἄναξ, καὶ ἡ ἄνασσα. ὁ βασιλεὺς, καὶ ἡ βασίλισσα, καὶ ἡ βασιλίς. καὶ ταῦτα

συμπαραληφθήσεται κατὰ σημασίαν τοίνυν τῶν ὀνομάτων διαιρουμένων εἰς κύριά τε καὶ προσηγορικὰ καὶ ἐπίθετα. τὰ μὲν κύρια ἀεὶ μονογενῆ εἰσί. καὶ ἢ ἀρσενικὰ μόνον ἢ θηλυκά. οἷον ὁ ὅμηρος, ἡ καλλιόπη. τῶν δὲ προσηγορικῶν, ὅσα μὲν ζώων ἐστὶ σημαντικά, ὡς ἐπὶ τὸ πλεῖστον κοινὰ τῷ γένει καθέστηκεν. εἰσὶ γοῦν ἀρσενικὰ καὶ θηλυκά. ἔνια δὲ ἐπίκοινα. κοινὰ μὲν οὐκ ἔστιν. ὅταν ἡ αὐτὴ φωνὴ, μετὰ τοῦ αὐτοῦ ἄρθρου. οἷον ἡ χελιδὼν, μετὰ ἀρσενικοῦ καὶ θηλυκοῦ προφέρεται, διαστέλλοντες δὲ τὸ ἄρθρον ἀπὸ τοῦ θήλεος, λέγομεν οὕτως. ὁ ἀετὸς ὁ ἄρσην, καὶ ὁ ἀετὸς ἡ θήλεια. Τὰ δὲ ἐπίθετα ἀεὶ τριγενῆ εἰσιν. ὡς κατηγορικὰ τῶν κυρίων τε καὶ προσηγορικῶν. Ἰστέον δὲ ὅτι οἱ παλαιοὶ ὀνοματοθέται, τὰ γένη τῶν σημαινομένων ἐποίουν. ὅτε μὲν γὰρ τὸ ὄνομα κυρίως ἄρσεν ἐδήλου, ἀρσενικὸν αὐτὸ ἐποίουν. ὅτε δὲ θῆλυ, θηλυκόν. ἡνίκα δὲ μήτε ἄρσεν μήτε θῆλυ, οὐδέτερον αὐτὸ ἐτίθεσαν. τουτέστιν, οὔτε ἓν τῶν δύο σημαῖνον, οὔτε ἄρσεν οὔτε θῆλυ. οἱ δὲ τῶν ἀρχαίων ὀνοματοθετῶν μετὰ γενέστεροι, πρὸς τὴν φωνὴν ἐποίησαν τὰ γένη. ὁρῶντες γὰρ τὸ κάλαμος, κατὰ τὴν φωνὴν ὅμοιον τῷ, ἄνθρωπος, εἰ καὶ τῇ σημασίᾳ ἐστὶν οὐδέτερον, ἀρσενικὸν αὐτὸ ὠνόμασαν τὸ ὁ ἄνθρωπος, ὁμοίως τὸ ἀλή. εἰ καὶ τῇ σημασίᾳ ἐστὶν οὐδέτερον. ἀλλ᾽ ἐπειδὴ ἰσοκαταληκτεῖ τῷ ἑλένη ὀνόματι θηλυκὸν χαρακτῆρα ἔχοντι, κατὰ μίμησιν θηλυκὸν αὐτοὶ πεποιήκασιν. ὁμοίως

ῥυθμὸν σύνθεσιν καὶ κατάλληλον τεχνᾶται φράσιν. ὃν τρόπον ὁ τέκτων ἀπὸ τῶν ξύλων πρίζων τε καὶ πελεκῶν σπάρτῳ τε καὶ στάθμῃ ἐξομαλίζων καὶ κατιθύνων τοιόνδε ἢ τοιόνδε τῶν τεκτονικῶν ἐπιτηδευμάτων τεκταίνεται. εἴπωμεν οὖν πρῶτον πῶς συντάσσεται τὸ ὄνομα πρὸς ἑαυτῷ τε καὶ πρὸς τὰ λοιπὰ μέρη τοῦ λόγου.

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΟΝΟΜΑΤΩΝ ΔΙΑΦΟΡΑΣ.

Τῶν ὀνομάτων, ἔστι μὲν καὶ κατὰ φωνὴν εἴδη. ἔστι δὲ καὶ κατὰ σημασίαν. τὰ μὲν κατὰ φωνήν, πρωτότυπον καὶ παράγωγον. ὅπερ διαιρεῖται εἰς πατρωνυμικόν. κτητικόν. συγκριτικόν. ὑπερθετικόν. ὑποκοριστικόν. παρώνυμον, καὶ ῥηματικόν. τὰ δὲ κατὰ σημασίαν κύριον. προσηγορικόν. ἐπίθετον. πρός τι ἔχον, καὶ τὰ ἑξῆς ὧν σημαντικαὶ εἰσὶν αἱ φωναί. εἴτε πρωτότυπα τυγχάνοιεν, εἴτε παράγωγα, πᾶσα γὰρ φωνὴ πάντως, ἢ πρωτότυπός ἐστιν ἢ παράγωγος. Ἐπεὶ οὖν ἡ τοῦ λόγου σύνταξις εὐάρμοστον καὶ κατάλληλον. συναρμόζουσα λέξεων παράθεσιν ἐκφαντικὴν ἁρμονίαν ἐνθυμημάτων τε καὶ πραγμάτων σημαίνειν. ἐπείγεται, ἀπὸ τῶν κατὰ σημασίαν τοῦ ὀνόματος εἰδῶν τὴν αὐτοῦ πρὸς ἑαυτό τε καὶ τὸ ῥῆμα, καὶ πρὸς τὰ ἄλλα τοῦ λόγου μέρη σύνταξιν, κανονίζειν ἀρξόμεθα. πάντως γὰρ τούτοις καὶ τὰ εἴδη τῆς φωνῆς

συμ-

στίχος, πρὸς δέ με τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέαιρεν. ἕκαστος δὲ τούτων ἐστὶ λόγος σύνθετος τέλειος. ἔχων σύνθεσιν διάνοιαν αὐτοτελῆ δηλοῦσαν.

Περὶ τούτου τοίνυν τοῦ κατὰ σύνταξιν λόγου.

Ε στιν ἡμῖν ὁ λόγος, ὃς ἀπὸ δευτέρου τοὐλάχιστον σύγκειται μερῶν. εἰ γὰρ καὶ μονομερὴς γίνεται λόγος τέλος διάνοιαν αὐτοτελῆ δηλῶν, οἷον ἐποίησα ἔγραψα, ἀλλ' οὖν ἀκούεται ἔξωθεν ἡ οὐσία ἡ ποιήσασα καὶ ἡ γράψασα. τὸ γὰρ ὄνομα, ὡς οὐσία ἐστί. τὸ δὲ ῥῆμα, ὡς συμβεβηκὸς περὶ τὴν οὐσίαν γινόμενον. πάντως γὰρ ἡ οὐσία ἐστὶν ἡ ἐνεργοῦσα τὴν πάσχουσα. οἷον ἵππος τρέχει. ἵππος δέδεται. τὸ δὲ ῥῆμα, σημαίνει τὴν πρᾶξιν καὶ τὸ πάθος.

Ε πειδὴ δὲ πᾶσα τέχνη λογικὴ καὶ πραγματικὴ ὑποκείμενον ἔχει καὶ τέλος, οἷον ἡ φιλοσοφικὴ ὑποκείμενον ἔχει πάντα τὰ ὄντα, τέλος δὲ τὸ ὁμοιοῦσθαι θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ, ἡ ἰατρικὴ περὶ τὰ ἀνθρώπινα σώματα καταγινομένη, τέλος ἔχει τὴν ὑγίειαν, ἡ τεκτονικὴ τὰ ξύλα ὑποκείμενον καὶ τὴν ὕλην. τέλος δὲ τὸ κατασκευάζειν θύραν. σκάμνον. τοῖχον. ἢ ὁποιοῦν τῶν τοιούτων. ὁμοίως δὲ καὶ ἡ γραμματικὴ ὑποκείμενον καὶ ὕλην ἔχει. τὰ ὀκτὼ μέρη τοῦ λόγου. ὄνομα. ῥῆμα. μετοχήν. ἄρθρον. ἀντωνυμίαν. πρόθεσιν. ἐπίρρημα. σύνδεσμον. τέλος δὲ τὸ εὖ λέγειν. καὶ τὸ εὖ γράφειν, καὶ τὸ εὖ τάσσειν τὸν λόγον. ἐκ γὰρ τούτων τῶν μερῶν ὁ γραμματικὸς συντάσσων, τέλειον λόγον. εὖ

καθ' ὃν λογικοὶ καὶ διανοητικοί ἐσμεν. λέγεται λόγος καὶ ἡ φροντίς. ὡς ὅταν λέγωμεν οὐκ ἔστι λόγου ἄξιος. οὐ ποιοῦμαι αὐτοῦ λόγον. λέγεται λόγος καὶ ὁ ἀπολογαριασμός. ὡς ὅταν λέγωμεν, ὁ ἡγεμὼν πρὸς τοὺς αὐτοῦ ἐπιτρόπους ἔχει λόγον. λέγεται λόγος καὶ ἡ ἀπολογία. ὃν τρόπον λέγομεν, ἔδωκε περὶ τούτου λόγον. λέγεται λόγος ὁ καθόλου. ὁ περιέχων ἐν ἑαυτῷ πᾶσαν λέξιν. καθ' ὃ σημαινόμενον πᾶν μέρος λόγου ἤτοι ὄνομα ῥῆμα μετοχὴ καὶ τἆλλα μέρη, λόγος λέγεται.

Πάλιν λόγος λέγεται, ὁ ὅρος. ὡς ὅταν λέγωμεν ἀπόδος τὸν τοῦ ζώου λόγον. οἷον οὐσία ἔμψυχος αἰσθητική. λέγεται λόγος καὶ ἡ αὐτοτελῆ διάνοιαν δηλοῦσα τῶν λέξεων παράθεσις. τουτέστιν, ὁ κατὰ σύνταξιν λόγος. ὃς καὶ μερικὸς γίνεται. ἤτοι μονομερὴς καὶ διμερὴς καὶ τετραμερής. ἔστι δ' ὅτε καὶ ἀπὸ τῶν ὀκτὼ μερῶν τοῦ λόγου συνιστάμενος. μονομερὴς μὲν οἷον τρέχω. περιπατῶ. ἔρχομαι. καθέζομαι. διμερὴς δὲ, οἷον πλάτων διαλέγεται, ἀριστοτέλης φιλοσοφεῖ. τριμερὴς δὲ, οἷον δίων δουλεύοντας τύπτει θέων μαθητευομένους διδάσκει. τετραμερὴς δὲ, οἷον, ἀχιλλεὺς ἐμαχήσατο τῷ βασιλεύοντι. πενταμερὴς δὲ, οἷον μενέλαος δὲ τῷ ἠδικηκότι ἐμονομάχησεν. ἑξαμερὴς δὲ, οἷον ἐγὼ μὲν ἔμφοβος τοῖς καθυδοῦσι συνηγόρουν. ἑπταμερὴς δὲ οἷον ἐκεῖνος δὲ πρὸς τοὺς ἠθροισμένους ἄνδρας διηγέρθη. ὀκταμερὴς δὲ, οἷον ὡς ὁ ὁμηρικὸς

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΛΕΚΑΠΗΝΟΥ ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ ΤΩΝ ΡΗΜΑΤΩΝ.

Περὶ τῆς συντάξεως τοῦ λόγου διδασκαλία, πολλή τε καὶ βαθεῖα καθέστηκε φιλομαθέστατε λάζαρε, καὶ πολλοῦ δεομένη χρόνου. καὶ μείζονος ἢ τῆς καθ' ἡμᾶς δυνάμεως. πολλὰ γὰρ περὶ αὐτῆς τοῖς ἀρχαίοις διαπεπόνηται. ἀπολλωνίῳ τε τῷ σοφωτάτῳ τῷ ἐπίκλην δυσκόλῳ. καὶ ἡρωδιανῷ τῷ πολυμαθεστάτῳ καὶ ἀπολλωνίῳ τῷ νέῳ, καὶ τοῖς ἀττικισταῖς, καὶ ἀρκαδίῳ τῷ βυζαντίῳ. ὧν ταῖς πραγματείαις εἰ ἐντετυχηκὼς, θαυμάσεις αὐτῶν τὸ πολυμαθὲς καὶ τοῦ ἑλληνισμοῦ τὴν ὑγιᾶ καὶ κατάλληλον χρῆσιν. καὶ τὴν ἀκριβῆ καὶ πολύτροπον καὶ πολυσχήμονα πάσης τῆς ἑλληνικῆς διαλέκτου ποικιλίαν. ὅμως οὖν ὡς οἷόν τέ ἐστι σὺν θεῷ τῷ σοφωτάτῳ γοῦν τι πειράσομαι. σύντομόν σοι ποιήσασθαι μέθοδον εὔρυθμον χάριν ὁμιλίας ἀρτίσαντι καὶ τοῦ ἔχειν εἰς μνείαν τῆς περὶ ἡμᾶς διαθέσεως, ὅμηρά τε καὶ ἐχέγγυα.

Ἐπειδὴ δὲ περὶ λόγου εἰπεῖν προεθέμεθα, δέον εἰδέναι πρότερον ποσαχῶς ὁ λόγος εἴρηται. ἔστι γὰρ ὁμώνυμος φωνὴ κατὰ πολλῶν σημαινομένων φερομένη. λέγεται γὰρ λόγος ὁ ἐνδιάθετος λογισμὸς

στὸν, ὄγχον τόδε ἔτος καταριθμοῦντες. προφητῶν
μὲν γὰρ ἴσως καὶ ταῦτα ἄμεινον δὲ τιμῶντας χριστὸν,
ἀπ' αὐτοῦ ἄρχεσθαι, καθάπερ οἱ νῦν ὄντες ῥωμαῖοι
ἄγουσι χιλιοστὸν τετρακοσιοστὸν ἑβδομηκοστὸν τόδε
διαριθμούμενοι ἔτος. καίτοι τῶν πάλαι ῥωμαίων ἀ-
πὸ κτίσεως ῥώμης ἀριθμούντων. ὥσπερ ἀθηναῖοι μὲν
ἀπὸ ὀλυμπιάδος πρώτης. ἄλλοι δὲ ἀπὸ τῶν τρωϊ-
κῶν. περὶ μὲν οὖν τῶν μηνῶν ταύτῃ διωρίσθω τῶν
λογίων χάριν ἀνδρῶν. εἴ τις ἄρα ἐλπὶς, διάλεκτον
τοῖς ἐπιγινομένοις ἔσεσθαι ἑλληνικὴν, ἀλλὰ μὴν ὡς
ἄλλων πάλαι ἐθνῶν. καὶ τοῦ ἑλληνικοῦ νῦν παντὸς
ἐκ γένους καὶ λόγου, τελευτὴν εἵμαρται εἶναι.

ΜΑΡΤΥΡΕΣ ΤΩι ΛΟΓΩι.

Βασίλειος	Πλήθων	Αὖλος ῥωμαῖος
Ἀριστοτέλης	Γαληνὸς	Μακρόβιος ῥω-
Θεόφραστος	Δημοσθένης	μαῖος
Στράβων	Αἰσχίνης	Πλίνιος ῥωμαῖος
Πλούταρχος	Θουκυδίδης	Ἀριστοφάνης
Σιμπλίκιος	Ἡρόδοτος	Πολυδεύκης
Συνέσιος	Καῖσαρ ὁ θεὸς	Σουίδας.

φιστάντες ἱκανῶς τοῦ μέσου, ἀκούουσι. μηδενὸς δ' ἄρα τῶν συγγραφέων ἀποσαφοῦντος ὁπότε τῆς νυκτὸς ὁ θεὸς ἀνεβίω, ἔοικε μὲν ἀσφαλεστέρως ἂν ἔχειν εἴ τις ἀπ' ἄκρας νυκτὸς τιθεῖτο τὴν τῆς ἡμέρας ἀρχήν. συμβαίνει γὰρ οὕτως ἐξ ἐπιμέτρου τὸ μετὰ τὴν μέσην. οἷς δ' ἐπὶ τούτῳ μόνον ὁ λόγος βέβηκεν. οὐ μᾶλλόν τι θάρρος ἐπιτυγχάνειν. ἢ κίνδυνον παραναστατεῖν. Ἄτοπον μέντοι γε ἕτερον αὖ ἀκολουθήσει θεμένοις ἀκρόνυχον τὴν ἀρχήν, τὸ τῇ ὑστεραίᾳ νόμιμον ὂν ἐσθίειν κρεῶν ἐξεῖναι κρεωφαγεῖν ἀπ' ἄκρας τῆς ἡγουμένης νυκτός. καὶ πάλιν ἀπηγορευμένον αὖ, μὴ ἐξεῖναι δεῖπνον ἐκ κρέατος τῆς αὐτῆς ταύτης νυκτός γε ἑλέσθαι. περὶ τούτου μὲν οὖν εἰσαῦθις ἐπισκεπτέον ἐστὶ βέλτιον. καὶ τοὺς περὶ ταῦτα δεινοὺς παρακαλέσαντας συμβουλεύσασθαι, καλῶς ἔχει. δεῖ γὰρ τὴν σκέψιν οὕτω ποιεῖσθαι. ὡς μήτε συμβαίνειν ἐκ τοῦ λόγου ἐναντίον τοῖς ὁσίοις μηθέν, εὐαγῶς τε τῆς ἡμέρας κατάρχειν, τοῦ θεοῦ χάριν.

ΟΘΕΝ ΑΡΙΘΜΗΤΕΟΝ ΤΟΥΣ ΧΡΟΝΟΥΣ.

Ο σπου δὲ καὶ τοὺς χρόνους ἀριθμεῖν ἀπὸ γενετῆς τοῦ αὐτοῦ θεοῦ. ἀλλὰ μὴ ὡς οἱ νῦν Ἕλληνες ἀπὸ κόσμου γενέσεως, ἑξακισχιλιοστὸν ἑνακοσιοστὸν ἑβδομηκο

γῷ καὶ τοῦτο. ἀθηναῖοι μὲν ἀφ' ἡλίου δυσμῶν ἦγον, τὴν νύκτα τὴν μετ' αὐτὴν ἡμέρα λογιζόμενοι καὶ τὸν μεταξὺ χρόνον μέχρι τῶν ἑτέρων δυσμῶν, μίαν τι θέμενοι ἡμέραν. ὥς Αὖλος ῥωμαίων λόγιος μάρκον βάρωνα ἀναγεγραφέναι φησί. ῥωμαῖοι δὲ οἱ μὲν ἀρχαῖοι ἀπὸ μέσων νυκτῶν ἤρχοντο οἷς καὶ πλήθων ἑπόμενος ἀρχὴν ταιαύτην ποιεῖται. οἱ νῦν δὲ ἀφ' ἡλίου ἀνίσχοντος ἄγουσι παραπλησίως δὲ καὶ οἱ νῦν ἕλληνες. καίτοι τοὐναντίον ἐχρῆν σύμπαντας τούς γε ἀπὸ χριστοῦ ποιεῖσθαι, χαριζομένοις τῷ ἀρχιγέτῃ οὕτω γὰρ μόνον ἔσται τριταῖον ἀναβιῶναι αὐτὸν τεθνεῶτα. ἐὰν ἡ τῆς ἡμέρας ἀρχὴ λαμβάνηται ἤτοι ἀπ' ἄκρας νυκτὸς ὡς ἀθηναῖοι ἦγον. ἢ ἀπὸ μέσης, ὡς ῥωμαῖοι. πότερον δὲ οὐ ῥᾴδιον ἀποφήνασθαι. οἱ μὲν γὰρ περὶ τὸν ἄθων θεολόγοι κατὰ μέσην ἀκριβῶς νύκτα γενέσθαι τὴν ἀναβίωσιν ἐξηγοῦνται. καὶ τῶν ἀναστατικῶν ἄρχονται ὀργίων εὐθὺς ἀπὸ μέσων νυκτῶν λόγος δ' αὐτῶν ὅτι τὰς εἰς τὸ μνῆμα ἀφικομένας γυναῖκας ἐπαμείψασθαι τὰ νενομισμένα, ὄρθρου μὲν ἔτι βαθέος παραγενέσθαι μὴ εὑρηκέναι δὲ τὸν νεκρὸν οἱ περὶ Λουκᾶν τῶν εὐαγγελιστῶν γεγράφασιν ἱστοροῦντες. τὸ γὰρ τοῦ ὄρθρου βαθὺ τὸ ἐγγύς που τῆς μέσης νυκτὸς μηνύειν ὑπολαμβάνουσιν. ἅμα δὲ καίτι πλέον ὑπολαμβάνοιτ' ἂν οὕτω τῆς τρίτης ἡμέρας. τὸ δὲ πλέον, σημεῖον δὴ τῆς τριάδος ἐστὶν ἐναργέστερον. τῶν δ' ἰταλιωτῶν οἱ περὶ τὴν ῥώμην, μετὰ μέσην που νύκτα φασί, καὶ τὸ βαθύ, ἀ

σα τάξιν ὀκτάς. ὁμοίως ἐφοδευομένη, πληροῖ τὴν τῆς ὅλης καὶ αὐτοτελοῦς περιόδου ἀποκατάστασιν, εἰς νουμηνίαν ἀποκαθιστᾶσα τοῦ ἑκατομβαιῶνος. Καὶ ἀεὶ οὕτως περιΐστανται αἱ τροπαί, ὁμολόγως τοῖς μησὶν ἔχουσι. προστιθεμένων καὶ τῶν ἐπιτρεχόντων μορίων, ὅπως ἂν ἄμεινον δοκῇ προστιθέναι. θεωρείσθω δὲ ταῦτα κἀπὶ τῆς ἐκτεθείσης διαγραφῆς. ταῦτα μὲν ἐκ τούτων θεωρείσθω, ὅτῳ ἐπιμελές. εἰδέτω φίλον καὶ κατὰ πλήθωνα διαιρεῖν τι καὶ ἀριθμεῖν, οὐδ' αὐτῷ τι κωλύει χρῆσθαι τῇ τάξει τε καὶ ὀνομασίᾳ τῶν μηνῶν τῇ ἀποδοθείσῃ, καὶ πλήθων οὕτω διονομάζων περὶ μηνῶν ἔγραφεν. εἰ παρ' ἄλλου λαβεῖν τὴν πρὸς ἀλλήλους σύνταξιν τῶν μηνῶν εἶχεν ὀρθῶς. οὐθὲν γὰρ αὐτῷ οὔτε τὰς ἱερομηνίας οὔτε τῶν ἡμερῶν τὴν καταρίθμησιν ἐλυμαίνετ' ἂν εἴ γε τῶν μηνῶν ὀνομασίᾳ ὡς ἀθηναῖοι ἐχρῆν. ἐῶ λέγειν, ὡς καὶ ἐσέμνυνεν ἂν κομιδῇ ἐπικοσμοῦσα τὸ γράμμα. νῦν δ' ὅδε τὸ μὲν ἄτοπον ἡμῖν. τῆς ἐκφορᾶς τῶν ῥωμαϊκῶν ὀνομάτων φεύγων. ἰανουάριον καὶ φεβρουάριον καὶ τὰ τοιαῦτα οὐκ ὀνομάζει. ἀπορῶν δὲ τὴν σύνταξιν τῶν ἑλληνικῶν καὶ τὸ περὶ τὴν ζήτησιν ταλαίπωρον εὐλαβούμενος, ἐπὶ τὸ πρόχειρον τρέπεται τοῦ ἀριθμοῦ.

ΠΕΡΙ ΑΡΧΗΣ ΤΗΣ ΗΜΕΡΑΣ.

Ημέρας δ' ἀρχήν. συγγενὲς γὰρ τῷ περὶ μηνῶν λό-

νουμηνίᾳ τὴν τροπὴν εἶναι τῷ πρώτῳ ἔτει. οὐκοῦν τῷ δευτέρῳ, δευτέρᾳ ἐπὶ δέκα. Τούτῳ δ' ἐπαχθέντος τοῦ ἐμβολίμου, αὐτό τε συμπεπλήρωται καὶ ἡ τροπὴ ὀγδόῃ τοῦ ἐμβολίμου φθίνοντος ὑπάρχει, τῷ ἐπιόντι, καὶ, περιττὰ ὀκτώ. Δεῖ δὲ ἕνδεκα. οὐκοῦν εἰς τετάρτην ἱσταμένου τοῦ ἑκατομβαιῶνος ἐπανήκει τῷ ἑξῆς ἡ τροπή. εἶτα εἰς πέμπτην ἐπὶ δέκα τῷ ἐχομένῳ πρόεισι. τοῦτο δ' αὖ ἐμβολάζον εἰς πέμπτην τοῦ ἐμβολίμου φθίνοντος καθίστησι τὴν τροπὴν τῷ ἐπιόντι, καὶ περιττὰ πέντε. ὡς τό γε ἐφεξῆς δή, ἑβδόμῃ ἱσταμένου τοῦ ἑκατομβαιῶνος, τροπιάσει. Καὶ ὀγδόῃ ἐπὶ δέκα τὸ μετ' αὐτό. τούτου δὲ πάλιν ἐμβολάζοντος, ἡ τροπὴ δευτέρᾳ τοῦ ἐμβολίμου φθίνοντος ἔσται τῷ ἐπιόντι καὶ περιττὰ δύο. τῷ ἄρα ἑξῆς εἰς δεκάτην τοῦ ἑκατομβαιῶνος περιΐσταται ἡ τροπὴ καὶ τῷ ἐπὶ τούτῳ εἰς δεκάτην δὴ φθίνοντος. τουτὶ δ' ἐμβόλαζον, τελευταῖον τῆς πρώτης ἑνδεκάδος, εἰς δευτέραν ἱσταμένου τοῦ ἑκατομβαιῶνος ἀποκαθίστησι τὴν τροπήν. περιττὴ γὰρ μὲν μηδεμίαν ὑπολεῖπον. μιᾶς δ' ἔτι δέον. Αὕτη μὲν οὖν πρώτη ἑνδεκὰς καὶ περίοδος ἐν μέρει καὶ ἀτελής. ἀρχομένη μὲν ἀπὸ νουμηνίας τοῦ ἑκατομβαιῶνος, τελευτῶσα δὲ εἰς δευτέραν ἱσταμένου. δι' ἑπτάδος ἰβα γένους δηλαδὴ βουθουμένης τετράδος ἐμβολιμαίων ἐτῶν. Δευτέρα δὲ ὁμοία εἰς τρίτην ἱσταμένου ἀποκαθίστησι τὴν τροπήν. τρίτην δ' ἔχου-

ἑβδομήκοντα ἐπὶ τῶν ἀριθμῶν. ἦ τοῦτο μὲν ἴσως δεῖ ἐπισκέψεως, πῶς ἂν θατέρῳ ἀεὶ τῶν ἐτῶν ἐπεμβαλλομένων τριάκοντα ἡμερῶν, συμβαίνοι τοὺς μῆνας ὁμολογεῖν ταῖς ὥραις ἀεί. ἐπεὶ δὲ μάτην ἂν γίνοιτο διὰ πλειόνων τὸ δι' ἐλασσόνων δυνάμενον γίνεσθαι, γίνοιτο δ' ἂν δι' ἐλασσόνων, εἰ διὰ τετάρτου, ταύτῃ γινόμενον δὲ ἂν ἔχοι. ληφθέντων μὲν τῶν μηνῶν καθ' ἃ εἴρηται, ἐπεμβαλλομένων δὲ τριάκοντα ἡμερῶν τῷ τρίτῳ ἔτει ἀεί. τοῦτο δ' ἐστὶ παρὰ δύο γίνεσθαι τὸν ἐμβολισμόν. πλὴν εἰ ἄρα ἀπό τινος τῶν ἀρχικῶν τροπικῶν ἡμερῶν ἄρχεται ὁ ἐνιαυτός. οὗται δ' εἰσὶ, πρώτη, δευτέρα, τρίτη. τῆς ὅλης καὶ αὐτοτελοῦς περιόδου. πρώτη μὲν τῆς πρώτης ἐνδεκάδος καὶ ἁπλοῦς περιόδου. δευτέρα δὲ τῆς δευτέρας ἐνδεκάδος καὶ ἁπλοῦς περιόδου. τρίτη δὲ τῆς ἑξῆς ὀκτάδος συμπληρούσης τὴν ὅλην τε καὶ αὐτοτελῆ περίοδον. βούλεται μὲν γὰρ ἡ ἔφοδος κατὰ τούτων τὴν τριάδα. συμβαίνει δὲ περιττεύειν μηδὲν τῷ τελευταίῳ ἔτει. ἀλλ' ἤτοι ἐλλείπειν ὡς ἐπὶ τῆς πρώτης ἐνδεκάδος καὶ τῆς δευτέρας, ἢ ἰσάζειν ὡς ἐπὶ τῆς ἑξῆς γε ὀκτάδος. δι' ὅπερ ἀνάγκη τῷ μετὰ τὸ ἀρχικὸν εὐθὺς ἔτει ἐπάγειν τὰς περιττάς. δεῖ μέν τοι καί τινος ἑτέρας προσθήκης διὰ τὰ ἐπιτρέχοντα μόρια εἴτε ἡμέρας ἐλλείπει μιᾶς που διὰ τετραετηρίδος. ἀναπληρωτέον δὲ κατὰ μόρος ὧδε. ὑπερκείσθω ἑκατομβαιῶνος

σθαι χρωμένους τοῖς ἐμπειροτάτοις ἀεὶ τῶν ἀστρολογικῶν θεωρημάτων συμβούλοις.

ΠΕΡΙ ΕΜΒΟΛΙΜΟΥ ΜΗΝΟΣ.

Καὶ μὲν δὴ καὶ μηνὸς ἐμβολίμου δεήσει τοῖς ἀττικοῖς ἔτεσι καθάπερ εἴρηται πρότερον, ἵν' οἱ μῆνες συμβαίνοντες διατελῶσι ταῖς ὥραις. ἐπεμβλητέον δ' ἄρα τῷ σκιροφοριῶνι μηνὶ τριάκοντα ἡμέρας. μάρτυρες δὲ τούτων Μακρόβιος ῥωμαῖος συγγραφεύς, καὶ Ἡρόδοτος· ὁ μὲν λέγων ἐν τοῖς κρονείοις τῶν συγγραμμάτων μεθερμηνευόμενος γλαύκιππον ἐν τοῖς περὶ τῶν ἀθήνησιν ἱερῶν καὶ ὁσίων ὑπομνήμασι φάσκειν ἀθηναίους τὰς περιττὰς ἡμέρας τῷ τελευταίῳ ἐπεμβάλλειν μηνὶ τοῦ ἐνιαυτοῦ. τελευταῖος δὲ σκιροφοριὼν ἦν. ὁ δὲ αὖ ἐκ τούτων διασαφῶν τριακονθήμερον τὸν ἐμβόλιμον εἶναι. εἰ δὲ δὴ ἐθελήσει τοῦτ' ἕτερον τῶν ἐτῶν μηνὶ μακρότερον γίνεσθαι, ἵνα δὴ αἱ ὧραι συμβαίνωσι παραγινόμεναι εἰς τὸ δέον, μῆνες μὲν παρὰ τὰ ἑβδομήκοντα ἔτεα οἱ ἐμβόλιμοι γίνονται τριακονταπέντε. Ἡμέραι δὲ ἐκ τῶν μηνῶν τούτων, χίλιαι καὶ πεντήκοντα. Δι' ὁπόσου δὲ χρόνου ἐπεμβλητέον, εἴ τις Ἡροδότῳ πείθεσθαι ἀξιοῖ, αὐτόθεν ἐκ τῶν νῦν δὴ παρατεθέντων, ἔχει λαβεῖν τὸ ζητούμενον. Ἐναλλὰξ γάρ τοι παρ' ἕνα γίνεσθαι τὸν ἐμβολισμὸν δηλοῖ τοῦτ' ἕτερον τῶν ἐτέων λέγων καὶ τριάκοντα πέντε μῆνας ἐμβολίμους τῶν

τος μιᾶς πρὸς τὸ τριακονθήμερον εἶναι τὸν τῆς σε
λήνης μηνιαῖον χρόνον. ἀριθμήσεται δὲ τὰς ἡμέρας
ἄχρι τῆς εἰκοστῆς, ὃν εἴρηται τρόπον. μετὰ δὲ ταύ-
την δεκάτην φθίνοντος, εἰ πλήρης ὁ μὴν εἶτα ἐνά-
την. καὶ ἑξῆς ἀναστρέφοντα ἄχρι δευτέρας. μεθ' ἣν, ἕ-
νην καὶ νέαν. εἰ κοῖλος ὁ μὴν ἐνάτην φθίνοντος καὶ
ἑξῆς τὸ ἀνάλογον. ὡς καὶ πολυδεύκης ἀριθμεῖ.
οὐχ ἱκανὸς δὲ, διότι κοίλου μόνου καταλέγει ἡ-
μέρας. πλήθων δὲ ἕνην μὲν τὴν εἰκοστὴν ἐνάτην. ἕ-
νην δὲ καὶ νέαν τὴν τριακοστὴν λέγων, οὐδὲν, ἀπά-
δον ἡμῶν φησι, τότε περὶ τὸ πρᾶγμα. ἣν γὰρ δευ-
τέραν φθίνοντος ἡμεῖς ἀριθμοῦμεν, ἕνην καλεῖ, ἵν' ἴ-
σως αὐτῷ ἱερομηνία οὖσα τῷ πλούτωνι, αὐτόθεν
δὴ κἀκ τῆς προσηγορίας τὸ σεμνὸν ἔχῃ καὶ τρα-
γικόν. δεῖ γὰρ καί τινος τοιούτου τοῖς περὶ τὰ ὅσια
πραγματευομένοις. Πειρατέον δὲ κατὰ σελή-
νην ἀριθμεῖν τὰς ἡμέρας. ἐπεὶ καὶ τὸ τῶν μηνῶν
τοὺς μὲν πλήρεις τοὺς δὲ κοίλους λαμβάνειν, τοῦτο
βούλεται. οὐχ ἱκανὸν δὲ, ἀλλὰ δεῖ που καὶ ἄλλ' ἄτ-
τα πραγματεύεσθαι συχνά. εἰ μέλλοι σώζεσθαι
τὸ ὁμόλογον. χαλεπὸν δὲ διὰ τὴν πολλὴν τῆς σε-
λήνης ἀταξίαν. δι' ὅπερ οὐδ' ἀθηναῖοι φαίνονται κα-
τορθοῦντες ὡς ἔστι τεκμήρασθαι καὶ ἐξ ὧν δὴ ὁ κω-
μικὸς ποιεῖ τὴν σελήνην θυμαίνειν. ὅτι οὐδὲν κατὰ
σελήνην ἦγον τὰς ἡμέρας ἀθηναῖοι ὀρθῶς. ἀλλ' ἄνω
τε καὶ κάτω ἐκυδοιδοπῶν. οὕτω γὰρ κέχρηται τῇ
λέξει. πειρατέον μέντοι κατὰ τὸ δυνατὸν διορθοῦ-

γοῦμεν ἡμεῖς τῇ καλουμένῃ σάββατον ἰουδαίοις, ἀλλὰ τῇ πρώτῃ, κυρίᾳ ἡμῖν οὔσῃ καὶ ἱερομηνίᾳ χριστῷ ἀναστάντι, οὐδ᾽ οὕτως ἄγομεν ἄγοντες ἑορτὴν ὡς μὴ δεῖ ἐπιποιεῖν τι καὶ τράπεζαν παραθέσθαι θέμιτον εἶναι. ἀλλὰ δεῖν παρασκευάσθαι ταύτῃ προτεραίᾳ. οὐκοῦν οὔτε τι χρήσιμον. οὔτ᾽ ἄλλως εὔσχημον ἡμῖν τὰ ἰουδαίων ταῦτα ὀνόματα εἰς καταρίθμησίν γε ἑβδομάδος τῆς ἡμετέρας λαμβάνειν. οὐδὲ δὴ, καὶ τὸ σάββατον οὐχ ὁμοίως ἔχει τῷ ὡσαννᾶ. καὶ τῷ σαβαώθ. ἄμφω γὰρ ἐκ φυλαμὲν καὶ ταῦτα. ἀποφωνεῖται δ᾽ ὅμως ἐν ταῖς ἱεροποιΐαις ἑκάστοτε παρὰ τῶν ζακόρων ἐπαναγκες. τὰ μὲν γὰρ ἐξωστωμένα δὴ τοῖς κυριωτάτοις καὶ μεγίστοις τῶν ἱερῶν ὄντα κατά τι ἀπόρρητον, μὴ οὐθέμιτον ἦν παραλλάττειν. τὸ δὲ, περιείργασθαι καὶ μηδεμίαν ἔχον ἀνάγκην, ἰουδαΐζει. ἡμεῖς μὲν τοίνυν περὶ μηνῶν τε καὶ ἡμερῶν καὶ ἐνιαυτοῦ, οὕτως χρῆσθαι μάλιστα ἀξιοῦμεν.

ΠΩΣ ΔΕΙ ΑΓΕΙΝ ΤΟΥΣ ΧΡΟΝΟΥΣ ΚΑΤΑ ΑΘΗΝΑΙΟΥΣ.

Εἰ δὲ τῷ διαφερόντως ἄγειν ὡς ἀθηναῖοι, τῇ μὲν τάξει χρήσεται δὴ τῇ ἀποδειχθείσῃ, εἴ τι ὁ λόγος ὅδε διαιρεῖ. ἀρχὴν δὲ τάξας τοῦ ἔτους τὰς θερινὰς τροπάς, ὁριεῖ τῶν μηνῶν τοὺς μὲν τριακονθημέρους καὶ πλήρεις. τοὺς δὲ μετὰ τῶν ἑτέρων λειπομένους ἡμέρᾳ ἐναλλὰξ παρ᾽ ἕνα. ὡς ἡμίσεος προσενδέον

τῶν πεπραγμένων ἡμῖν ὡς ἄξιοι πηνίθων, οὐχ ἡμεῖς γε φαμέν. ἀλλὰ καθ' ἡμέραν ἑκάστην τοῦτο ποιεῖσθαι αὐτὸν ἱερομηνίας. νύκτωρ αὐτῇ ὕπνῳ ἱκανῷ καὶ τροφῆς πεπλησθαι τῇ πρώτῃ. ἀλλὰ λογιζομένοις τί δή ποτε πεπραχότες τῇ προτεραίᾳ ἐσμέν. καὶ τι τῶν πριν ἠμμελημένον. ἔωθεν εὐθὺς ἢ ὅσιον ἐπανορθωσαμένοις, λογίων ἀκροᾶσθαι καθαρτικῶν καὶ ἐπὶ τελετὰς τῶν ἁγιωτάτων ἱερῶν γενομένοις. ἐνίοτε δὲ μοίρᾳ ἀγαθῇ καὶ τοῦ θύματος γευσαμένοις, ἐπὶ ἔργον τρέπεσθαι ἀπὸ τοιαύτης ἀρχῆς. ἀλλὰ περὶ μὲν τούτων, ἐν ἄλλοις.

ΠΩΣ ΑΡΙΘΜΗΤΕΟΝ ΤΑΣ ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ ΗΜΕΡΑΣ.

Υ πάρχει δὲ καὶ τὰς τῆς ἑβδομάδος ἡμέρας ἀριθμεῖν ἤτοι ὡς οἱ νῦν ἕλληνες. τὴν μὲν πρώτην, κυρίαν καλοῦντας. τὴν δὲ δευτέραν, τοῦτ' αὐτὸ δευτέραν. εἶτα τρίτην. τετράδα. πέμπτην. ἕκτην. ἑβδόμην. ἢ ὡς οἱ νῦν ῥωμαῖοι κατὰ τοὺς πλανήτας τῶν ἀστέρων. μετὰ τὴν κυρίαν. σελήνης ἡμέραν. εἶτα ἄρεως. εἶτα ἑρμοῦ. εἶτα διός. εἶτα ἀφροδίτης. εἶτα κρόνου. τὸ δὲ παρασκευὴν μὲν τὴν ἕκτην. σάββατον δὲ ὀνομάζειν τὴν ἑβδόμην, οὐκ ἔχει ὡς ἔοικε λόγον ἡμῖν. ἀλλὰ ἰουδαίοις ἴσως. παρεσκευάσθαι γὰρ ἐκείνους πρὸ τοῦ σαββάτου δεῖ ὡς δὴ μηδενὸς ἔργου ἁπτομένους ὑπὸ δεισιδαιμονίας τῇ ὑστεραίᾳ. ἡμῖν δὲ οὐδὲν δεῖ. οὔτε γὰρ τῇ ἑβδόμῃ ἀρ/

οὐδέν. τοῦ γὰρ ὅλου ἐνιαυτοῦ διαιρουμένου εἰς πεντήκοντα καὶ δύο ἑβδομάδας, ἐκ τεττάρων δὴ καὶ ἡμῖν τῶν μηνῶν. ἕκαστος ἔσται ἑβδομάδων. ἔξω τῶν ὑπεραρίθμων γε ἡμερῶν. καὶ τέτταρας ἕξει τὰς ἁγιωτάτας τῶν ἱερομηνιῶν δι' ἑβδόμης μίαν.


Πλὴν εἰ ἄρα ἀπὸ κυρίας ἄρχοιτο προτέρων. ἡ μεταξὺ τῆς ἑβδομάδος που ὑστέρων. ἓξ δὲ ὁ τοῦ πλήθωνος ἔχων, πλέον τι τοῦ δέοντος ἀφαιρεῖται τῶν ἀναγκαίων ἔργων τῇ πόλει. ἀργεῖν γὰρ ἀνάγκη τοὺς ἄγοντας ἱερομηνίαν. καὶ ἅμα τρεῖς ἐφεξῆς ἱερομηνίας, συμβαίνει ποιεῖσθαι. ἕνην μὲν Πλούτωνι. ἕνην δὲ καὶ νέαν ἐπὶ τῇ ἑαυτῶν ἐπισκέψει. νουμηνίαν δὲ τῷ Διί. τοῦτο δὲ προσκορὲς ἂν εἴη οὕτω συμβαῖνον. βέλτιον οἶμαι διαλείποντας ἄγειν. τῶν γὰρ ἐκ διαλειμμάτων, ἡδέων μὲν ὄντων, ἡδίων ἡ αἴσθησις. λυπηρῶν δὲ εὐφορητότερα. ὀλίγας τε ὡς ἔνι μάλιστα ἄγειν ἑορτάς. ἓν γὰρ τῶν φαύλων πολιτευμάτων ἐστὶ καὶ τὸ πολλὰς ἄγειν, καὶ σημεῖον οὐ θεοσεβείας, ἀλλὰ τρυφῆς ἐστι. τίνες δ' ἂν εἴησαν ἱερομηνίαι. πλήθωνι μὲν ἥρμοττε φάναι. ὡς δή τινας ἑτέρας τῶν ἡμῖν νομιζομένων νομοθετοῦντι. ἡμῖν δὲ ἥκιστα δεῖ. ἄλλως τε καὶ μὴ περὶ τούτου νῦν ὄντος τοῦ λόγου. δῆλον γὰρ ὅτι τὰς νομιζομένας τέτταρας ἕξει τῶν μηνῶν ἕκαστος θεῷ τῷ αὐτῷ ἀναστάντι. ἄμεινον γὰρ εἰς ἐλάττω ὡς ἂν μάλιστα ἢ συναιρεῖν τὰ περὶ τὸ θεῖον. τῇ δ' ἡμῶν αὐτῶν ἐπισκέψει ἱερομηνίαν ὁρίσαι ἀνὰ ἕκαστον μῆνα καὶ ἅπαξ τοῦ μηνὸς ἐπίσκεψιν ποιεῖσθαι

ἐννέα τοῦ ἀπιόντος ἱεραρχικοῦ ἔτους. καὶ πάλιν προσληφθέντος, ἔσται ὡς εἴκοσι τοῦ ἐφεξῆς ἔτους. εἶτα ὡς μία τοῦ μετὰ ταῦτα. τὸ γὰρ ι. δὴ ὡς μία καὶ οὕτως ἀεί. αὐτῆς ἡμερολογικώτερον δὲ ὧδε.

ΕΥΡΕΣΙΣ ΤΩΝ ΕΠΑΚΤΩΝ.

Διῃρείσθω παρὰ ἐννεακαίδεκα τὰ ἀπὸ γενέσεως τοῦ θεοῦ ἀπαγόμενα ἔτη. προσκειμένου τούτοις καὶ ἑνὸς ἑτέρου ἔτους. εἰλήφθωσαν δὲ αἱ ὑπὲρ τὰς ἐννεακαιδεκάδας περιττεύουσαι. ἡμέραι καὶ πολυπλασιασθήτωσαν ἐπὶ τὸν ἕνδεκα. εἶτα διαιρεθήτωσαν παρὰ τριάκοντα. αἱ γὰρ ὑπὲρ τὰς τριακοντάδας πλεονάζουσαι τὸ α, αἱ ἐπακταί εἰσιν. οἷον χίλια μὲν καὶ τετρακόσια καὶ ἑβδομήκοντα νῦν τὰ ἀπὸ θεογονίας ἔτη. προσκείσθω δὲ τούτοις καὶ ἕν. διαιρεθέντων δὴ τούτων παρὰ ἐννεακαίδεκα, δῆλον ὅτι ὀκτὼ αἱ πλεονάζουσαι, ληφθεισῶν δὲ τῶν ὀκτὼ ἐπὶ τὸν ἕνδεκα, ὀγδοήκοντα καὶ ὀκτὼ γίγνεται τὸ ἐκ τούτων. διαιρεθέντος δ' οὖν τούτου εἰς τριακοντάδας, τὸ πλεονάζον ἔσται εἴκοσι καὶ ὀκτώ. τοῦτο δ' ἦν α. τοῦ νῦν παρόντος ἐνιαυτοῦ, ἀνάλογον δὲ καὶ τὸ λοιπὸν ἀεὶ ἡ εὕρεσις ἔσται. τοῦ α πάλιν δὴ καὶ οὕτω λαβόντα τὸ α, προσθετέον αὐτῷ τὸ β καὶ γ τό τε σύνολον τὸ δ, ῥητέον εἶναι τὸ η. ἐὰν μὴ ὑπερέχῃ τῶν τριάκοντα. ἐὰν δ' ὑπερέχῃ, τὴν ὑπεροχὴν εἶναι λεκτέον. ἀλλὰ μὴν οὐδὲ ταῖς ἱερομηνίαις ἐμποδὼν καθίσταται τούτων

δ' ἡμῖν οὐκέτι χρήσιμος ἕνη καὶ νέα, οὕτως οὐδὲ ῥωμαίοις τὸ ἰνπερλούνιον. τὴν γὰρ ἡμέραν ἧς τὸ μὲν τῷ λήγοντι μηνὶ, τὸ δὲ τῷ ἀρχομένῳ προσήκει κατὰ σελήνην, ῥωμαῖοι οὕτω καλοῦσι. Ταῦτα μὲν δὴ οὕτω λαμβανόμενα, δῦ ἂν ἔχοι οὐκ ἀναφαιρεῖται δ' ὁ λόγος οὐδὲ ἰδιώτας τὴν τῶν ἡμερῶν τῆς σελήνης γνῶσιν, ὅ πρόσαι ἑκάστοτε. πολὺ γάρ τι συμβάλλεται εἰς τοῦ θ' ἡ ἴσων ἡμερῶν τοῦ καθ' ἥλιον μηνὸς εἴδησις. καὶ ῥᾴδιον προστιθέντι ταῖς ἐπακταῖς εὑρίσκειν τὸν ἀριθμόν. τὸ δ' ἀκριβὲς οὐκ ἀπαιτητέον ἐν τούτοις. ἐπακταὶ ἐφ' ὧν α. ἀριθμὸς ἡμερῶν ἐπαγομένων ἡλιακοῦ μηνὸς, ἐφ' ὧν β. ἀριθμὸς μηνῶν ἐπαγομένων ἐνιαυτοῦ, ἀπὸ μουνυχιῶνος ἀρχομένου, ἐφ' ὧν, γ. γινόμενος ἀριθμὸς ἐκ τῶν α. β. γ. ὁμοῦ ληφθέντων, ἐφ' ὧν δ. ὑπερέχων τῶν τριάκοντα ἐφ' ὧν ε. ὑπεροχὴ ἐφ' ὧν ζ. σελήνης ἡμερῶν ἀριθμὸς ἐπαγομένων, ἐφ' ὧν η. τὸ δὴ δ, ἔσται ἴσον τῷ η. ἐὰν μὴ τὸ ε, ὑπάρχῃ, τῷ δ. ἐὰν δ' ὑπάρχῃ, τὸ ζ. ἔσται ἴσον τῷ δ. τὸ δὲ α, λεκτέον ὅπη ἔστιν. ἱκανὸν γὰρ ὡς πρὸς τοὺς πολλοὺς τὸ ὅτι. ἔστι δ' ἄρα εἴκοσι καὶ ὀκτὼ, τοῦ νῦν παρόντος ἡραρχικοῦ ἔτους. ἐπαυξέσθω δὲ καθ' ἕκαστον ἔτος ἡραρχικὸν, προσθέσει τῶν ἕνδεκα. καὶ ἐπειδ' ἂν τῶν τριάκοντα ὑπερέχῃ, εἰλήφθω ἡ ὑπεροχὴ α. καὶ οὕτω δὴ ἐπαύξοντι ἀεὶ καὶ λαμβάνοντι, λεκτέον τὸ α. πρόσθεσις ἐφ' ὧν θ. Ἑτέρα ὑπεροχὴ ἐφ' ὧν ι. προσληφθέντος δὴ τοῦ θ, τῷ α, ἔσται τὸ α. ὡς



πονηθέντα ὑπὸ Ἰωάννου τοῦ μετὰ ταῦτα ὀνομασθέντος ἁγίου καὶ ἐπονομασθέντος χρυσοστόμου. τόδε διά τινα συμβᾶσαν διαφορὰν καὶ στάσιν τῶν ἐκκλησιῶν ἀφορισμένου γνώμῃ συνοδικῇ, ὧδ' ἐπιφέρει. Πρὸς ὃ δεῖ τὴν αὐθεντίαν τῆς ἀποστολικῆς διαδοχῆς ἀποκρίνασθαι ἁπλῶς καὶ σαφῶς. Οὐ μὴν ἀλλὰ καὶ ῥωμαῖοι ὡς πλούταρχος ἱστορεῖ τὴν εἰς τρία διαίρεσιν τοῦ μηνὸς πρὸς τὰς μεγίστας τρεῖς διαφορὰς τῆς σελήνης τυγχάνουσι πρότερον πεποιηκότες. καλένδας μὲν τὴν νουμηνίαν καλέσαντες, ὅτι περὶ τὴν σύνοδον οὖσα τότε ἡ σελήνη ὥσπερ λέληθεν ἀπολελοιπότος δὴ παντελῶς τοῦ φωτός. τὸ γὰρ κλαμ ῥωμαίοις τὸ λάθρα διασημαίνει ὅθεν τὰς καλένδας ὠνομάσθαι φησί. Νώνας δὲ, ὅταν καταφανὴς πρῶτον ἀπὸ δυσμῶν γίνηται νέα. Εἰδοὺς δὲ ὅταν πανσέληνος, οὖσα εὐειδεστάτη τὴν ὄψιν ᾖ· ἀλλ' ὅμως ὕστερον. Καίτοι καθ' ἥλιον ἄγοντες τοὺς μῆνας, ὁμοίως ὁρίζοντες τὸν χρόνον, καλένδας. καὶ νώνας. καὶ εἰδοὺς ἔτι καλοῦσιν, ὀνόμασι καταχρώμενοι οἷς πρότερον ἄγοντες κατὰ σελήνην ἐχρῶντο κυρίως. οὐδὲν δὴ ἄτοπον οὐδ' ἡμῖν εἰ ἱστάμενον λέγοιμεν καὶ φθίνοντα μὴ κατὰ σελήνην ἔτι ἀλλὰ κατὰ ἥλιον ἄγοντες. ἀνάλογον τοίνυν ἡμῖν ἕξει. νουμηνία μὲν ταῖς καλένδαις τὸ δὲ ἱστάμενον, τῷ πρὸ νωνῶν. τὸ δ' ἐπὶ δέκα, τῷ πρὸ εἰδῶν. τὸ δὲ φθίνον, τῷ πρὸ καλενδῶν, ὡς

βυβλία μόνον· τὰ ἐκ τῆς βύβλου τῆς ἐν αἰγύπτῳ φυομένης παπύρου γινόμενα· νῦν δὲ καὶ τὰ ἐκ λίνου ῥάκους κατεργασθέντος πλήματα διάκολλα ἐν οἷς γράφομεν, τοὔνομα ἔχει τοῦτο· καὶ σχοινίον πρόσθεν τὸ ἐκ σχοίνου τῶν ἑλείων φυτοῦ· νῦν δὲ καὶ τὸ ἐκ λίνου καὶ ἐρίων πρὸς τὴν αὐτὴν χρείαν κλωθόμενον, σχοινίον προσαγορεύεται· καὶ αὐθέντης δὲ ὁ αὐτόχειρ μόνον ἐλέγετο πάλαι· νῦν δὲ καὶ ὅστις οὖν αἴτιος καὶ δημιουργὸς εἴτ᾽ οὖν αὐτουργὸς καὶ ἐπιστάτης πράγματος οὑτινοσοῦν, αὐθέντης καλεῖται· ὑπὲρ τὰ χίλια δὴ ἔτη κεκρατηκότος τοῦ τοιοῦδε σημαινομένου· ἐπειδὴ ῥωμαίοις θαμὰ δὴ ὁμιλοῦντες ἕλληνες σπανίδοιεν τὴν σφετέραν αὐτῶν φωνὴν ἐπιδεομένην τοῦγε ἀνάλογον αἰεὶ τῷ αὔτορ ὀνόματι τῶν ῥωμαίων ἀκριβέστερον προσοικειμένου ταῖς χρείαις· οὕτω γὰρ βιαζόμενοι ὡς εἰκὸς πράγματι συχνὰ ἥκοντι εἰς χρείαν ὄνομα ἰδιαίτερον θέσθαι, τὸ αὐθέντης δὴ εἰς τοῦτο ἀλλοτριονομοῦντες μετενηνόχασι.

Βασίλειος οὖν τῶν ἡμετέρων ἱεροφαντῶν ἐπὶ ἰουλιανοῦ αὐτοκράτορος γενόμενος ἀνὴρ καὶ τὴν φωνὴν οὐχ ἧττον ἢ τὴν διάνοιαν κεκοσμημένος, τὰ τοῦ θείου πνεύματος χαρίσματα, οὐ λειτουργικῶς ἀλλ᾽ αὐθεντικῶς γίνεσθαι λέγει· καὶ Συνέσιος φιλόσοφος τῶν λογιωτάτων μικρὸν ὕστερον ἐπὶ Θεοδοσίου, πυνθανόμενος Πατριάρχου Θεοφίλου εἰ χρὴ νομίζειν ἐπίσκοπον ἀλέξανδρόν τινα, χειρο-

ἀφαιροῦντες καὶ ἀναλύοντες μέχρι τριακάδος.
Σ όλωνος ἡγησαμένου πρὸς τὰ τῆς σελήνης φῶτα οὕτω μειούμενα. καὶ Ἀριστοφάνης δὲ ὁ κωμικὸς οὕτως ἀριθμεῖ. πέμπτη. τετρὰς τρίτη. μετὰ ταύτην, δευτέρα. εἶθ' ἣν ἐγὼ μάλιστα πασῶν ἡμερῶν δέδοικα. εὐθὺς ἔσθ' ἔνη τε καὶ νέα. μετὰ δὲ δευτέραι, ἀκλέον ἔνην. χρεία δ' ἔνης καὶ νέας οὐκ ἔσται ἡμῖν, διὰ τὸ μὴ κατὰ σελήνην ἄγειν. ἔνην δὲ τὴν τελευταίαν τοῦ μηνὸς ἡμέραν καλεῖν καὶ ἡμᾶς κωλύει οὐδέν. ὅτι καὶ νέα ἡ πρώτη. πλείους τε αἱ φθίνοντος γίνονται ἡμέραι. καὶ ἔσθ' ὅτε ἐλάττους τῶν ἀττικῶν διὰ τὸ τοὺς μὲν τριακονθημέρους τῶν μηνῶν ἡμῖν εἶναι. τοὺς δέ, μιᾷ ὑπερβάλλειν τῶν ἑτέρων ἡμέρᾳ. ἕνα δὲ καὶ δυεῖν μὲν ἐλλείπει τῶν τριακονθημέρων ἑξῆς τριῶν ἐτῶν. μιᾷ δὲ τῷ τετάρτῳ ὡς εἴρηται πρότερον. οἱ μὲν οὖν ἐνδεκάφθινοι. οἱ δέ, δεκάφθινοι. εἷς δὲ καὶ ὀκτάφθινος. καὶ ἐνάφθινος ἑπτὰ μὲν γὰρ οἵδε Ποσειδεών. Γαμηλιών. Μουνυχιών. Σκιροφοριών. Μεταγειτνιών. Βοηδρομιών. Πυανεψιών, ἕνδεκα ἔχουσι φθίνοντος ἡμέρας. δέκα δὲ οἱ λοιποὶ πλὴν ἐλαφηβολιῶνος. οὗτος γὰρ ὀκτὼ μὲν ἑξῆς τριῶν ἐτῶν, ἐννέα δὲ τῷ τετάρτῳ. καὶ μὴν εἴ τις τὸ φθίνειν καὶ ἵστασθαι ἴδιον εἶναι λέγοι σελήνης ἐνθυμείσθω, διότι καὶ ἐπ' ἄλλων πολλῶν χρῆσις ἀπ' ἄλλων μεταληφθεῖσα κεκράτηκεν ἀκυρολόγως. οἷον καὶ τὸ χαλκεύειν. καὶ χορηγεῖν καὶ δημιουργεῖν. ὀνομάζετο δέ ποτε καὶ

τὴν συμβεβηκέναι. αὐτοὺς δὲ τὴν γένεσιν πρεσβεύοντας τοῦ θεοῦ ἢ θέμις, ἀρχὴν ποιεῖσθαι τὴν εἰρημένην ἐνιαυτοῦ μὲν ταύτην θετέον ἀρχήν.

ΠΩΣ ΑΡΙΘΜΗΤΕΟΝ ΤΑΣ ΤΟΥ ΜΗΝΟΣ ΗΜΕΡΑΣ.

Ἀριθμεῖν δὲ τὰς μηνὸς ἑκάστου ἡμέρας, πλάτωνι μὲν δοκεῖ εἰς τέτταρα διαιροῦντας τὸν μῆνα, τὸ μὲν ἱστάμενον, τὸ δὲ μεσοῦν, τὸ δὲ φθῖνον. τὸ δὲ ἀπιόν. λαμβάνοντι ὡς ἔοικε τὸ μὲν παρὰ πολυδεύκους τὸ δ᾽ ἔτι καὶ αὐτῷ καινοτομοῦντι, εὐμαρέστερον γὰρ οἶμαι διατίθεσθαι τὰ πολλὰ τὰς ἱερομηνίας οὕτω συνέβαινε, καὶ ἄλλα καθισταμένῳ ἱερά. ἡμῖν δὲ διαφερέτω μηδὲν διαριθμεῖν ὡς ἀθηναῖοι τριχῆ διαιροῦντες, τὸ μὲν ἱστάμενον ἔλεγον. τὸ δὲ ἐπὶ δέκα τὸ δὲ φθῖνον. ἐπειδὴ καὶ σύνηθ᾽ ἅπως οὕτω μᾶλλον ῥωμαίοις ἔσται τὰ πολλὰ τὴν διαίρεσιν ἡμῖν. τριχῆ γὰρ καὶ οὗτοι διαιροῦντες, τὸ μὲν καλένδας προσαγορεύουσι. τὸ δὲ, νώνας. τὸ δὲ εἰδούς. ἀριθμητέον οὖν ὧδε.

Νουμηνίαν μὲν τὴν πρώτην. εἶτα δευτέραν ἱσταμένου, καὶ τρίτην καὶ ἑξῆς εἰς τὸ πρόσω ἰόντι ἄχρι δεκάτης. μεθ᾽ ἣν πρώτην ἐπὶ δέκα εἶτα δευτέραν ἐπὶ δέκα. καὶ ἑξῆς ἄχρι εἰκοστῆς. ἡ αὐτὴ δὲ καὶ εἰκάς. μεθ᾽ ἣν ἐνδεκάτην φθίνοντος ἢ δεκάτην, ἢ ὀγδόην, ὡς ἔτυχεν ἔχων ὁ μήν, καὶ ἑξῆς ἀναλύοντι ἄχρι δευτέρας. οὕτω γὰρ ἀθηναῖοι ἠρίθμουν, οὐ προστιθέντες ἀλλ᾽

ΠΕΡΙ ΜΗΝΩΝ.

ΠΕΡΙ ΑΡΧΗΣ ΤΟΥ ΕΝΙΑΥΤΟΥ.

Ἀρχὴν δὲ τοῦ ἐνιαυτοῦ, οἱ μὲν ἀθηναῖοι τὸν ἑκατομβαιῶνα ἦγον μῆνα ὡς δέδεικται πρότερον· ὡς ἀπὸ τροπῶν θερινῶν· ῥωμαῖοι δὲ τὸν Ιανουάριον ὡς ἀπὸ τροπῶν χειμερινῶν, ἣ δὴ καὶ οἰκειοτέρα δοκεῖ εἶναι ἀρχή· καὶ εὖ τήνδε ἐπαινεῖ πλήθων· νόμῳ γὰρ ἄλλων ἄλλην τοῦ ἔτους ἀγόντων ἀρχήν, φύσει πως ἔοικεν αὕτη οὖσα ἀρχή· ἡνίκα δὲ ἥλιος ὁ τῆς γενέσεως κύριος, τοῦ πρόσω ἰέναι λήγων ἀνακάμπτειν ἄρχεται ὡς ἡμᾶς· καὶ τὸν μὲν τοῦ φωτὸς αὔξει χρόνον· τὸν δὲ τοῦ σκότους μειοῖ· ὀρθῶς οὖν καὶ Νομᾶς ἀρχὴν τοιαύτην ῥωμαίοις τέταχε· ῥωμύλου πρότερον τὸν μάρτιον προτάξαντος μῆνα· καὶ ἡμῖν δὴ ἀρχὴ αὕτη ἔστω· καὶ νέος τοῦ ἐνιαυτοῦ μὴν, γαμηλιών· ἵνα καὶ συμφωνῶμεν ῥωμαίοις ὥσπερ καὶ τὰ περὶ τοὺς μῆνας, καὶ τὰ περὶ τὴν ἀρχὴν τοῦ ἐνιαυτοῦ· ὅδε γὰρ Ιανουάριος ἦν.

Νῦν δ᾽ ἕλληνες ἀρχὴν ἐνιαυτοῦ τε καὶ ἰνδικτιῶνος ποιούμενοι, ἀπὸ ἰσημερίας φθινοπωρινῆς, τὰ μὲν περὶ ἰνδικτιῶνα, δηλοῖ δὲ διάταγμα ἡ λέξις, συνᾴδουσι ῥωμαίοις· τὰ δὲ περὶ τὸν ἐνιαυτόν, οὔ· καίτοι συμφέρεσθαι ἔδει καὶ ταῦτα· ἄλλως τε καὶ χριστοῦ νόμοις χρωμένους· οὐ γὰρ οἶμαι ῥωμαίους τούς γε νῦν ὄντας διὰ τὴν ἡλίου τροπὴν μᾶλλον ἢ τὸ, τότε γεννηθῆναι χριστὸν οὕτως ἄγειν· ἀλλὰ τὴν μὲν τρο-

τριακονθήμεροι πλὴν ἐλαφηβολιῶνος. οὗτος γὰρ ἡμέρας ἕξει εἴκοσι μὲν καὶ ὀκτὼ ἑξῆς τριῶν ἐτῶν. εἴκοσι δὲ καὶ ἐννέα τῷ τετάρτῳ, διὰ τὴν παρεμβαλλομένην ἡμέραν. διατί δὲ τοῖς περὶ καίσαρα οὕτω τὰ περὶ τὰς ἡμέρας διῄρηται, ὡς τουτὶ μὲν τριακονθήμερον εἶναι. ἀλλὰ μὴ τονδί. τονδὶ δ' ὑπερβάλλειν. τονδὶ δ' ἐλλείπειν, ἑτέρας ἐστὶ θεωρίας.

ΠΕΡΙ ΤΗΣ ΕΜΒΟΛΙΜΟΥ ΗΜΕΡΑΣ

Μῆνα μὲν οὖν οὐδένα ἐπεμβαλοῦμεν οὐδέποτε. μίαν δὲ διὰ τετραετηρίδος ἡμέραν τῷ ἐλαφηβολιῶνι. καθάπερ τῷ φεβρουαρίῳ ῥωμαῖοι δίσεκτον. οὕτω καλοῦντες ἐκ τοῦ δὶς τὴν αὐτὴν ἡμέραν προσγράφειν ἕκτην πρὸ καλενδῶν μαρτίων δόξαν οὕτω Καίσαρι σεβαστῷ. ἡμεῖς δ' ὀνόματι χρῆσθαι τῷ οὐδ' ὁμαλῶς γε τοιούτῳ. ἐμβόλιμον γὰρ μόνον καὶ ἐνθένδε προσαγορεύειν καλῶς ἔχει ἡμῖν. περὶ δὲ τῆς ἐμβολίμου, σκεπτέον. καὶ ὅπη δοκεῖ. παρακαλεῖν δὲ ἐὸν καὶ λατίνους ταυτὸ δεχομένους ἐπανορθοῦσθαι αἴσθησι τὸν ἐνιαυτόν, ἵνα συμφωνῶμεν. ἐμβολίμου γάρτοι ἡμέρας, χρόνου ἤδη μακροῦ διελθόντος. μὴ γενομένης, πολύ τι δὴ προτεροῦσιν αἱ τροπαὶ ἐφ' ἡμῶν τῆς ἐξ ἀρχῆς τροπικῆς ἡμέρας τοῦ μηνός. οὕτω μὲν οὖν ἀκτέον τοῖς μῆνας χρωμένοις ὀνόμασι τοῖς ἀποδοθεῖσιν.

ἡλίῳ. τοὺς δὲ μῆνας δεῖν ἴσους τῇ σελήνῃ.

ΠΩΣ ΧΡΗΣΤΕΟΝ ΜΗΣΙ ΚΑΙ ΕΝΙΑΥΤΩΙ.

Ἡμεῖς δὲ ὀνόμασι μὲν τοῖς εἰρημένοις καὶ τάξει χρησόμεθα τῶν μηνῶν. πράγμασι δὲ κατὰ τὴν καίσαρος ἐπανόρθωσιν ᾗ χρώμενοι ῥωμαῖοι ἄχρι καὶ νῦν, ἧττον ἑτέρων σφάλλεσθαι περὶ τὴν ἀνωμαλίαν δοκοῦσι. χιλιοστὸν καὶ πεντακοσιοστὸν ὀλίγου δεῖν τόδε ἔτος. λαμβάνειν τι ἀξιοῦμεν, εἴ τινες χρήσιμόν τι ἐφεῦρον τῷ βίῳ, ἐάν τε λατινοὶ ὦσιν οἱ εὑρόντες, ἐάν τε βάρβαροι οἰκείους τε πάντας νομίζειν, ἀνθρώπους γε ὄντας καὶ μετειληφότας τῆς αὐτῆς ἡμῖν φύσεως. καὶ χάριν ὁμολογεῖν τοῖς εὑροῦσιν. ἀλλὰ μὴ φθονοῦντας ἐρίζειν καὶ ἐθελοκακεῖν. Ἡμέραις τοιγαροῦν τριακοσίαις καὶ ἑξήκοντα καὶ πέντε ὁριζόμενος ἡμῖν ὁ ἐνιαυτὸς ἔσται κατὰ τὴν ἡλίου περίοδον προστιθεμένου τοῦ καὶ μορίου ἡμέρας ἐπ' ἔλαττον, ἢ ὡς τεταρτημόριον τῷ ἀριθμῷ τῷδε. καὶ μῆνες συμπληροῦντες τὸν τῶν ἡμερῶν ἀριθμόν. οἱ μὲν τριακονθήμεροι. οἱ δὲ μιᾷ ὑπερβάλλοντες τοὺς ἑτέρους ἡμέρᾳ. Εἷς δὲ καὶ δυοῖν μὲν ἐλλείπων τῶν τριακονθημέρων. ἑξῆς τριῶν ἐτῶν. μιᾷ δὲ τῷ τετάρτῳ. ἑπτὰ γὰρ οἵδε.

Ποσειδεών. Γαμηλιών. Μουνυχιών. Σκιροφοριών. Μεταγειτνιών. Βοηδρομιών. Πυανεψιών μιᾷ ὑπερβάλλουσι τοὺς τριακονθημέρους. οἱ δὲ λοιποὶ

ΟΤΙ ΚΑΙ ΤΟΙΣ ΣΟΦΟΙΣ ΔΟΚΕΙ ΒΕΛΤΙΟΝ τὰ κατὰ ἥλιον ἄγειν.

Επαινεῖ δὲ διαφερόντως καὶ Πλούταρχος τὴν καίσαρος ἐπανόρθωσιν δεινὸς ὢν κρῖναι. ὧδε λέγων.

Η δὲ τοῦ ἡμερολογίου διάθεσις καὶ διόρθωσις τῆς περὶ τὸν χρόνον ἀνωμαλίας, φιλοσοφηθεῖσα χαριέντως. ὑπ᾽ αὐτοῦ καὶ τέλος λαβοῦσα. γλαφυρωτάτην παρέσχε χρείαν. Ηρόδοτος δὲ, καὶ σοφωτέρους οἴεται εἶναι αἰγυπτίους ἑλλήνων παρ᾽ ὅσον οἱ μὲν διὰ τρίτου ἔτους ἐπεμβάλλουσι μῆνα οἱ δὲ τριακονθημέρους ἄγοντες τοὺς μῆνας πέντε ἡμέρας ἐπάγουσιν ἀνὰ ἕκαστον ἔτος. οὐχεῖρον δὲ καὶ πάλιν τὴν λέξιν αὐτοῦ παραθέσθαι. Αγουσι δὲ τοσῷδε σοφώτερον ἑλλήνων ὡς ἐμοὶ δοκεῖ, ὅσῳ ἕλληνες μὲν διὰ τρίτου ἔτεος ἐμβόλιμον ἐπεμβάλλουσι τῶν ὡρέων εἵνεκεν. αἰγύπτιοι δὲ τριακονθημέρους ἄγοντες τοὺς δυώδεκα μῆνας ἐπάγουσιν ἀνὰ πᾶν ἔτος πέντε ἡμέρας. Τὸ δὲ τριακονθημέρους ἄγειν τοὺς μῆνας, κατὰ ἥλιον ἄγειν εἶναι δηλοῖ στράβων οὑτωσὶ λέγων.

Αἰγυπτίων δ᾽ ἐστὶ καὶ τὸ τὰς ἡμέρας μὴ κατὰ σελήνην ἄγειν, ἀλλὰ κατὰ ἥλιον. τοῖς τριακονθημέροις δώδεκα μησὶν ἐπάγουσι πέντε ἡμέρας κατ᾽ ἐνιαυτὸν ἕκαστον. Πλήθων μὲν οὖν πολὺ τούτων ἀπάδει λέγων κατὰ φύσιν εἶναι μᾶλλον τὸ κατὰ σελήνην ἄγειν τοὺς μῆνας, καὶ τὸν μὲν ἐνιαυτὸν τῷ

ἐληλύθασι μηνῶν τε καὶ ἐνιαυτοῦ διατάξεως πέρι. οἱ δ' ἄρα τοῖς ἐν ποσὶ καὶ ἡμῖν σαφεστέροις ἐπιμένοντες διὰ τέλους, ἐοίκασιν οὐ καλῶς κρίνειν τί τὸ δι' αὑτὸ καὶ τί τὸ δι' ἕτερον αἱρετέον. ὅλως τε δεῖ νομίζειν τὰ ὕστερον χρόνῳ μακρῷ διηκριβωμένα περὶ ἀστρολογίαν, πολύ τι τῶν ἀρχαίων διαφέρειν. ἀλλὰ μὴ ἑκόντας ὑπ' αὐθαδείας πρὸ τῶν τελεωτέρων τὰ ἀτελέστερα ἐπαινεῖν ὥσπερ ἐν γήρᾳ τὰ τῶν νέων φρονεῖν ἔτι προαιρουμένους. ἐπεὶ καὶ γαληνὸς ἐν τοῖς περὶ κρισίμων ἡμερῶν λόγοις, τὸν ἐνιαυτὸν ἐπὶ ταῖς πέντε καὶ ἑξήκοντα καὶ τριακοσίαις ἡμέραις ἐπικείμενον ἔχειν τι μόριον ἡμέρας μεῖζον ἢ ὡς τέταρτον λέγει. τὸ δ' οὐ μεῖζον ἀλλ' ἔλαττον εἶναι ταῖς ὕστερον ἐπιτηρήσεσιν εὕρηται. εἰ δ' ἄρα που, μὴ δὲ τὰ περὶ τὴν ἡλίου κίνησιν τἀκριβὲς παντάπασιν ἔχοι ἡμῖν, ἀλλ' οὖν γε πολὺ τῶν περὶ τὴν σελήνην ἀκριβέστερ' ἐστὶ καὶ τὸ πλημμελούμενον εὐδιορθωτότερον. εἴ γε μίαν μὲν διὰ τετραετηρίδος ἡμέραν ἐμβόλιμον. μίαν δὲ σχεδὸν διὰ διακοσαετηρίδος ἐκβόλιμον ποιεῖσθαι, ἀντιχρῶντος ἂν ἔχοι. ὃ πρόσον ἂν διὰ πλείστου οἱ περιόντες ἀεὶ τῷ χρόνῳ ἀστρονομίας ἐμπειρότατοι κρίνωσιν. οὐδὲν γὰρ τῷ παρόντι προσῆκται λόγῳ. εἴ τινες ἀμφισβητοῦσι περὶ τοῦ τῶν ἐτῶν πλήθους. ἀναμφισβητήτως γὰρ ἡ ἐπανόρθωσις ἔσται διὰ πλείστου. ὅπως ἂν ἔχῃ.

σι μῆνα οἱ οὕτως ἄγοντες καὶ πράγματος ἔχουσι, τὰ μὲν δωδεκάμηνα, τὰ δὲ τρισκαιδεκάμηνα ποιούμενοι τῶν ἐτῶν. οὐκοῦν παρὰ φύσιν γε μᾶλλον. τάξις γάρ τις ἡ φύσις. καὶ παρὰ φύσιν, πᾶν τὸ πλημμελές τε καὶ ἄτακτον. τὸ δ᾽ ἀχρηστίαν τοῦ ἡλίου καταγινώσκειν διὰ τὴν τῆς σελήνης δύναμιν καὶ τὰ φαινόμενα, αἴτημα λίαν μέγα ἐστί. καὶ προσέχοντος αἰσθήσει μᾶλλον ἔοικεν εἶναι ἢ λογισμῷ. τά τε γὰρ τῆς σελήνης ἔργα διὰ τὸν ἥλιον ὡς εἰπεῖν, ἅπαντ᾽ ἐστί. τό τε μάλιστα κοσμοῦν τὰ τῇδε καὶ ῥυθμίζον καὶ διατάττον ὁ ἥλιός ἐστι. καὶ μὴν καὶ τῆς περὶ τοὺς ἄλλους ἀστέρας εὐκρασίας αἴτιον εἶναι τὸν ἥλιον ἄλλοις τε τῶν ἐνδόξων, καὶ στράβωνι τῷ γεωγράφῳ δοκεῖ. ἐναργέστερα μέντοι τὰ περὶ τὴν σελήνην συμβαίνοντα κατὰ διαφόρους φάσεις ἐκ τῆς πρὸς τὸν ἥλιον ἀποστάσεως, ἡμῖν ἅπαντα. ὥστ᾽ αὐτὴ τηρητέα μέντοι καὶ ταῦτ᾽ ἐστίν, εἴτε καθ᾽ ἑβδομάδας εἴτε καθ᾽ ἕτερον μῆνα δοκεῖ σεληνιακόν. οὐ μὴν δὲ καὶ μόνοις τοῖς δὲ χρωμένοις ἐατέον τοὺς καθ᾽ ἥλιον μῆνας ὁμαλεστέρους ὄντας παρὰ πολὺ καὶ μορὴ τῶν ἐκ θεοῦ ὅρων καὶ τοῦ ὅλου ἐνιαυτοῦ οἰκεῖά τε καὶ αὐτοφυῆ. κατὰ φύσιν γὰρ τὸ θ᾽ ἁπλῶς, εἴπερ καὶ ἐξ αἰτίου. καὶ προτέρου. καὶ ἀναγκαιοτέρου. τὸ δ᾽ ἀπὸ τῆς σελήνης, γνωριμώτερον ὂν ἡμῖν καὶ σαφέστερον, ὁδός ἐστιν ἐπὶ τὰ τῇ φύσει γνωριμώτερά τε καὶ τελεώτερα. διὸ καὶ οἱ περὶ καίσαρα τὸν ἐπωνομασμένον τοῖς ῥωμαίοις θεὸν ταύτην ἰόντες, ἐπὶ τἀκριβέστερον ἐ-

δέ φασι, καὶ μεγάλα εἶναι τὰ τῆς σελήνης ἔργα. ἀλλοιοῦσθαι γὰρ σαφῶς τὰ ἐπίγεια πάνθ᾽ ὑπ᾽ ἐκείνης. τοῦτο μὲν οὖν δὴ λέγεται. σημεῖον δ᾽ οὐδέν ἐστι τοῦ χρῆναι ἄγειν κατὰ σελήνην, καὶ μὴ καθ᾽ ἥλιόν τε τοὺς μῆνας. συνεχῆ μὲν γάρ πως τὰ τῇδε ταῖς ἄνω φοραῖς εἶναι φαμὲν καὶ ἡμεῖς. καὶ πᾶσαν αὐτῶν τὴν δύναμιν κυβερνᾶσθαι ἐκεῖθεν. καὶ τὸ μὲν καλὸν, ἅπαν ὅσον ἂν ᾖ ἐνθάδε καλὸν καὶ τὸ τεταγμένον, ἄνωθεν ἐγγίνεσθαι φύσει. τὸ δ᾽ ἄτακτον καὶ πεπλανημένον ὑπάρχειν ἐκ τῆς ἐνθάδε ὕλης. ἔστω δὲ καὶ πολλ᾽ ἄττα ἀλλοιοῦν τὴν σελήνην πλήρη τε οὖσαν καὶ διχότομον καὶ ἀμφίκυρτον καὶ μηνοειδῆ. κρίνεσθαί τε τὸ περιέχον καὶ μεταβάλλειν τὰ τῇδε κατὰ διαμέτροις καὶ τετραγώνοις καὶ ὅλως τοιάς τινας στάσεις αὐτῆς. οὐ μὴν δὲ καὶ εὔλογον διὰ ταῦτα ἐῶντας διαιρεῖν τὸν τοῦ ἡλίου ἐνιαυτὸν εἰς μῆνας. καὶ χρῆσθαι, ἐπιπροσεπεῖν αὐτὴν τὴν σελήνην καὶ ἑκόντας εἶναι διΐστασθαι. οὐ δὲ δὴ κατὰ φύσιν τὸ μὲν ὅλον προσήκειν τῷ ἡλίῳ, τὰ δὲ μόρια ἑτέρῳ τῳ μᾶλλον ἀποβάλλειν ἢ τῷ ἡλίῳ. μέρη γὰρ τοῦ ὅλου ἐνιαυτοῦ οἱ καλούμενοι μῆνες ἢ ὅτι δήποτε καλεῖν φίλον τὸν εἰς δώδεκα μερισμὸν τῆς τοῦ ἡλίου περιφορᾶς. τὸ δὲ τοῦ ὅλου ποιητικὸν καὶ τῶν μερῶν ταὐτὸ ποιητικὸν ἐξ ἀνάγκης ἐστίν. ἐκ τῶν μερῶν γὰρ τὸ ὅλον καὶ τῇ γενέσει πρότερα τοῦ ὅλου, τὰ μέρη. ἔστι δὲ καὶ ἀνωμαλώτερόν τι καὶ ἀτακτότερον τὸ πρὸς τὴν φορὰν τῆς σελήνης ἄγειν δι᾽ ὃ καὶ συχνὰ ἐπιβάλλου-

νης, συμβαίνει τρυγᾶν τὰς ἀμπέλους περὶ ἱστάμενον τὸν πυανεψιῶνα καθὰ πλούταρχος ἀποσημαίνει συμβῆναι, ὅτε θησεὺς ἐπανῆκεν ἐκ κρήτης. ἡ ἰσημερία μέντοι περὶ λήγοντά που τὸν μαιμακτηριῶνα ὑπῆρξαι. Πλύνιον δὲ οἰητέον μὴ ὡς Ἀριστοτέλους λέξιν μεταφέροντα ὧδε ποιεῖσθαι τὸν λόγον. ἀλλ' ἰδίαν αὐτῷ δόξαν περὶ τόκου τῶν ἰχθύων ἀποφαινόμενον. θαυμαστὸν τε οὐδὲν εἰ καὶ ταῖς χώραις διαφορὰ περὶ τὰς γενέσεις ἐστίν. ἀλλὰ δῆλον ὅτι καὶ τῶν ζώων. ὡς γὰρ τῶν φυτῶν πολλὴν ποιοῦσι διαφορὰν οἱ τόποι. οὐ μόνον κατὰ μέγεθος καὶ εὐτροφίαν, ἀλλὰ καὶ κατὰ τοὺς τόκους. τοῦ τὰ μὲν ὀψιαίτερον γεννᾶν. τὰ δὲ πρωϊαίτερον. ὧδε μὲν τοίνυν ἁπλῶς τε καὶ τῇ ἑρμηνεύοντες, οὐκ ἂν διαμαρτάνοιμεν τοῦ ἱκανοῦ.

ΠΕΡΙ ΧΡΗΣΕΩΣ ΤΩΝ ΜΗΝΩΝ.

Ἐπεὶ δ' ἔστι μὲν χρῆσθαι μησὶ καὶ κατὰ τὴν ἡλίου περιφορὰν ὡς ῥωμαῖοι ἄγουσιν. ἔστι δὲ καὶ κατὰ τὴν τῆς σελήνης ὡς ἀθηναῖοι ἦγον, πρότερον ἀθηναίοις ἑπόμενοι χρησόμεθα ἢ ῥωμαίοις, κατονομάζοντες μὲν ὡς ἀθηναῖοι. τὴν δ' ἔτι τοῦ ἐνιαυτοῦ εἰς μῆνας διαίρεσιν κατὰ ταὐτὰ ῥωμαίοις τιθέντες.

Πλήθων μὲν φησὶν ὅτι κατὰ φύσιν δὴ ἄγοιτ' ἂν, ἔτος μὲν κατὰ τὸν ἥλιον, μὴν δὲ, κατὰ τὴν σελήνην. διὰ τί δὲ, οὐ λέγει. ἄλλοι δέ τινες καὶ αἰτίαν ἀποδιδόντες, πάντα πρὸς τῶν οὐρανίων κοσμεῖσθαι τὰ τῇ-

πεῖν· ὡς ἀπαρτίζειν δ' ἀεὶ τοὺς τῶν ἀθηναίων μῆνας τοῖς τῶν ῥωμαίων, δῆλον ὅτι οὐκ ἂν εἴη. ἐπαμφοτερίζειν οὖν τι συμβαίνει· οἷον φέρε εἰπεῖν ἑκατομβαιὼν τὸ μὲν ἰουνίου συλλαμβάνει. τὸ δὲ ἰουλίου. καὶ μεταγειτνιὼν τὸ μὲν ἰουλίου, τὸ δὲ αὐγούστου. καὶ βοηδρομιὼν τὸ μὲν αὐγούστου, τὸ δὲ Σεπτέμβριος. ὡσαύτως δὲ καὶ οἱ λοιποὶ πάντες ἀμφιλαφεῖς εἰσὶ τὰ πολλά. ἐπεὶ ἐνίοτέ γε, καὶ ἰσάζειν συμβαίνει. οἷον καὶ τῆτες συμβέβηκε. νουμηνίαν ἅμα Ἀπρίλιος μηνὸς ἡλιακοῦ, καὶ σελήνης ἄγειν. Ἑρμηνεύειν μέντοι ἀκριβῶς χρεὼν, ἀπὸ τοῦ προτέρου, οἷον αὔγουστον τὸν βοηδρομιῶνα. ἀλλὰ μὴ Σεπτέμβριον, ἵνα θερινὸς ᾖ. τρίτος γὰρ ἀπὸ ἑκατομβαιῶνος. τροπικὸς δὲ θερινὸς ὁ ἑκατομβαιὼν, ὡς δεδειγμένον ἐστί. Γαληνῷ δὲ διέφερεν οὐδὲν πρός γε τὸ τῆς ἐλάτης σπέρμα καὶ τὴν σύνθεσιν τοῦ ἀκόπου, εἴτ' ἀπὸ τοῦ ἑπομένου Σεπτέμβρις εἴτ' ἀπὸ τοῦ ἡγουμένου αὔγουστος ἑρμηνεύοιτο ὁ τῶν μυστηρίων μήν. ἄλλως τε καὶ τῶν ἰσημεριῶν τε καὶ τροπῶν περίπου εἰκοστὴν τετάρτην τοῦ μηνὸς ἡμέραν ὡς ῥωμαῖοι ἄγουσι λαμβανομένων τοῖς τότε οὖσιν ἀνθρώποις. καὶ πρόσετι ἰσημερινοῦ γινομένου ποτὲ καὶ τοῦ βοηδρομιῶνος. ἐπειδὰν πλείους ὦσιν αἱ μετὰ τὴν τροπὴν περιτταὶ ἡμέραι ὅθεν δὴ καὶ Ἀριστοτέλης μετ' ἀρκτοῦρον περὶ βοηδρομιῶνά φησιν ὥσπερ αὖ ἀνάπαλιν περὶ λήγοντά που τὸν ἑκατομβαιῶνα τῆς τροπῆς γενομέ-

ῥοφοριῶνος θαργηλιῶνος μεταβαλὼν, καθάπερ καὶ ἐπ' ἄλλων συμβαίνει, καὶ μάλιστα τῶν νῦν εἰς πρᾶσιν γραφομένων τοῖς βιβλιοπώλαις. χρῶνται γὰρ φαύλοις καὶ τοῖς τυχοῦσι γράφουσιν, ἔφορος μὲν ἀναίτιος ὡς ἂν εἴη. ἀπαιτήσαιτο δ' ἄν τις τοὺς μὴ ἐπανορθωσαμένους τὴν γραφὴν, ἀλλ' ἀνεπισκέπτως εἰρηκότας θαργηλιῶνος ἑπτακαίδεκα ἡμέραις πρὸ τῆς θερινῆς τροπῆς. φησὶ δὲ καὶ ὡς αἱ τὸν ἐνιαυτὸν ἐκεῖνον ἐκπληροῦσαι περιτταὶ ἡμέραι, εἴκοσι τὸν ἀριθμὸν ἦσαν μετὰ τὰς θερινὰς τροπάς. τὸ δ' ἀσύστατον παντελῶς ἐστὶ μαχόμενον, εἰ ὡς ἀθηναῖοι ἦγον ποιεῖται τὸν λόγον. εἰ γὰρ περιτταὶ εἴκοσι μετὰ τὰς τροπὰς, δῆλον ὅτι ἡ τροπὴ ἦν τῷ οἰχομένῳ ἔτει ἔνῃ καὶ νέᾳ θαργηλιῶνος μὲν ὡς ἐκεῖνος λέγει. Σκιροφοριῶνος δὲ, ὡς ἡμεῖς. διαφερέτω δὲ μηδὲν πρός γε τὸ νῦν. ἀλλ' ἔστω θαργηλιῶνος αὐτῷ. οὐκοῦν τῷ ἐπιόντι ἐνιαυτῷ ἡ τροπὴ ἔσται, Σκιροφοριῶνος νουμηνίᾳ. ἦν δ' αὐτῷ ἐνάτῃ ἱσταμένου. εἰ γὰρ ὀγδόῃ φθίνοντος τοῦ θαργηλιῶνος ἑάλω τὸ ἴλιον, ἑπτακαίδεκα πρότερον ἡμέραις τῆς θερινῆς τροπῆς. δῆλον ὅτι ἐνάτῃ ἱσταμένου τοῦ ἐπιόντος μηνὸς ἦν ἡ τροπή. εἰ δὴ ἡ τροπὴ ἐνάτῃ ἱσταμένου, τρεῖς εἶναι τὰς περιττὰς ἀναγκαῖον. φανερὰ δὲ μᾶλλον ταῦθ' ὕστερον ἔσται ἐπειδὰν περὶ χρήσεως ἐμβολίμου μηνὸς λέγωμεν. εἴτ' οὖν ἐφόρου ἁμάρτημα τοῦτ' ἐστὶν, εἴτε γραφέως καὶ τοῦτο, εἰς κοινὸν ἐκκείσθω σκο-

λεκτορίς φησι τίκτει ὅλον τὸν ἐνιαυτόν. ἔξω δύο μηνῶν τῶν ἐν τῷ χειμῶνι τροπικῶν. καὶ τὸ ἐν τοῖς μετεωρολογικοῖς. ὅτι ἐγένετο κομήτης ἀστὴρ πρὸς ἄρκτον μηνὸς Γαμηλιῶνος περὶ τροπὰς ὄντος τοῦ ἡλίου χειμερινάς. καὶ ἀνθεστηριῶνος δὲ ἀφαυτ' αὖ ποτε ἡ τροπή, λήγοντος. ἀλλ' οἱ γε ὀνομαζόμενοι τροπικοὶ χειμερινοί, δύο οἱ εἰρημένοι εἰσίν. ἄλλως μέντοι θέρους ἀρχὴν ὑποληπτέον εἶναι τὸν ἑκατομβαιῶνα. καὶ τροπικὸν θερινόν. ἀνάλογον δὲ καὶ τοὺς ἄλλους. δεῖ γὰρ μὴ τὸ συμβαῖνον, ἀλλὰ τὸ σκοπούμενον λαμβάνειν τῷ λόγῳ. εἴρηται γοῦν καὶ ἐν τοῖς φυσικοῖς τῶν λόγων, ὡς δεῖ ἕκαστον λέγειν τοῦτο εἶναι ὃ φύσει βούλεται εἶναι καὶ ὃ ὑπάρχει. ἀλλὰ μὴ ὃ βίᾳ καὶ παρὰ φύσιν.

Δ ιονύσιος δὲ παρ' ἐφόρου εἰληφὼς λέγει. Θαργηλιῶνος ἁλῶναι τὴν ἴλιον. Πλούταρχος γοῦν ἐν τῷ φρουρίου Καμίλλου βίῳ, ἔφορον ἀναγεγραφέναι τοῦτό φησιν οὐ μὴν δὲ καὶ πρότερον ἑπτακαίδεκα ἡμέρας τῆς θερινῆς τροπῆς λέγει. ἀλλ' οὖν Θαργηλιῶνος κἀκεῖνός φησιν.

Ε ἰ μὲν οὖν ἔφορος Σκιροφοριῶνος φάναι βουλόμενος εἶπε μὴ ἐγγὺς ὢν αὐτοῦ Θαργηλιῶνος. ὥσπερ ἐν ἄλλοις οὐδ' αὐτῆ ἰβηρίας τῆς κατὰ τὴν εὐρώπην μεγίστης χώρας, πόλιν εἶναί τινα τὴν ἰβηρίαν φησίν, ἀγαπάτω μηδὲν ἐπιτιμώμενος. σκῆψιν ἐπιτιμήσεως, καὶ ταῦτ' οὐ μακρὰν δεδωκώς. εἰ δ' ἄρα τις τῶν φαύλων γραφεὺς διήμαρτεν αὐτῆ σκι-

ἐπιδεῖται λόγου. πῶς ἂν ἑρμηνευόμενον τυγχάνοι τοῦ ἱκανοῦ. Δῆλον γὰρ ὅτι τὸ ἐμβολάζον, συχνὰ παρ' ἕνα που ἔχει τοὺς μῆνας ἀνομολόγους ταῖς ὥραις. διὸ καὶ θεόφραστος, ἔαρος εὐθὺς ἱσταμένου τοῦ θαργηλιῶνός φησιν, ὡς τοῦ μουνυχιῶνος χειμερινοῦ δὴ γενομένου. τοῦ δ' ἐμβολίμου, θερινοῦ τροπικοῦ. ἢ καὶ ποριστήσαντος τὴν τροπὴν εἰς ἱστάμενόν που τὸν ἑκατομβαιῶνα. τοῦτο μὲν οὖν μὴ συμβαίνειν, οὐχ οἷόν τε ἐστί. διὰ γὰρ τοῦτο καὶ ὁ ἐμβόλιμος ἐπάγεται ἀναπληρῶν τὸ ἐνδεὲς καὶ εἰς ἑκατομβαιῶνα τὰς τροπὰς ἀποκαθιστάς. τὴν δ' ἑρμηνείαν ποιητέον ἐπὶ τῶν οὕτω χρονολογούντων στοιχείῳ χρωμένους τῷ παρόντι ἀεὶ τροπικῷ μηνὶ καὶ τῷ ἑξῆς τῶν μηνῶν κατὰ τὰ ὑποτεθέντα. οἷον ἐπειδὴ θεόφραστος ἄκρου ἔαρος εὐθὺς ἱσταμένου τοῦ θαργηλιῶνός φησι, μεθερμηνευτέον μαρτίου καὶ μὴ ἀπρίλιος. Πάλιν ἐπειδὴ θουκυδίδης ἐλαφηβολιῶνα τελευταῖον μῆνα τῶν χειμερινῶν εἶναί φησι, τοῦτον μὲν φεβρουάριον ἑρμηνευτέον. τὸν δ' ἐπιόντα μουνυχιῶνα, θετέον ἔαρος εἶναι ἀρχὴν, καὶ μάρτιον μεταφραστέον λατίνοις. ὥστε δὴ καὶ συμβαίνει δύο ἰσημερινοὺς εἶναι ἐαρινούς. μουνυχιῶνά τε καὶ θαργηλιῶνα. καὶ φθινοπωρινοὺς δύο Μεμακτηριῶνα καὶ Βοηδρομιῶνα. ὡς δ' αὔτως καὶ τροπικοὺς δύο θερινούς. ἑκατομβαιῶνα καὶ τὸν ἐμβόλιμον. καὶ χειμερινούς. Ποσειδεῶνα καὶ Γαμηλιῶνα. δι' ὅπερ Ἀριστοτέλης, ἡ ἀ

λεκτορὶς

ὅλου ἐνιαυτοῦ, ἐκ περιόδων πλειόνων, ἔτι ὧν ἀπολα-
βόντες συνθέσθαι μίαν ἡμέραν. ἕλληνες δὲ παρ'
ἐκείνων ἄλλα τε πλείω τῶν οὐρανίων θεωρημάτων
καὶ ταῦτα παρέλαβον. τὰ μὲν μεθερμηνευθέντα
εἰς τὸ ἑλληνικὸν τῶν ὑπομνημάτων. τὰ δὲ καὶ συν-
διατρίψαντες τοῖς ἐκεῖ ἱερεῦσι περιττοῖς οὖσι τὴν
τῶν οὐρανίων ἐπιστήμην. πλάτωνα γοῦν φασί τινες
καὶ εὔδοξον ἀποδημήσαντας εἰς αἴγυπτον ὁμιλῆ-
σαι τοῖς ἱερεῦσι τρισκαίδεκα ἔτη. μυστικοὺς γὰρ
ὄντας καὶ δυσμεταδότους, ἔδει τῷ χρόνῳ καὶ ταῖς
θεραπείαις ἐκλιπαρῆσαι ὥστε τινα τῶν θεωρη-
μάτων ἱστορῆσαι. Ταῦτα μὲν οὕτω διαιρεῖν
ἴσως οὐ χεῖρον. τότε δὴ προειρημένον φαμεὶς ὁ ἐμ-
βόλιμος λύει. καὶ ἔτι διὰ πλείονος ἔτι χρόνου
παραλλάττει, εἰκὸς καὶ τοὺς πάλαι συνορῶντας
καὶ τοῦτο δή που ἐπανορθοῦσθαι. ὅτε μὲν μακρό-
τερον. ὅτε δὲ βραχύτερον τὸν ἐμβόλιμον ποιου-
μένους. τὸ δ' ἀκριβέστατον καὶ μηδὲ παρ' ὀλίγον
τι πλημμελεῖν, οὐκ ἐπιζητεῖν δεῖ. ὁπότε καὶ
νῦν ἐπίδοσιν τῆς ἀστρολογίας τοσαύτην λαβού-
σης, ὅμως ἡ τῆς κινήσεως ἀνωμαλία διαφεύγει τὸν
λόγον, περιγινομένη τῆς τῶν μαθηματικῶν ἐμπει-
ρίας. Τὰς μέντοι τῶν μηνῶν περιόδους ὁμο-
λογεῖν ταῖς ὥραις ἀεὶ ποιεῖ ὁ ἐμβόλιμος τῷ τρί-
τῳ ἀεὶ ἐπαγόμενος τῶν ἐτῶν.

Τὸ δὲ περὶ ἐμβολάσαι, καὶ περὶ τὸ ἐμβολάζονται
τὸ ἔτος ὑπενεχθέντι καὶ ἐπαλλάξαι τῶν μηνῶν,

περίοδον τοῦ ἡλίου τῶν ὡρῶν ἕνεκα.

ΠΕΡΙ ΕΝΙΑΥΤΟΥ.

Διχῶς οὖν ἐθεώρουν τὸν ἐνιαυτόν. οἷον τὸν μὲν, ἑξήκοντα καὶ τριακοσίαις ἡμέραις ὁριζόμενον τῷ ἡλίῳ. διὰ τὴν εἰς τοσαύτας μοίρας κατατομὴν τοῦ λοξοῦ. καὶ τούτου δὴ μέρος πέμπτον Ἀριστοτέλης εἶναι φησίν, ἡμέρας ἑβδομήκοντα καὶ δύο. τὸν δὲ τέτταρσι καὶ πεντήκοντα καὶ τριακοσίαις, τῇ σελήνῃ. ἀνάλογον δὲ καὶ τοὺς μῆνας ἦγον. τοὺς μὲν κατὰ τὸν ἥλιον. τοὺς δὲ κατὰ τὴν σελήνην. ἐπέβαλλόν τε τοῖς μὲν τριάκοντα ἡμέρας. τοῖς δὲ πέντε. καὶ εἴ του πλείονος δέοι διὰ τετάρτου ἐνιαυτοῦ τὰ δ᾽ ἄρα βοήθεια ἦν διατείνουσα μὲν οὐ πόῤῥω. ἱκανὴ μέντοι εἰς τὸ αὐτὸ ἀντικαθιστάναι καὶ εἴργειν ἐν τοῖς αὐτοῖς περὶ ὅροις τοὺς μῆνας. ἴαμά τε τῆς ἀνωμαλίας ἐτύγχανεν ὂν ὡς καὶ Πλούταρχος λέγει, μειζόνων ἰαμάτων δεήσεσθαι μέλλον.

Καῖσαρ οὖν ὁ πρῶτος μοναρχήσας ῥωμαίων, τοῖς ἀρίστοις τῶν μαθηματικῶν πρόβλημα περὶ τούτου προθείς. ἐκ τῶν ὑποκειμένων ἤδη μεθόδων ἰδίαν τινὰ καὶ διηκριβωμένην. μᾶλλον ἐπανόρθωσιν ἔμιξε. δοκοῦσι δ᾽ αἰγύπτιοι πρῶτοι μησὶ χρήσασθαι καθ᾽ ἥλιον τριακονθημέροις δώδεκα. καὶ πέντε ἡμέρας ἐπαγαγεῖν κατ᾽ ἐνιαυτὸν ἕκαστον, τό τε ἐπιτρέχον μόριον τῆς ἡμέρας εἰς ἐκπλήρωσιν τοῦ

μῆνας καὶ τὸ παράλλαγμα τῆς ἀνωμαλίας ἡμερῶν ἕνδεκα γίνεσθαι λογιζόμενος, ὡς τοῦ μὲν σεληνιακοῦ ἔτους τριακοσίας πεντήκοντα τέσσαρας ἔχοντος ἡμέρας. τοῦ δὲ ἡλιακοῦ τριακοσίας ἑξήκοντα πέντε, τὰς ἕνδεκα ταύτας διπλασιάσας, ἐπάγαγεῖν παρ' ἐνιαυτὸν αὐτὸν τῷ φεβρουαρίῳ μηνὶ τὸν ἐμβόλιμον εἴκοσι καὶ δυοῖν ἡμερῶν ὄντα. Δ

E Εἰκὸς δ' ἐκεῖνον ταῦτα πρὸς ὁμοίαν τινὰ ἀθηναίων χρῆσιν πεποιηκέναι. Σόλωνα γὰρ πρῶτον ἀθήνησι τὴν περὶ τοὺς μῆνας ἀνωμαλίαν συνιδεῖν φασι. καὶ τὴν μὲν ἡμέραν καθ' ἣν ἡ σελήνη καταλαμβάνει τε καὶ παρέρχεται τὸν ἥλιον. τάξαι ἕνην καὶ νέαν καλεῖσθαι, τὴν δ' ἐφεξῆς, νουμηνίαν προσαγορεύσαι ἄχρι τε τριακάδος τὸν μῆνα ἠριθμηκέναι καὶ ὅλως αὐτὸ τὸ βέλτιον διαθέσθαι τὰ περὶ τὸν ἐνιαυτόν. Χρῆσιν δ' ἐμβολίμου μηνὸς καὶ ἕλλησιν ἀνέκαθεν εἶναι δηλοῖ καὶ Ἡρόδοτος λέγων. Ἕλληνες μὲν διὰ τρίτου ἔτεος ἐμβόλιμον ἐπεμβάλλουσι τῶν ὡρέων εἵνεκεν. αἰγύπτιοι δὲ τριακονθημέροις ἄγοντες τοὺς δώδεκα μῆνας, ἐπάγουσι ἀνὰ πᾶν ἔτος πέντε ἡμέρας, παρὲξ τοῦ ἀριθμοῦ καί σφιν ὁ κύκλος τῶν ὡρέων ἐς τὠυτὸ περιιὼν παραγίνεται.

E Εἰ δὲ Νομᾶς μὲν εἴκοσι καὶ δυοῖν ἡμερῶν τὸν ἐμβόλιμον ἔταξεν. Ἡρόδοτος δὲ τριακονθήμερον καταριθμεῖ, οὐθὲν τουτὶ πρὸς τὸν νῦν λόγον. ἀλλ' ἐκεῖνο δῆλον κἀκ τούτων ὡς ἀθηναῖοι χρώμενοι ἐμβολίμῳ προσανεπλήρουν τὸ ἐλλεῖπον. πρὸς τὴν ὅλην

ὦν, οὐκ αὖ προτατικὸς ὁ ἑκατομβαιών, εἴη· πολὺ δ'
ἧττον ὁ μουνυχιὼν ἐαρινός τε καὶ ἰσημερινός.

E Ἔοικε δ' ἀπέμφαινον καὶ τὸ τοῦ Πλουτάρχου· συγ
κομιζομένης ὀπώρας πυανεψιῶνος ὀγδόῃ ἱσταμέ
νου. δοκεῖ γὰρ ὁ πυανεψιὼν μᾶλλον εἶναι ἰσημερι- Ξ
νὸς φθινοπωρινὸς, ἢ ὁ μαιμακτηριών. εἴγε ἀμπελι-
κῆς ὀπώρας ἡ κομιδοὺς ἦν. λῦσαι δ' ἤδη δεῖ τὰ ἀπορού
μενα ταῦτα. ἵν' ἥ τε σκέψις γίνηται κατὰ τρόπον,
καὶ τὸ πιστὸν μᾶλλον ἔχῃ τὰ εἰρημένα.

T Τοὺς μὲν οὖν πάνυ ἀρχαίους ἀλογίστως τε καὶ ἀτά
κτως κεχρῆσθαι τοῖς μησὶ καὶ ἄλλοις ἄλλως τὸν
ἐνιαυτὸν ὡρικέναι παρά τε ἄλλων καὶ Πλουτάρ-
χου ἀνδρὸς πολυμαθεστάτου πυθέσθαι ἐστίν. ἔνιοι
γοῦν τῶν βαρβάρων τρισὶν ἐχρῶντο μησὶν εἰς τὸν
ἐνιαυτόν. καὶ τῶν ἑλλήνων ἀρκάδες μὲν τέτταρσιν
ἀκαρνᾶνες δὲ ἕξ. αἰγυπτίοις δὲ μηνιαῖος ἦν ὁ ἐνι-
αυτός. εἶτα τετράμηνος. ὥς φασι. δι' ὃ καὶ ἀρχαιό
τατοι εἶναι δοκοῦσι. πλῆθος ἐτῶν καταριθμοῦντες
σφίσιν ἀμήχανον. ἅτε δὴ τοὺς μῆνας τιθέμενοι εἰς
ἐτῶν ἀριθμόν. καὶ ῥωμαῖοι δὲ πρότερον, δεκάμη-
νον ἦγον τὸν ἐνιαυτὸν, καὶ τῶν μηνῶν τοὺς μὲν οὐδὲ
εἴκοσιν ἡμερῶν. τοὺς δὲ πέντε καὶ τριάκοντα, τοὺς
δὲ καὶ πλειόνων. ἐκεῖνό τε μόνον ἐσκόπουν, ὅπως
ἑξήκοντα καὶ τριακοσίων ἡμερῶν ὁ ἐνιαυτὸς ἔσται.
ἔννοιαν δὲ τῆς γινομένης περὶ τὴν σελήνην καὶ τὸν
ἥλιον ἀνωμαλίας, οὐκ εἶχον. ὕστερον δὲ Νομᾶς
πομπίλιος βασιλεύων, λέγεται δύο τε προσθεῖναι

τὸ πολὺ τόκου τῶν ἰχθύων, ὡς οἱ πλεῖστοι τίκτουσιν ἐν
τρισί. μησί. μουνυχιῶνι. θαργηλιῶνι. σκιροφοριῶνι.
φασὶ ἐν τρισίν. Ἀπρίλι. Μαΐῳ Ἰουνίῳ, τίκτειν τοὺς
πλείστους.

E Περὶ τοῦ ἐνιαυτοῦ ὡς μὲν ῥωμαῖοι ἄγουσι. τριακόσιαι καὶ
ἑξήκοντα καὶ πέντε ἡμέραι εἰσίν. ἀκριβολογεῖ-
σθαι δ' εἰς τὸ παρὸν οὐ δεῖ. ὡς δὲ ἀθηναῖοι κατὰ
μὲν Ἀριστοτέλη, τριακόσιαι καὶ ἑξήκοντα. ἔνιοι δέ
φησι. κύουσι τῶν κυνῶν πέμπτον μέρος τοῦ ἐνιαυ-
τοῦ. τοῦτο δ' ἐστὶν ἡμέραι ἑβδομήκοντα καὶ δύο F
καθ' Ἡρόδοτον δὲ καὶ ἄλλους, τριακόσιαι πεντή-
κοντα τέσσαρες ὡς τοσούτων δὴ γινομένων, εἰ τῶν
μηνῶν οἱ μὲν πλήρεις τε καὶ τριακονθήμεροι. εἰ δὲ
κοῖλοι τε καὶ μιᾷ τῶν ἑτέρων ἡμέρᾳ λειπόμενοι,
ἐναλλὰξ εἶεν παρ' ἕνα. ὁπότερως δ' ἂν ἔχῃ, τὸ ἡμῶν
οὐδ' ἡ ἔτος ἀεὶ προτερήσει. καὶ ἐκ προσαγωγῆς,
εἰς ἐναντίας ὥρας ἐκπεσοῦνται οἱ μῆνες ὑποφερό-
μενοι. Πάλιν εἰς τὸ ἴλιον ἥλω τελευτῶντος τοῦ
ἔαρος ὀγδόῃ φθίνοντος θαργηλιῶνος μηνός. ἑπτα-
καίδεκα πρότερον ἡμέραις τῆς θερινῆς τροπῆς
ὡς ὁ ἁλικαρνασσεὺς Διονύσιος ἀρχαιολογῶν
τὰ ῥωμαϊκὰ φησί, πῶς τροπικὸς θερινὸς ὁ ἑκα-
τομβαιών. ὅδε γὰρ ὁ λόγος ἀποφαίνει σκιροφο-
ριῶνα εἶναι τροπικὸν θερινόν. ἀνομόλογον δέ,
καὶ τὸ Θεοφράστου. ὅτι ἄκρου ἔαρος εὐθύς, ἱσταμέ-
νου τοῦ θαργηλιῶνος. εἰ γὰρ ἄκρον ἔαρ ὁ θαργηλι-

κῶν κατὰ τὴν ὑποτεθεῖσαν σύνταξιν, τῷ ἀεὶ αὐτόν τι τῶν ῥωμαϊκῶν ἐφαρμόττειν, καὶ πρὸς τὰς ὥρας τοῦ ἐνιαυτοῦ συμφωνῶν ὑπάρξει.

Α ἀπορήσειε δ' αὐτῆς εἴγε τοὺς χρόνους ἀθηναῖοι ἦγον κατὰ τὴν σελήνης φοράν· ῥωμαῖοι δὲ κατὰ τὴν ἡλίου λογίζονται, πῶς ἂν οἱ τῶν ἀθηναίων ἐφαρμόζοιντο τοῖς τῶν ῥωμαίων μησὶν ὥς τι καὶ ἀπαρτίζειν ἀεί· καὶ ἰούνιον μὲν τὸν ἑκατομβαιῶνα· ἰούλιον δὲ, τὸν μεταγειτνιῶνα ἑρμηνεύειν ὀρθῶς· ὡσαύτως δὲ καὶ τοὺς τῶν ἄλλων. οὐ γὰρ ἰσοταχὴς ἡ σελήνη τῷ ἡλίῳ· οὐδ' ἅμα τελευτῶσι καὶ ἄρχονται ὡς εἰπεῖν περὶ τὸν τοῦ ζωδιακοῦ μερισμόν· ἀνάγκη δὴ ἐπαμφοτερίζειν τοὺς τῶν ἀθηναίων μῆνας· εἰ δὲ δὴ ἕκαστος ἐπαμφοτερίζων ἀμφοῖν ἐπιλήψεται τοῦ τε προτέρου ὡς ῥωμαῖοι ἄγουσι καὶ τοῦ ὑστέρου μηνὸς, τί μᾶλλον ἀπὸ τοῦ προτέρου μεθερμηνευόμενος ὀνομάζοιτο ἂν καλῶς, ἢ ἀπὸ τοῦ ὑστέρου· ὃν δὴ τρόπον καὶ Γαληνὸς περὶ τοῦ τῆς ἐλάτης σπέρματος γράφων· ὅς τις καιρὸς φησὶν ἐν ῥώμῃ μὲν ὁ καλούμενος μὴν σεπτέμβριός ἐστιν· ἐν περγάμῳ δὲ παρ' ἡμῖν ὑπερβερεταῖος· ἀθήνησι δὲ μυστήρια. Τὰ γάρ τοι μυστήρια βοηδρομιῶνος ἦν περὶ εἰκάδα γὰρ τοῦ βοηδρομιῶνος ὁ μυστικὸς ἴακχος ἐξήγετο· ὡς καὶ πλούταρχος ἱστορεῖ.

Ε ἔοικε δὲ καὶ ὁ ῥωμαῖος Πλίνιος παντοδαπῆς ἱστορίας συγγραφεὺς οὕτω μεταφέρων Ἀριστοτέλους·

ΠΕΡΙ ΕΡΜΗΝΕΙΑΣ ΤΩΝ ΜΗΝΩΝ.

Ἑρμηνείας δ' ἕνεκα πρὸς τοὺς τῶν ῥωμαίων, μῆνας, εἰ λάβοιμεν ἀρχὸν ὁμολογουμένην ἕνα τινὰ τῶν μηνῶν ὀνομάσαντες ὀρθῶς. ὡς ἀθηναῖοι ἦγον καὶ ὡς ῥωμαῖοι τὸν αὐτὸν προσαγορεύειν εἰώθασιν. ἔστω δὴ οὕτω καλῶς, ἀποδεδομένον ὡς ἑκάστοις γε μεθερμηνευτέον, καὶ ὡς περὶ ἑκάστην δήπου τῶν ὡρῶν χρηστέον τοῖς ἀθηναίων ὀνόμασι τούτοις. περὶ γὰρ τάξεως τῶν ῥωμαϊκῶν γε ἀμφισβητεῖ οὐδεὶς εἰ πρῶτος ἰανουάριος. εἶτα φεβρουάριος. εἶτα μάρτιος, καὶ οἱ λοιποί. καθάπερ καὶ λέγονται ἐφεξῆς. εἰλήφθω δὴ οὖν τις τῶν τροπικῶν. ἔστω δὲ εἰ δοκεῖ, ἑκατομβαιών. Εἰ τοίνυν περὶ ἑκατομβαιῶνα αἱ θεριναὶ τροπαὶ ἀθηναίοις, δῆλον ὅτι περὶ ἑκατομβαιῶνα αἱ θεριναὶ τροπαὶ ἀθηναίοις, δῆλον ὅτι περὶ ὃν ἄν ποτε ὦσι ῥωμαίοις τῶν οἰκείων μηνῶν, αἱ αὐταὶ τροπαί, οὗτος ἐστὶν ἑκατομβαιών. λέγω δὲ κατ' ἀναλογίαν ὥσπερ σημεῖον καὶ ἄκανθαν, καὶ ὀξὺ. ἀνάλογον γὰρ καὶ πάντα ἁπλῶς ἑρμηνεύειν δεῖ. μὴ ὅτι τοὺς μῆνας, εἰ μέλλοι τι ὄφελος εἶναι τῆς ἑρμηνείας. περὶ ἰούνιον δὲ ῥωμαίοις ἀεὶ αἱ θεριναὶ τροπαὶ ὡς ἴσασι πάντες. ὁ ἄρα ἰούνιός ἐστιν ἑκατομβαιών. θεμένοις δὲ δὴ ἰούνιον εἶναι τὸν ἑκατομβαιῶνα ἔργον οὐδὲν τῶν ἄλλων ἕκαστον ἑρμηνεῦσαι. ὅτι γὰρ ἀεὶ ἑπόμενος τῶν ἀττι-

ΤΟ ΕΦΕΞΗΣ ΤΩΝ ΑΤΤΙΚΩΝ ΜΗΝΩΝ.

Τὸ μὲν οὖν ἐφεξῆς τῶν ἀττικῶν μηνῶν ὧδε ἡμῖν διὰ τὰς εἰρημένας αἰτίας ὑφηγείσθω.

Ἑκατομβαιών.	Μεταγειτνιών.
Βοηδρομιών.	Μαιμακτηριών.
Πυανεψιών.	Ἀνθεστηριών.
Ποσειδεών.	Γαμηλιών.
Ἐλαφηβολιών.	Μουνυχιών.
Θαργηλιών.	Σκιροφοριών.

ΑΙΤΙΟΝ ΤΗΣ ΠΕΡΙ ΤΟΥΣ ΜΗΝΑΣ ΑΓΝΟΙΑΣ.

Τῆς δὲ περὶ τοὺς μῆνας ἀγνοίας τοῖς πρὸ ἡμῶν, αἴτιον τὸ ῥωμαίοις ἅμα καὶ διορθῶσαι τὰ περὶ τὸν ἐνιαυτὸν, καὶ ἄρξαι ὡς περὶ τῶν ἄλλων ἐθνῶν, καὶ τοῦ ἑλληνικοῦ. πρὸς γὰρ τῷ ἄρχειν ἑτέρων, καὶ τὸ τῆς φωνῆς δὴ καθαρὸν τὸ κομψὸν ἕλληνες ἀπολωλεκότες, πρὸς τὴν τῶν ἀρχόντων φωνὴν ἣ φιλεῖ γίνεσθαι ἐξίσαντο καὶ τῶν ῥωμαϊκῶν ὀνομάτων ἄλλοις τε πολλοῖς, καὶ δὴ καὶ ταῖς τῶν μηνῶν προσηγορίαις τοῖς σφετέροις ἀναμιγνύντες ἐχρῶντο. δεξάμενοί τε ἀποικίας ῥωμαίων αὐτοῦ τε ἄχρι καὶ νῦν ῥωμαίους αὑτοὺς ἀντὶ ἑλλήνων καλοῦσι. καὶ ὡς περὶ οἰκείαις ταῖς τῶν ῥωμαίων ἀμφὶ τοὺς μῆνας χρῶνται ὀνομασίαις.

κεῖνον δ᾽ εὐθύς, οὐδ᾽ ἔστιν. ὕστατος δὲ τῷ καταλόγῳ τῷδε ἡμῖν ἀνθεστηριών. τῷ γὰρ ὑπολειπομένῳ τὴν λοιπὴν ἀπονεῖμαι χώραν δὴ ἀναγκαῖον. καὶ πίστις ἱκανὴ, τέως γε τοῦτο ἂν εἴη. ἅμα δὴ δῆλον καὶ ὅτι T
περὶ ποσειδεῶνα αἱ χειμεριναὶ τροπαὶ, ἀκριβέστερον. ὅπερ κατ᾽ ἀρχὰς ἀπελίπομεν τοῖς ὑστέροις. ἕβδομος γὰρ οὐδὲ ἀπὸ ἑκατομβαιῶνος καὶ τροπῶν θερινῶν. φιλόστρατος δὲ πάμπολυ διέστηκε φάμενος ἀθηναίοις νόμιμον εἶναι τοὺς παῖδας τριετεῖς γενομένους, στεφανοῦσθαι τῷ ἀνθέων μηνὸς ἀνθεστηριῶνος, δῆλος γάρ ἐστιν ἐαρινὸν τόνδε μῆνα καταριθμῶν. εἰ μὲν οὖν οἱ ἐπ᾽ αὐτοῦ ἀθηναῖοι τὴν τῶν προγόνων περὶ τοὺς μῆνας σύνταξιν ὑπαλλάξαντες ἄλλως ἐχρῶντο, ἀληθὲς ἂν λέγοι. ἐπεὶ νῦν μὴν, οὐχ ὅτι οἱ κατὰ φιλοστράτου ἀθηναῖοι ἦσαν, ἀμελὲς εἰδέναι τι καὶ λαβεῖν. ἀλλ᾽ οἱ ἐπ᾽ ἀριστοτέλους καὶ θεοφράσ- T
του. εἰ δὲ δὴ τὸ μὲν περὶ τοὺς παῖδας αὐτὸς λογοποιεῖ τε καὶ πλάττεται, ὡς γὰρ ἄλλα πολλὰ, σοφιστὴς ὤν. ἀτὸν δὲ μῆνα ἀπὸ τῶν ἀνθέων ἐτυμολογῶν ὑπείληφεν ἐαρινὸν εἶναι, οὕτω δὲ καὶ, πολλῷ μᾶλλον οὐκ ἀπαφρονητότερα τὰ κατ᾽ αὐτὸν γίνεται. οὐδὲ γὰρ δὴ τὰ τῆς ἐτυμολογίας πιθανώτερα ἀπὸ τῆς ἐξέως τῶν ἀνθέων ἢ ἀπὸ τῆς στερήσεως φαίνοιτ᾽ ἄν. ὅτι γὰρ στέρεσθαι τότε ἀνθέων συμβαίνει τὴν ὥραν ἀνθεστηριῶνα τὸν τελευταῖον τῶν φθινοπωρινῶν μῆνα ὠνομάσθαι φαίημεν ἂν ἡμεῖς εἴ τι δέοι καὶ τοῖς ὀνόμασι κατακολουθεῖν.

λακώνων ὄντα καὶ διογενεῖ τῇ νάρκῃ καὶ εἴνῃ· ἰσημερία μὲν οὖν διὰ ταῦτα περὶ μαιμακτηριῶνα καὶ ἑξῆς ὅδε βοηδρομιῶνί ἐστι.

Πυανεψιὼν δὲ, μετὰ μαιμακτηριῶνα εὐθύς. τὸ δὲ πιστὸν καὶ παρὰ Πλουτάρχου ληπτέον λέγοντος ἐν τῷ Θησέως βίῳ ἄγειν ἀθηναίους τὴν τῶν ὠσχοφορίων ἑορτὴν πυανεψιῶνος, Θησέως καταστήσαντος. φέρειν τε τοὺς ὀσχοὺς ὅτι συγκομιζομένης ὀπώρας ἐπανῆκε θησεὺς μετὰ τῶν ἠϊθέων ἐκ κρήτης, πυανεψιῶνος ὀγδόῃ ἱσταμένου. δῆλον γὰρ ὅτι ἀμπελικῆς ὀπώρας ἡ κομιδὴ ἦν. ἡ δὲ ὀψιαιτέρα μετ' ἀρκτοῦρον, ἢ εἰς τρίτον μῆνα οὐκ ἂν γένοιτο περὶ ἀττικήν. τρίτος δ' ἡμῖν πυανεψιὼν ἀπὸ βοηδρομιῶνος καὶ μετ' ἀρκτοῦρον. ἀλλὰ μὴν καὶ Θεόφραστος ἐν τοῖς αὐτοῖς περὶ φυτῶν ἱστορεῖ, κόμαρον ἀνθεῖν πυανεψιῶνος. ὁρᾶται δὲ τοῦτο γινόμενον περὶ ἀττικὴν καὶ τὰς ὁμοίας τὴν κρᾶσιν χώρας δευτέρῳ μηνὶ ἀπ' ἰσημερίας φθινοπωρινῆς. τρίτῳ δὲ ἀπανθεῖν καὶ τὸ μεμαίκυλον ἤδη, ἀδρυνόμενον ἔχειν. πυανεψιῶνος δὲ καὶ τὴν ἐν αἰγύπτῳ κοκκυμηλέαν ἀνθεῖν φησι. τοῦτο δὲ περὶ δεύτερον γίνεσθαι μῆνα ἀπὸ ἰσημερίας αἰγύπτιοι λέγουσι.

Καὶ ἄλλως δὲ δόξειεν ἂν ἀμφισβητοῦντι μάλιστα τῶν ἄλλων ἁπάντων μηνῶν ὁ πυανεψιὼν εὐθὺς εἶναι μετὰ βοηδρομιῶνα, εἴγε περὶ αὐτὸν ἡ κομιδὴ τῆς ὀπώρας ὡς Πλούταρχος ἔφη. οὐκ ἔστι δὲ, μαιμακτηριῶνα γὰρ εἶναι ἀποδέδεικται δή. ὁ ἄρα μετ' ἐ-

στοτέλης, μετ᾽ ἀρκτοῦρον γάρ φησι περὶ βοηδρο-
μιῶνα καὶ μαιμακτηριῶνα ὡς εἴρηται. ἢ οὐ τὸ πα-
ρεγγὺς αὖ σημαίνοι οὕτω φράζων. τοῦτο δὲ ἄτοπον
ἐπεὶ καὶ ἡ φύσις πρὸς τὰς ὥρας ποιεῖται τὰς ὀχεί-
ας καὶ τοὺς τόκους τῶν ζώων, καὶ ἡ ποιότης χρῆται τῇ
ὥρᾳ ἢ τῷ μέσῳ που μάλιστα τῆς αὐτῆς. ἄλλως τε
καὶ εἰ τῇ ἀρχῇ χρῆσθαι μὴ ἤδη τυγχάνοι, σημεῖον
δ᾽ οὐ μακρὸν τοῦ προσέχους καὶ τὸ περὶ βοῶν οὕτω
ἔνθεν. ἄρχονται τῆς ὀχείας αἱ βοῦς περὶ τὸν θαργη-
λιῶνα μῆνα καὶ τὸν σκιροφοριῶνα. οὐ μὴν ἀλλ᾽ ἔνιαι
καὶ μέχρι τοῦ μετοπώρου κυΐσκονται. τὸν γὰρ τῶν
πλείστων χρόνον ἑνώσας περὶ τοὺς δύο μῆνας θαργη-
λιῶνα καὶ σκιροφοριῶνα, διεστείλατο πρὸς τὸν τῶν
ἐνίων, ὅλως τε ὅπου ποτ᾽ αὖ οὕτως ἑρμηνεύῃ σιωπά-
ζας μηθὲν προσδιορίζων, τὸ ἐφεξῆς τοῦ χρόνου λαμ-
βάνει. δῆλον δὲ τὰ καθ᾽ ἕκαστα μετιόντι. ἀλλὰ μὴν
καὶ τῶν γαλεῶν ἀστερίαν. ἄρχεσθαι μὲν ὀχεύεσθαι
μηνὸς μαιμακτηριῶνος φησι, δὶς δὲ τοῦ μηνὸς ἀπο-
τίκτειν. ταῦτα δὲ συμβαίνειν εὐθὺς ἀπὸ ἰσημερί-
ας φθινοπωρινῆς οἱ περὶ τάραντα ἁλιεῖς λέγουσιν.
εἰκὸς δὲ καὶ τῷ λόγῳ. τῶν γὰρ ἰχθύων ὀλίγοι τίκτου-
σι μετοπώρου. ὡς καὶ Ἀριστοτέλης ἱστορεῖ. οἷον σάλ-
πη. σαργός. καὶ ὅσα ἄλλα τοιαῦτα. καὶ νάρκη καὶ
ῥίνη. μικρὸν πρὸ ἰσημερίας τῆς φθινοπωρινῆς. εἰ δὲ
ἀστερίας μαιμακτηριῶνος τίκτει, εἰκὸς τὸν μῆνα τοῦ-
τον μὴ εἶναι δεύτερον ἀπὸ τῆς ἰσημερίας ἀλλὰ πρῶ-
τον. καὶ περὶ ἰσημερίαν δὴ ἡ τίκτειν καὶ ἀστερίαν τῶν σε

φοὺς φησὶ μετ᾽ ἀρκτοῦρον περὶ βοηδρομιῶνα. καὶ Θεόφραστος ὡραίαν εἶναι τὴν τοῦ καλάμου τομὴν, ὑπ᾽ ἀρκτούρῳ. βοηδρομιῶνος. καὶ σουίδας δὲ δὴ ὁ λεξικὸς ὑγιὲς εἴρηκε τοῦτό γε δεύτερον εἶναι ἀθηναίοις μῆνα τὸν μετὰ γειτνιῶνα εἰπών. μετὰ δὲ βοηδρομιῶνα ἐφεξῆς μαιμακτηριών. δῆλον δὲ, Ἀριστοτέλης γὰρ ἐν τοῖς αὐτοῖς περὶ ἐλάφων, τοῦτον ἐξῆς τέταχεν εἰπών. Ἡ δ᾽ ὀχεία γίνεται μετ᾽ ἀρκτοῦρον περὶ τὸν βοηδρομιῶνα καὶ μαιμακτηριῶνα. καὶ τῶν ζώων δὲ τὰ ἀσθενέστερα πρότερον ποιεῖσθαι τὴν μετάστασιν πρὸς τὰς μεταβολὰς τῶν ὡρῶν ἀποδεικνύς. ὄρτυγας μὲν βοηδρομιῶνος. γεραίους δὲ μαιμακτηριῶνος μεταβάλλειν φησὶ καθάπερ. ἀμέλει δὴ καὶ ὁρῶμεν τὰς γεραίους τοῦ ἀπιόντος μηνὸς μετὰ τοὺς ὄρτυγας ἀπαίρειν ἐκ τῶν ψυχρῶν τόπων, εἰς τοὺς ἀλεεινούς. ἅμα δὲ δῆλον, καὶ ἐκ τοῦ μῆνα δεῖν τάξαι περὶ ὃν ἡ φθινοπωρινὴ ἰσημερία. τέταρτον γὰρ ἀπὸ ἑκατομβαιῶνος, περὶ ὃν ἡ θερινὴ ἦν τροπή. μαιμακτηριὼν δὲ περὶ ὃν ἡ ἰσημερία. περὶ ἀρκτοῦρον γὰρ ἡ ἰσημερία, περὶ μαιμακτηριῶνα δὲ ὁ ἀρκτοῦρος. τῶν δὲ θέσεων τῇ μὲν αὐθέντης Θεόφραστος, αὐθεῖν ἰχθορῶν τὴν κερωνίαν περὶ ἀρκτοῦρόν τε καὶ ἰσημερίαν. καὶ προσέτι γαληνὸς ὁ ἰατρὸς, γράφων ἐν τοῖς περὶ ὑγιεινῶν λόγοις ὧδε. Ἔστι μὲν ὡραιότατον τῆς ἐλάτης τὸ σπέρμα περὶ τὴν ἐπιτολὴν τοῦ ἀρκτούρου. ὅστις καιρὸς ἐν ῥώμῃ ὁ καλούμενος μὲν σεπτέμβριός ἐστι. τῇ δ᾽ αὐθέντης Ἀρι

νίῳ πρότερον ὡς πλούταρχός φησιν καλουμένῳ. K ἔοικε δὲ πρόκλου χλευάζων, γελοίως τὰς Ἡσιόδου ἐξηγεῖσθαι ἡμέρας, ἕτερον εἶναι μῆνα ἑκατομβαιῶνος τὸν κρόνιον ὑπολαμβάνων καὶ τρίτον συντάττων ἀπὸ ἑκατομβαιῶνος, καὶ θαργηλιῶνα μὲν καὶ μεταγειτνιῶνα, μηδαμῶς ὀνομάζων ὑπ' ἀμαθίας· ληναιῶνα δὲ ὃν καὶ αὐτὸς ᾔδει ἰανουάριον ὄντα. καταλέγων ἐν τοῖς τῶν ἀθηναίων μησὶ καὶ δεύτερον τιθεὶς ἀπὸ ἑκατομβαιῶνος. ἑκατομβαιῶνα μὲν οὖν εἶναι μετὰ σκιροφοριῶνα εὐθὺς καὶ περὶ ἑκατομβαιῶνα τὰς θερινὰς εἶναι τροπάς, φανερὸν δὴ ἐνθένδε. μεταγητνιῶνα δ' ἑξῆς εἶναι, εἶτα βοηδρομιῶνα δήλωσις μὲν καὶ τὰ Δημοσθένους ἄρτι εἰρημένα. συμμαρτυρεῖ δὲ καὶ τὸ Θεοφράστου περὶ ἀρότου λεχθὲν πρότερον, μεταγητνιῶνα ἐφεξῆς εἶναι ἑκατομβαιῶνι. τοῦ γὰρ χειμερινοῦ ἀρχὴν μετὰ τροπὰς θερινὰς τοῦ μεταγειτνιῶνος μηνὸς εἶναί φησιν· αἱ δὲ θεριναὶ τροπαὶ περὶ ἑκατομβαιῶνα ἦσαν. καὶ ἔτι τὸ Ἀριστοτέλους περὶ κυήσεως τῶν καράβων. μετὰ γὰρ ἑκατομβαιῶνα μεταδειτνιῶνα καταριθμεῖ ἐφεξῆς. βοηδρομιῶνα δὲ ἐπὶ μεταγειτνιῶνι εἶναι, συλλογίσασθαι δεῖ καὶ ἐκ τοῦ ῥηθέντος Ἀριστοτέλει περὶ τόκου τῶν καράβων ἐστί. πρὸ ἀρκτούρου γάρ φησι τοὺς καράβους ἐκτίκτειν. κυοῦσι δὲ περὶ μῆνας τρεῖς· σκιροφοριῶνα. ἑκατομβαιῶνα. μεταγητνιῶνα· ἀρκτοῦρός τε περὶ βοηδρομιῶνα ἐπιτέλλει. Ὀχεύεσθαι γὰρ τὰς ἐλα

ἀπὸ γὰρ θερινῶν τροπῶν ἡ ἀρχὴ ἦν ἐκείνοις τοῦ ἔτους, ὥσπερ ῥωμαίοις ὕστερον ἀπὸ τῶν χειμερινῶν. ἀρχὴν μὲν οὖν εἶναι τοῦ ἔτους τὸν ἑκατομβαιῶνα, δῆλον Δημοσθένης ποιεῖ ἐν τρίτῳ τῶν ὀλυνθιακῶν λέγων. Μετὰ δὲ ταῦτα διελθόντες τοῦ ἐνιαυτοῦ τούτου, ἑκατομβαιών. μεταγειτνιών. Βοηδρομιών. τούτου τοῦ μηνὸς μόγις μετὰ μυστήρια, δέκα ναῦς ἀπεστείλατε. ἀποδείκνυσι γὰρ τὴν ἀθηναίων ἀμέλειαν, καὶ εἰς τρεῖς ἔτι μῆνας τοῦ ἀπιόντος ἐνιαυτοῦ προσπαρατετάσθαι. ὡς δ᾽ ἀπὸ θερινῶν τροπῶν εἶναι τὴν ἀρχήν, σιμπλίκιος ἐξηγούμενος Ἀριστοτέλους τῆς φυσικῆς ἀκροάσεως τὸ πέμπτον. ὧδε περὶ τοῦ φύσει προτέρου καὶ ὑστέρου λέγων, πιστοῦται. ἃς δὲ ἡμεῖς ποιούμεθα ἀρχάς, ἐνιαυτοῦ μέν, περὶ θερινὰς τροπὰς ὡς ἀθηναῖοι. ἢ περὶ μετοπωρινὰς ὡς οἱ περὶ τὴν νῦν καλουμένην ἀσίαν. ἢ περὶ χειμερινὰς ὡς ῥωμαῖοι. ἢ περὶ ἐαρινὰς ὡς ἄραβες. καὶ δαμασκηνοί. μηνὸς δὲ ὥς τινες ἀρχὴν τὴν πανσέληνον λέγουσιν ἢ τὴν νέαν, ἔσονται θέσει αὗται πάλιν εἰ ἀρχὴ μὲν τοῦ ἔτους ἀπὸ τροπῶν θερινῶν ἀθηναίοις ὡς σιμπλίκιος λέγει. θέρους δὲ περὶ τὸν ἑκατομβαιῶνα περὶ τροπὰς τίκτουσι θυννίδες ὡς Ἀριστοτέλης, συμπέρασμα ὅτι ἀρχὴ τοῦ ἔτους ὁ ἑκατομβαιών, τροπικὸς ὢν θερινός. ἀλλὰ μὴν καὶ ἑορτὴν ἀθηναῖοι τότε ἦγον δημοτελῆ. καὶ ἔθυον μεγαλοπρεπῶς τῷ ἡλίῳ. ὡς περὶ τροπὰς ὄντι. ὅθεν καὶ τοὔνομα τῷ μηνί, ἑκατομβαιών. χρο-

Σκιροφοριῶνα καὶ Ἑκατομβαιῶνα καὶ Μεταγειτνιῶνα. Ἔτι δὲ βέβαιον καὶ ἐκ πολλῶν ἄλλων. Μῆνα γὰρ τάξαι δεῖ προσεχῆ περὶ ὃν αἱ θεριναὶ τροπαί. τέταρτον γὰρ ἀπὸ Μουνυχιῶνος ὅς δὴ πρῶτος ἦν τῶν ἐαρινῶν. περὶ Ἑκατομβαιῶνα δὲ αἱ τροπαὶ αἱ θεριναὶ ὡς καὶ ἀριστοτέλης διασαφεῖ λέγων ἐν τοῖς αὐτοῖς περὶ ζώων. Ἔνια δὲ τίκτει χειμῶνος καὶ θέρους. χειμῶνος μὲν λάβραξ καὶ κεστρεύς. θέρους δὲ περὶ τὸν Ἑκατομβαιῶνα θυννίδες περὶ τροπὰς θερινάς. καὶ πάλιν. ὀχεύονται θύννοι καὶ σκόμβροι φησὶ περὶ τὸν ἐλαφηβολιῶνα φθίνοντα. τίκτουσι δὲ περὶ τὸν ἑκατομβαιῶνα ἀρχόμενον ὃ γὰρ πρότερον περὶ τροπὰς θερινὰς εἶπε, τοῦτ' αὖ τὸ ὕστερον περὶ Ἑκατομβαιῶνα ἀρχόμενον λέγει. ὡς ἄρα περὶ Ἑκατομβαιῶνα ἀρχόμενον τῶν θερινῶν γινομένων τροπῶν, ὁμολογούμενον δὲ τούτοις καὶ τὸ περὶ τομῆς τοῦ αὐλητικοῦ καλάμου θεοφράστῳ λεχθέν. τέμνουσι γὰρ δὴ νῦν φησι τοῦ Σκιροφοριῶνος καὶ Ἑκατομβαιῶνος. ὡσπερεὶ πρὸ τροπῶν μικρὸν ἢ ὑπὸ τροπάς. καὶ τὸ πρότερον δὴ παρατεθέν. ὅτι μετὰ τροπὰς θερινάς, τοῦ μετὰ γειτνιῶνος μηνός. εἴτε μετὰ Ἑκατομβαιῶνα, μετὰ γειτνιῶνα ἐφεξῆς.

ΟΤΙ ΑΡΧΗ ΕΝΙΑΥΤΟΥ ΑΘΗΝΑΙΟΙΣ Ο ΕΚΑΤΟΜΒΑΙΩΝ.

Καὶ ἀθηναῖοι δὲ τοῦ ἐνιαυτοῦ ἤρχοντο ἀπὸ ἑκατομβαιῶνος. διὰ τὸ τὰς τροπὰς γίνεσθαι περὶ αὐτόν. ἀ-

ἡ ἑορτή. Σκιροφοριῶνα δ᾽ ἑξῆς εἶναι Θαργηλιῶνι, μαρτυρεῖ καὶ Θεόφραστος ἐν τοῖς αὐτοῖς περὶ φυτῶν. λέγων πεύκην καὶ ἐλάτην καὶ δρῦν διαλείπειν περὶ τὴν αὔξησιν καὶ τρεῖς ἀφιέναι βλαστούς. τὸν μὲν πρῶτον ἄκρου ἔαρος, εὐθὺς ἱσταμένου τοῦ Θαργηλιῶνος. τὸν δὲ δεύτερον διαλιπούσας περὶ τριάκοντα ἢ μικρῷ πλείους ἡμέρας ἐπιβάλλεσθαι περὶ τὸν σκιροφοριῶνα μῆνα λήγοντα. τὸν δὲ τρίτον διαλιπούσας περὶ πεντεκαίδεκα ἡμέρας, ἐπιβάλλεσθαι, ἓξ ἢ ἑπτὰ ἡμέρας Ἑκατομβαιῶνος. μαρτύριον δὲ καὶ τὸ ψήφισμα ὅπερ Αἰσχίνης προφέρεται ἐν τῷ κατὰ Κτησιφῶντος λόγῳ. φησὶ γὰρ γεγράφθαι Θαργηλιῶνος μηνὸς δευτέρᾳ φθίνοντος ἀγορὰν ποιῆσαι τῶν φυλῶν Σκιροφοριῶνος δευτέρᾳ ἱσταμένου καὶ τρίτῃ. Ἐπὶ δὲ Σκιροφοριῶνι Ἑκατομβαιῶνα εἶναι. δηλοῖ μὲν καὶ ἐκ τῶν νῦν εἰρημένων Θεόφραστος. οὐχ ἥκιστα δὲ καὶ ἐξ ὧν ἱστορεῖ περὶ τῆς τομῆς τοῦ αὐλητικοῦ καλάμου, λέγει γὰρ πρὸ Ἀντιγενίδου μὲν ἡνίκα ηὔλουν ἀπλάστως, ὡραίαν τὴν τομὴν εἶναι ὑπ᾽ ἀρκτοῦρον Βοηδρομιῶνος μηνός. ὕστερον δὲ ἐπειδὴ εἰς τὴν πλάσιν μετέβησαν, μετακινηθῆναι. τέμνειν γὰρ τοῦ Σκιροφοριῶνος καὶ Ἑκατομβαιῶνος. ὡσπερεὶ πρὸ τροπῶν μικρὸν ἢ ὑπὸ τροπάς. καὶ Ἀριστοτέλης δὲ τρεῖς ἐφεξῆς τέταχε τουτουσὶ μῆνας εἰπών.

Τῶν δὲ μαλακοστράκων οἱ κάραβοι μετὰ τὴν ὀχείαν, κυοῦσι καὶ ἴσχουσι τὰ ᾠὰ περὶ τρεῖς μῆνας.

Σκιροφοριῶνα

εἶναι περὶ ὃν ἰσημερία ἐαρινή. περὶ Μουνυχιῶνα δὲ αὕτη. Θεόφραστος γὰρ ἐν τοῖς αὐτοῖς περὶ ἀρότου ὥσπερ ἀπὸ τροπῶν εἶναί φησι τὴν ἀρχὴν τοῦ πρώτου καὶ δευτέρου τῶν ἀροτῶν, ὡς καὶ τὴν τοῦ τρίτου ἀπὸ ἰσημερίας ἐαρινῆς εἶναι ἐνδεικνύμενος, ἀρχὴν τοῦ τρίτου φησὶν ὃν καλοῦσι θερινὸν, Μουνυχιῶνος. ἐν ᾧ σπείρεται σίκυος. κολοκύντη. βλίτον. οὐ μὴν ἀλλὰ καὶ τῶν ἰχθύων τοὺς πλείστους τίκτειν περὶ ἐαρινὴν ἰσημερίαν Ἀριστοτέλης φησί. τοὺς δὲ πλείστους καὶ ἐν τρισὶ μησὶ, Μουνυχιῶνι. Θαργηλιῶνι. Σκιροφοριῶνι, ὡς εἴρηται. οὐκοῦν περὶ Μουνυχιῶνα ἡ ἐαρινὴ ἰσημερία. καὶ ἐφεξῆς Ἐλαφηβολιῶνι Μουνυχιών. μετὰ δὲ Μουνυχιῶνα εὐθὺς εἶναι Θαργηλιῶνα, εἶτα Σκιροφοριῶνα, ἀλλὰ δῆλον οὐκ ἐκ τῶν νῦν δὴ εἰρημένων Ἀριστοτέλους μόνον, ἀλλὰ καὶ ἐκ τῶν λεχθέντων αὐτῷ περὶ βοῶν, καὶ ἐλάφων ἐν τοῖς αὐτοῖς περὶ ζώων ἱστορουμένοις.

Ἄρχονται τῆς ὀχείας φησὶν αἱ βοῦς περὶ τὸν Θαργηλιῶνα μῆνα. καὶ τὸν Σκιροφοριῶνα, αἱ πλεῖσται. οὐ μὴν, ἀλλ' ἔνιαι καὶ μέχρι τοῦ μετοπώρου κυΐσκονται. καὶ τοὺς ἐλάφους δὲ ἀποβάλλειν περὶ Θαργηλιῶνα τὰ κέρατα λέγει. τοῦτο δὲ δευτέρῳ μηνὶ τῶν ἐαρινῶν συμβαῖνον ὁρῶμεν. εἰς ταυτὸ δὲ, τείνει καὶ ἐν τοῖς μετὰ τὰ φυσικὰ ῥηθέν. ὅτι ἐξ ἰσημερίας ἐγένετο ὁμοίως· καὶ ἐκ Διονυσίων θαργήλια. διότι μετὰ τὰ Διονύσια. δῆλον γὰρ ὅτι Μουνυχιῶνος καὶ περὶ ἰσημερίαν ἐαρινὴν ἤγετο Διονύσια

οὐδὲ δεύτερος. τρίτος ἄρα εἴγε τρεῖς περὶ ἑκάστην τῶν ὡρῶν μῆνες εἰσίν. ἐφεξῆς δ' ἐλαφηβολιῶνι, μουνυχιών. τέταρτος μὲν γὰρ ἀπ' ἐλαφηβολιῶνος σκιροφοριών. τρίτος δὲ ἀπὸ μουνυχιῶνος. Ἀριστοτέλης ἐν τῇ αὐτῇ περὶ ζώων ἱστορίᾳ, ὧδε καταριθμούμενος τέταχε.

Γ ἰκτοῦσι δ' οἱ πλεῖστοι τῶν ἰχθύων ἐν μησὶ τρισί. μουνυχιῶνι καὶ θαργηλιῶνι, καὶ σκιροφοριῶνι.

Δ ημοσθένης δὲ ἐν τῷ περὶ παραπρεσβείας λόγῳ, ἡ μὲν τοίνυν εἰρήνη φησὶν ἐλαφηβολιῶνος ἕκτῃ ἐπὶ δέκα ἐγένετο, ἀπεδημήσαμεν δὲ ἡμεῖς ἐπὶ τοὺς ὅρκους τρεῖς ὅλους μῆνας. καὶ τοῦτον ἅπαντα τὸν χρόνον ἦσαν οἱ φωκεῖς σῶοι. ἥκομεν δὲ ἀπὸ τῆς πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους, τρίτῃ ἐπὶ δέκα τοῦ Σκιροφοριῶνος. Καὶ Αἰσχίνης δὲ ἐν τῇ περὶ παραπρεσβείας ἀπολογίᾳ, ὑπειπὼν ὅτι δὴ τὴν ἐπιστολὴν γράψειε χάρης Ελαφεβολιῶνος μηνὸς ἕκτῃ φθίνοντος, ἐπήνεγκε τάδε.

Α κούετε ὅτι Μουνυχιῶνος ἐψηφίσθη τρίτῃ ἱσταμένου ὁ δὲ κερσοκλέπτης πόσαις πρότερον ἡμέραις ἀπώλεσε τὴν θρᾴκην, πρὶν ἐμὲ ἀπιέναι. ὥς φησι χάρης στρατηγός. καὶ ἐπιστολὴ τοῦ προτέρου μηνός, εἴπερ ἐλαφηβολιὼν ἐστὶ Μουνυχιῶνος πρότερος.

ΟΤΙ ΠΕΡΙ ΜΟΥΝΥΧΙΩΝΑ Η ΕΑΡΙΝΗ ΙΣΗΜΕΡΙΑ.

Δ ῆλον δὲ τοῦτ' αὐτὸ καὶ ἐκ τοῦ δεῖν μῆνα συνεχῆ

αύσιον ἐκεχειρίαν τὴν γενομένην λακεδαιμονίοις καὶ ἀθηναίοις, τελευτῶντος ὀγδόου ἔτους τοῦ πολέμου· τετράδι ἐπὶ δέκα τοῦ ἐλαφηβολιῶνος μηνὸς ὁμολογεῖσθαι φησί· τὴν δ᾽ αὐτὴν ἐκεχειρίαν καὶ διελθόντος τοῦ χειμῶνος, ἅμα ἦρι τοῦ ἐπιγινομένου θέρους γεγονέναι. καὶ τῇ πέμπτῃ δ᾽ αὖ τῶν αὐτῶν ἱστοριῶν, σπονδὰς γενέσθαι φησὶν ἐπὶ ἄρχοντος ἀθήνησιν Ἀλκαίου· ἐλαφηβολιῶνος μηνὸς ἕκτῃ φθίνοντος· τὰς δ᾽ αὐτὰς σπονδάς, καὶ τελευτῶντος τοῦ χειμῶνος ἅμα ἦρι γενέσθαι φησίν.

Ἔτι δ᾽ ἀριστοτέλης τῶν θηρίων τὴν ἄρκτον ἱστορεῖ τὴν ὀχείαν ποιεῖσθαι τοῦ μηνὸς τοῦ ἐλαφηβολιῶνος. κύειν δὲ ἡμέρας τριάκοντα· καὶ τίκτειν περὶ τὸν καιρὸν ὃν φωλεῖ. ὅταν δὲ ἐκθρέψῃ τρίτῳ μηνί, ἐκβαίνειν ἤδη τοῦ ἔαρος· ταῦτα δ᾽ εἰπὼν ἐν ἑβδόμῳ, πάλιν ἐν ὀγδόῳ φησὶ τὴν ἄρκτον ἐντίκτειν περὶ τοῦτον τὸν καιρόν· καὶ φωλεῖν ἕως ἂν ὥρα ᾖ ἐξάγειν τοὺς σκύμνους· τοῦτο δὲ ποιεῖν τοῦ ἔαρος περὶ τρίτον μῆνα ἀπὸ τῶν τροπῶν· ὥστ᾽ ἐάν τε τί- A
κτειν ἀπὸ τροπῶν χειμερινῶν περὶ τρίτον μῆνα ἐάν τε ἐξάγειν ἀπὸ ἐαρινῆς ἰσημερίας περὶ τρίτον ἀκούειν δέῃ, κατ᾽ ἄμφω δὲ, τὸν ἐλαφηβολιῶνα γε μῆνα τελευταῖον εἶναι τῶν χειμερινῶν καὶ τρίτον συμβαίνει. τίκτειν γάρ φησι, περὶ ὃν καιρὸν μάλιστα φωλεῖ· φωλεῖ δὲ τὰ χερσαῖα πάντα τοῦ χειμῶνος, ὡς εἴρηται ἐν τῷ ὀγδόῳ. χειμερινὸς ἄρα ὁ ἐλαφηβολιὼν περὶ ὃν κύει. οὐ πρῶτος δέ,

τοῦτο δ' αὐτὸ πάλιν καὶ ἐν τῷ ἑβδόμῳ φησὶν αἴμα δὲ δῆλον ὅτι καὶ τροπικὸς ὁ ποσειδεών. εἰ γὰρ περὶ ποσειδεῶνα πρὸ τῶν τροπῶν. χειμερινὸς δ' ὁ ποσειδεὼν, φανερὸν ὅτι περὶ ποσειδεῶνα αἱ τροπαί. περὶ γὰρ πρῶτον μῆνα τῶν χειμερινῶν, γίνονται αἱ τροπαί. καὶ ἡ περὶ ποσειδεῶνα πρὸ τῶν τροπῶν. ῥῆσις ἄρα, τὸ πότε τοῦ μηνὸς διορίζει. ὡς καὶ μετὰ τροπὰς γινομένου τοῦ περὶ τὸν αὐτὸν μῆνα περὶ ὃν αἱ τροπαί. οὐ μὴν, ἀλλὰ καὶ τῶν ὀρνίθων. ἀλκυών. τίκτει μὲν περὶ τροπὰς χειμερινάς. δι' ὃ καὶ καλοῦνται ὅταν εὐδιειναὶ γένωνται αἱ τροπαί, ἀλκυόνειαι ἡμέραι. ἑπτὰ μὲν πρὸ τροπῶν, ἑπτὰ δὲ μετὰ τροπάς. καθάπερ καὶ Ἀριστοτέλης φησί. καλεῖται δὲ ποσειδεωνὶς τοῖς πολλοῖς ἡ ὄρνις. παρά του τῶν ἀστείων ὡς ἔοικε τοὔνομα εἰληφόσι παρὰ τὸ τίκτειν ποσειδεῶνος μηνός· ὥς τι σημεῖον καὶ τοῦ τ' αὖ εἴη τροπικὸν εἶναι τὸν ποσειδεῶνα καὶ τῶν χειμερινῶν πρῶτον.

Νῦν μὲν οὖν ἐκ τούτων εἰλήφθω χειμερινόν τι καὶ τροπικὸν εἶναι τὸν ποσειδεῶνα. ὕστερον δὲ καὶ δι' ἀκριβείας μᾶλλον δειχθήσεται. τὴν δ' ἀκρίβειαν οὐχ ὁμοίως ἐν ἅπασιν ἐπιζητεῖν δεῖ, ἀλλ' ἐν ἑκάστοις κατὰ τὴν ὑποκειμένην ὕλην καὶ ἐπὶ τοσοῦτον, ἐφ' ὅσον οἰκεία τῇ μεθόδῳ. Μετὰ δὲ γαμηλιῶνα, εὐθὺς ἐλαφηβολιών. τελευταῖος γὰρ μηνὸς τῶν χειμερινῶν δεῖ. οὗτοσὶ δὲ τελευταῖος σημεῖον δὲ, Θουκυδίδης γὰρ ἐν τετάρτῃ τῶν ἱστοριῶν τὴν ἐνι-

Καλοῦσι δὲ οὕτως, οὐ πρὸς τὴν σπορὰν βλέποντες, ἀλλὰ πρὸς τὴν γένεσιν καὶ τὴν χρείαν ἑκάστου. ἐπεὶ ἥ γε σπορὰ, σχεδὸν ἐν τοῖς ἐναντίοις γίνεται χειμερινοῦ γὰρ ἀρχὴ μετὰ τροπὰς θερινὰς τοῦ μετὰ γειτνιῶνος μηνός. καλοῦσι δὲ τοῦτον πρῶτον τῶν ἀρότων. τοῦ δὲ δευτέρου πάλιν, μεθ' ἡλίου τροπὰς χειμερινὰς τοῦ γαμηλιῶνος μηνός.

Εἰ δὴ περὶ ποσειδεῶνα πρὸ τῶν τροπῶν, καὶ γαμηλιῶνος μετὰ τροπὰς, γαμηλιῶνα μετὰ ποσειδεῶνα εἶναι ἀνάγκη. ὡς δὲ καὶ ἐφεξῆς, συμφανὲς ἐκ τοῦ προκειμένου, καὶ τῆς φράσεως τοῦ τ' ἀκούειν χρεών. ὁ γὰρ περὶ ποσειδεῶνα πρὸ τῶν τροπῶν λέγων καὶ γαμηλιῶνος μετὰ τροπὰς, ἤτοι περὶ τὸν ὀνομαζόμενον μῆνα τὰς τροπὰς εἶναι βούλεται, ἢ περὶ τὸν ἐγγύτατά γε δηλοῦν. ὅτι δὲ καὶ χειμερινὸς αὐτὸς ὁ ποσειδεὼν δῆλον ἐξ ὧν Ἀριστοτέλης ἐν τῇ αὐτῇ ἱστορίᾳ διακρινεῖ περὶ ἰχθύων τῶν καλουμένων κεστρέων. εἰπὼν γὰρ πρόσθεν ὅτι χειμῶνος ὁ κεστρεὺς τίκτει. μετὰ ταῦτα καὶ τὸν μῆνα περὶ ὃν τίκτει ὀνομάζει λέγων, ὅτι ποσειδεῶνος. ἄμφω δὲ ταῦτα ἐν τῷ πέμπτῳ τῆς ἱστορίας ἐπὶ τῇδε τῇ λέξει. Τίκτει δ' ἔνια καὶ χειμῶνος καὶ θέρους. χειμῶνος μὲν λάβραξ. κεστρεύς. βελόνη. θέρους δὲ, περὶ τὸν ἑκατομβαιῶνα θυννίδες. εἶτα ἄρχονται δὲ τίκτειν τῶν κεστρέων, οἱ μὲν χέλωνος τοῦ ποσειδεῶνος. καὶ ὁ μύξων καλούμενος καὶ ὁ κέφαλος. κυοῦσι δὲ τριάκοντα ἡμέρας.

κείων, δεικνύειν. μετὰ δὲ ταῦτα περὶ χρείας ῥητέον τούτου γὰρ ἕνεκα καὶ τὴν τάξιν εἰδέναι μάλιστα προαιρούμεθα. καὶ πρὸς τούτοις ἔτι ἄλλο πως οἰκεῖον τῇ σκέψει τῇδε ἔστι προσληπτέον, βραχύ τι συμπεριλαμβάνοντας. ἵνα μὴ τοῦ ἔργου μεῖζον τὸ πάρεργον γίγνηται.

ΠΕΡΙ ΤΑΞΕΩΣ ΤΩΝ ΜΗΝΩΝ.

Εἰλήφθω τοιγαροῦν μὴν ὁ τυχὼν πρῶτος τῷ λόγῳ ἔστω δὲ εἰ δοκεῖ ποσειδεών. μετὰ ποσειδεῶνα δὴ αὖθις γαμηλιών. μάρτυρες δὲ τούτου, Ἀριστοτέλης τε καὶ Θεόφραστος ἄνδρες παλαιᾶς μνήμης καὶ ἐμπείρως ἔχοντες τῆς ἀθηναίων φωνῆς. δεῖ γὰρ μὴ ἀμάρτυρα φάσκειν ὡς οἱ πρὸ τοῦ, θέσεις πρὸς τῷ ψεύδει, καὶ ἀδεσπότοις ἀποδεδώκασι λέγοντες περὶ τούτων. ἀλλ᾽ ἐφ᾽ ἑκάστοις μάρτυρας παρέχεσθαι ἄνδρας ἀξιοπίστους. ὥσπερ ἐν δικαστηρίῳ πᾶν γὰρ τὸ ἐν τούτοις πιστὸν, οὐκ ἐκ τεκμηρίων καὶ λόγων τοιούτων, ἀλλ᾽ ἐξ ὧν τινες τῶν ἐνδόξων εἰπόν ἐστι. τούτων δὴ ὁ μὲν ἐν τῇ περὶ τὰ ζῶα ἱστορίᾳ ὧδε λέγει. Η δὲ θυννὶς ἅπαξ τίκτει. ἀλλὰ διὰ τὸ τὰ μὲν πρώϊα τὰ δὲ ὄψια προΐεσθαι, δὶς δοκεῖ τίκτειν. ἔστι δὲ ὁ μὲν πρῶτος τόκος περὶ τὸν ποσειδεῶνα πρὸ τῶν τροπῶν. ὁ δ᾽ ὕστερος τοῦ ἔαρος. θεόφραστος δὲ ἐν τῇ περὶ τὰ φυτὰ ἱστορίᾳ, ἀρχὴν εἶναί φησι τοῦ δευτέρου τῶν ἀρότων μεθ᾽ ἡλίου τροπὰς χειμερινὰς τοῦ γαμηλιῶνος μηνός. ἔχει δὲ ἡ λέξις αὐτῷ ὧδε.

φιλοσόφου δὲ καὶ τὸ περὶ τούτου ἐσκέφθαι. τῆς αὐτῆς γὰρ ἐπιστήμης ἐστὶν, ὀρθῶς τε τοῖς κειμένοις χρῆσθαι ὀνόμασιν, καὶ μηδὲν ἀλλοεθνὲς ἐπιπολάζειν τοῖς οἰκείοις ἐᾶν. ὥσπερ ἀμέλει καὶ τὰ μὲν μήπω ὑπάρχοντα νομοθετεῖν. τὰ δὲ μοχθηρῶς ὠνομασμένα τοῖς πολλοῖς διορθοῦσθαι. οὕτω γὰρ καὶ ἑκάστη τῶν ἐπιστημῶν βέλτιον τὸ αὑτῆς ἔργον ἀποτελοῦσα συμβάλλοιτο εἰς τὴν πολιτικὴν κοινωνίαν. μάλιστα δὲ, αἱ περὶ τοὺς λόγους.

ΜΗΝΕΣ ΑΘΗΝΑΙΩΝ.

Δώδεκα μὲν τοίνυν τὸν ἀριθμὸν εἶναι ὀνόματα μηνῶν ταῦτα ὡς ἀθηναῖοι ἦγον, πάντες ὁμολογοῦσι.

Μουνιχιῶνα.	Θαργηλιῶνα.
Σκιροφοριῶνα.	Ἑκατομβαιῶνα.
Μεταγειτνιῶνα.	Βοηδρομιῶνα.
Μεμακτηριῶνα.	Πυανεψιῶνα.
Ανθεστηριῶνα	Ποσειδεῶνα.
Γαμηλιῶνα.	Ελαφιβολιῶνα.

Περὶ δὲ τάξεως, καὶ τοῦ ἐφεξῆς ἡ διαφορά τε καὶ ἀμφισβήτησίς ἐστι. πρὸς δὲ καὶ περὶ τοῦ πῶς δεῖ μεταφέροντας εἰς τὴν λατίνων φωνὴν, ὀνομάζειν. πρῶτον δὴ περὶ τάξεως καὶ τοῦ ἐφεξῆς τούτων. ἔπειτα περὶ ἑρμηνείας θεωρητέον. δοκεῖ γὰρ ὥσπερ στοιχεῖον ἑρμηνείας οὖσα τούτων ἡ τάξις. καὶ τὰ πολλὰ ἴσως τῶν πρὸς τὴν ἑρμηνείαν τεινόντων, δέοι ἀναλαμβάνοντας ἐκ τῶν τῆς συντάξεως οἰ-

ἂν ὁ τυχὼν εἴποι, ἀλλ' ὅμως οὗτος ἐκ τοῦ συμβεβηκότος καλεῖ· τὸν μὲν πρῶτον· τὸν δὲ δεύτερον, καὶ τοὺς ἄλλους ὁμοίως ὡς ἕκαστος ἔχει τάξεως πρὸς τὸν πρῶτον· καθάπερ εἴ τις τοὺς τῆς χειρὸς δακτύλους ὀνομάσαι ἐθέλων, οὐ τὸν μὲν καλεῖ μέγαν ἢ ἀντίχειρα· τὸν δὲ λιχανόν· τὸν δὲ μέσον, καὶ τοὺς λοιποὺς ὡσαύτως· ἀλλ' ὑπ' ἀπορίας τῶν ἑκάστοις κειμένων γε ὀνομάτων, πρῶτον καὶ δεύτερον καὶ τρίτον προσαγορεύει· ἔοικε δὲ μὴ δὲ τοῖς πολὺ πρόσθε ῥάδιον εἶναι, ὅτε δὴ καὶ Πολυδεύκης τὰ ὀνομαστικὰ Καίσαρι Κωμμόδῳ συγγεγραφὼς, τὰς μὲν ἡμέρας τοῦ μηνὸς ὅπως ἀριθμητέον τε καὶ ὀνομαστέον λέγει· εἰ μὴ καὶ καλῶς· τοὺς μῆνας δ' αὐτοὺς παρασιγῶν ἀπολείπει· χρῆν δὲ καταριθμῆσαι καὶ τούτους ὀνομάζοντα καὶ διασαφοῦντα εἴπερ ᾔδει· ἄλλως τε καὶ Κώμμοδον τὸν ἑτερογλώττων τινὰ ἀττικίζειν διδάσκοντα τὴν φωνήν· ἔστι μὲν οὖν οὐ ῥάδιον ἀποδοῦναι τοῖς ῥωμαίων ὀνόμασι τὰ τῶν ἀθηναίων περὶ τοὺς μῆνας, καὶ τὴν προσήκουσαν τάξιν εὑρεῖν· οὐ μὴν ἀλλὰ ζητητέον καὶ τῶν ἐν πραγματείαις διαφόροις μνημονευσάντων μηνός του, τὰ λεγόμενα ἐπισκεπτέον· καὶ ἐκ πλειόνων συλλογιστέον διορίζοντας ἐφ' ὅσον διακριβοῦσθαι καὶ περὶ τῶν τοιούτων ἂν εἴη· ὅπως ἂν ἑλληνικοῖς ὀνόμασι τῶν μηνῶν ἔχωμεν χρῆσθαι ἑλληνικῶς φράζοντες, ἀλλὰ μὴ ὀθνεῖα παραμιγνῦντες, ξενίζωμεν περὶ τὴν πατρῴαν φωνήν, καὶ ἐκμελῆ τὸν λόγον ποιῶμεν.

ΘΕΟΔΩΡΟΥ ΠΕΡΙ ΜΗΝΩΝ.



Ρὸ ἔργου μὲν καὶ τὸ τὰς ὀνομασίας εἰδέναι τῶν μηνῶν, καὶ τάξει χρῆσθαι ὡς ἀθηναῖοι ἦγον. οὐ ῥᾴδιον δὲ τοῦτο λαβεῖν. τῶν τε γὰρ πρότερον καὶ τῶν καθ' ἡμᾶς δὴ ἐλλογίμων, οἱ μὲν οὐθὲν περὶ τάξεως καὶ χρείας ἔφασαν τούτων. οἱ δὲ τάξιν μέν τινα ἀποδεδώκασι, τὸ ἐφεξῆς οἰόμενοι λέγειν. πόρρω δ' ἀποπλανώμενοι τοῦ ὀρθοῦ, ἐλέγχονται φανερῶς. ἔνιοι δ' ἑρμηνεύοντες, ὅστις μὲν ἑκατομβαιὼν τῶν μηνῶν. ὅστις δὲ ποσειδεών. καὶ τῶν λοιπῶν ἕκαστος ὡς ἐφαρμόττοι πρὸς τὰ ὀνόματα τῶν μηνῶν καθ' ἃ ἄγουσι ῥωμαῖοι τοὺς χρόνους, οὐδὲν ὅτι καὶ ὑγιὲς εἰπεῖν ἀποδιδόασιν. οὐδὲ δὴ συνῳδά γε ἀλλήλοις φασίν. ἀλλ' ὁ μὲν μάρτιον λέγει τὸν ἑκατομβαιῶνα. ὁ δὲ ἰούλιον. ὁμοίως δὲ κἀπὶ τῶν ἄλλων διαφωνοῦσιν ἀλλήλοις ἅμα καὶ διαμαρτάνοντες ἕκαστοι τἀληθοῦς.

Καὶ πλήθων δ' ἐφ' ἡμῶν ἀνὴρ τῶν ἐπιφανῶν χαλεπὸν ἡγούμενος εὑρεῖν τὸ ἀνάλογον τούτοις, εἶα ἐπιζητεῖν. κἀν τοῖς περὶ νομοθεσίας δὴ λόγοις περὶ ἡμερῶν καὶ μηνῶν καὶ ἐνιαυτοῦ ὑφηγούμενος, οὐκ ὀνομάζει ὡς ἀττικοὶ ἦγον τοὺς μῆνας. καί τοι τἄλλα τὰ περὶ τὴν φωνὴν ἕπεσθαι προθυμούμενος ἀττικοῖς καὶ σφόδρα περὶ τοῦτο σπουδάζων. ἀλλ' ὅπερ

ξοντάς γε ἀπαγγελτέον. Μέσως δέ τοι, τὰ κώλων τε καὶ τοῦ ἐντελοῦς ἀπαρτιστικὰ κόμματα ἀποδοτέον. οὕτω ἐγὼ μὲν διδάσκω, σὺ δὲ μανθάνεις. Καὶ στίζειν δὲ γράφοντας κατὰ τὰς εἰρημένας διαφοράς, τὸ μὲν τέλειον ἐφεξῆς ἐν τῷ μέσῳ. τὸ δ' ἀτελὲς παρεκκλίνοντας πρὸς τὸ κάτω. τὸ δὲ μέσον παρεκκλίνοντας πρὸς τὸ ἄνω.

Καὶ περὶ μὲν κλίσεως καὶ σχηματισμοῦ καὶ ὀνομασίας καὶ προσῳδίας καὶ ὀρθογραφίας καὶ χρόνου καὶ συντάξεως τῶν γραμματικῶν, καὶ ὅλως περὶ βαρβαρισμοῦ καὶ σολοικισμοῦ, ἔστω δὴ εἰρημένον ἀποχρόντως ὡς ἐν εἰσαγωγῇ. τὸ γὰρ ἐπὶ πλέον. καὶ ἀκριβέστερον περὶ τούτων εἰπεῖν. ἥκιστ' ἂν τῆς παρούσης εἴη προθέσεως, μετὰ ταῦτα δὲ ὅπως δεῖ ἐρωτηματίζειν κατὰ τὴν ἐκτεθεῖσαν τήνδε ἡμῖν μέθοδον, λέγωμεν.

ΤΕΛΟΣ ΤΟΥ Δ' ΒΙΒΛΙΟΥ.

το εἴ τι συντάσσοιτο. καὶ πρὸς ὁριστικὸν οὐκ ἂν ἐρεῖς. ἀλλὰ σπανίως τοῦτό γε. κατὰ δὲ παρήκοντος πρὸς ὁριστικὸν οὐκ ἂν εἶπες. ἢ ἔλεγες.

Ἔτι δὲ γνωριμώτερον ἂν μὲν καὶ πρὸ τοῦ ῥήματος καὶ μετὰ τὸ ῥῆμα δύνηται ὃ ἂν θεωρεῖσθαι ἀδιαφόρως πρὸς εὐκτικόν. ἂν δὲ μὴ ἐπαμφοτερίζῃ τοῖς τόποις, πρὸς ὑποτακτικὸν μόνον. Καὶ μεταλαμβάνοντες τὸ ἀπαρέμφατον πρὸς τὴν τοῦ ὁριστικοῦ κατάλληλον σύνταξιν. λέγομεν δυνητικῶς κατὰ τὰς τρεῖς τῶν χρόνου διαφορὰς λέγειν ἄν. εἰπεῖν ἄν. καὶ ἐρεῖν ἄν. Καὶ πρὸς μετοχήν. εἰπόντας ἂν καὶ ἐροῦντας. καὶ εἰπὼν ἂν καὶ εἰπόντων. ὁμοίως ἂν δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἥκιστα δ᾽ ὁ παρακείμενος τῶν ἂν. ἐπιδεκτικός, τὰ μὲν δὴ μέρη οὕτω συντάσσοντες κατ᾽ ἄλληλον ἂν ποιοῖμεν τὸν λόγον.

Περὶ τοῦ ἀπαγγέλλειν διαστολῆς.

Ἀπαγγέλλειν δὲ τὰ συντεταγμένα μὴ μόνον καθ᾽ ὑπόκρισίν τε καὶ προσῳδίαν, ἀλλὰ καὶ κατὰ διαστολήν. οὕτω γὰρ ἂν ἡ τοῦ λόγου διάνοια. εἴη συμφανεστέρα. καὶ γράφοντας οὖν στικτέον εἰς διαστολήν, καὶ φθεγγομένους διακριτέον τριχῶς. ἢ γὰρ τελείως ἢ ἀτελῶς. ἢ μέσως. Ἔνθα μὲν γὰρ τὰ πρὸς τὴν ἔννοιαν συναπoτελούμενα λήγει τοῖς κώλοις, διασταλτέον ἐπὶ τέλει ἐννοίας τὸν λόγον καὶ πλεῖόν τι χρόνου ἀποσιωπητέον εἰς ἀπόδοσιν τοῦ τελείου. Ἔνθα δὲ ἀτελῶς πάμπαν ἔχει, ὑπαναμένοντας τι τῆς φωνῆς καὶ ἐπ᾽ ἐλάχιστον διάστημά τι

ται τῶν λέξεων καὶ ὑποτάσσονται. λόγου μέντοι προτάσσεσθαι, οὐδαμοῦ πεφύκασιν. ἔκαμον παραινῶν, ἀλλ' ὅμως παραινέσομαι ἔτι. καίτοι ἀπεδίδουν, ὅμως οὐκ ἔχον καταλαβεῖν.

Συλλογιστικοί.

Τῶν δὲ συλλογιστικῶν, οἷον τῶν ἐπιφορᾶς τε καὶ συμπεράσμασι προσῳκειωμένων. ὁ ἀλλὰ ἢ ἀλλὰ μήν, προτακτικός ἐστι λέξεως μόνως. οἱ δ' ἄλλοι πάντες καὶ προτάσσεσθαι καὶ ὑποτάσσεσθαι δύνανται. πᾶς ἄνθρωπος ζῶον. ἀλλὰ μὴν πᾶν ζῶον οὐσία. πᾶς ἄρα ἄνθρωπος οὐσία.

Ἀπορρηματικοί.

Οἱ δ' ἀπορρηματικοί, ἐπ' ἀποροῦντι καὶ ἐρωτῶντι εἰς χρῆσιν ἥκουσιν. ἆρ' οὖν ἀγαθὸν τὸ ἡδύ; προηγοῦνται δὲ τῶν λόγων, εἰ μή τί γε καθ' ὑπερβατόν.

Παραπληρωματικοί.

Οἱ δὲ παραπληρωματικοί, τὸ μὲν ὄνομα ἔχον, ἀπὸ τοῦ τὴν φράσιν παραπληροῦν ἢ μέτρου ἢ κόσμου χάριν. ἔχουσι δὲ πολλάκις καὶ σημασίαν διάφορον. Οἷον ὁ γε, μειωτικός. ὁ δή, παραγραφικὸς καὶ μεταβατικός. καὶ βεβαιωτικός. ὁ αὖ, δυνητικὸς καὶ ἀοριστικός. πάντες γε μὴν τοῖς ἑτέροις τοῦ λόγου μέρεσιν ὑποτάσσονται. οἷον ἄλλοι μὲν ῥα θεοί. Ὁ δὲ ἄν, καὶ ὑποτάσσει ἀοριστολογικὸς ὤν. ὅσα ἂν λέγῃς. ὅτι ἂν εἴπῃς. Δυνητικὸς δέ, κατὰ μὲν ἐνεστῶτος καὶ μέλλοντος, πρὸς εὐκτικόν. οὐκ ἂν λέγοις. οὐκ ἂν φαίης. οὐκ ἂν λέξοις. εἴτε προτάσσοι

αύσιον ἐκεχειρίαν τὴν γεγομένην λακεδαιμονίοις
καὶ ἀθηναίοις, τελευτῶντος ὀγδόου ἔτους τῷ πολέ
μῳ. τετράδι ἐπὶ δέκα τοῦ ἐλαφηβολιῶνος μηνὸς
ὁμολογεῖσθαι φησί. τὴν δ' αὐτὴν ἐκεχειρίαν καὶ
διελθόντος τοῦ χειμῶνος, ἅμα ἦρι τοῦ ἐπιγινομέ
νου θέρους γεγονέναι. καὶ τῇ πέμπτῃ δ' αὖ τῶν αὐ
τῶν ἱστοριῶν, σπονδὰς γενέσθαι φησὶν ἐπὶ ἄρχοντος
ἀθήνησιν Ἀλκαίου. ἐλαφηβολιῶνος μηνὸς ἕκτῃ φ
θίνοντος. τὰς δ' αὐτὰς σπονδὰς, καὶ τελευτῶντος τοῦ
χειμῶνος ἅμα ἦρι γενέσθαι φησίν.

E τι δ' ἀριστοτέλης τῶν θηρίων τὴν ἄρκτον ἱστορεῖ τὴν
ὀχείαν ποιεῖσθαι τοῦ μηνὸς τοῦ ἐλαφηβολιῶνος.
κύειν δὲ ἡμέρας τριάκοντα. καὶ τίκτειν περὶ τὸν
καιρὸν ὃν φωλεῖ. ὅταν δὲ ἐκθρέψῃ τρίτῳ μηνὶ, ἐκ
βαίνειν ἤδη τοῦ ἔαρος. ταῦτα δ' εἰπὼν ἐν ἑβδό
μῳ, πάλιν ἐν ὀγδόῳ φησὶ τὴν ἄρκτον ἐντίκτειν
περὶ τοῦτον τὸν καιρόν. καὶ φωλεῖν ἕως αὖ ὥρα ᾖ
ἐξάγειν τοὺς σκύμνους. τοῦτο δὲ ποιεῖν τοῦ ἔαρος
περὶ τρίτον μῆνα ἀπὸ τῶν τροπῶν. ὥστ' ἐάν τε τί A
κτειν ἀπὸ τροπῶν χειμερινῶν περὶ τρίτον μῆνα
ἐάν τε ἐξάγειν ἀπὸ ἐαρινῆς ἰσημερίας περὶ τρίτον
ἀκούειν δέῃ, κατ' ἄμφω δὲ, τὸν ἐλαφηβολιῶνα
γε μῆνα τελευταῖον εἶναι τῶν χειμερινῶν καὶ τρί
τον συμβαίνει. τίκτειν γάρ φησι, περὶ ὃν καιρὸν
μάλιστα φωλεῖ. φωλεῖ δὲ τὰ χερσαῖα πάντα τοῦ
χειμῶνος, ὡς εἴρηται ἐν τῷ ὀγδόῳ. χειμερινὸς ἄ
ρα ὁ ἐλαφηβολιὼν περὶ ὃν κύει. οὐ πρῶτος δὲ,

τοῦτο δ' αὐτὸ πάλιν καὶ ἐν τῷ ἑβδόμῳ φησίν ἅμα δὲ δῆλον ὅτι καὶ τροπικὸς ὁ ποσειδεών. εἰ γὰρ περὶ ποσειδεῶνα πρὸ τῶν τροπῶν. χειμερινὸς δ' ὁ ποσειδεών, φανερὸν ὅτι περὶ ποσειδεῶνα αἱ τροπαί. περὶ γὰρ πρῶτον μῆνα τῶν χειμερινῶν, γίνονται αἱ τροπαί. καὶ ἡ περὶ ποσειδεῶνα πρὸ τῶν τροπῶν. ῥῆσις ἄρα, τὸ πότε τοῦ μηνὸς διορίζει. ὡς καὶ μετὰ τροπὰς γινομένου του περὶ τὸν αὐτὸν μῆνα περὶ ὃν αἱ τροπαί. οὐ μὴν, ἀλλὰ καὶ τῶν ὀρνίθων. ἀλκυὼν. τίκτει μὲν περὶ τροπὰς χειμερινάς. διὸ καὶ καλοῦνται ὅταν εὐδιειναὶ γένωνται αἱ τροπαί, ἀλκυόνειαι ἡμέραι. ἑπτὰ μὲν πρὸ τροπῶν, ἑπτὰ δὲ μετὰ τροπάς. καθάπερ καὶ Ἀριστοτέλης φησί. καλεῖται δὲ ποσειδεωνὶς τοῖς πολλοῖς ἡ ὄρνις. παρά του τῶν ἀστείων ὡς ἔοικε τοὔνομα εἰληφόσι παρὰ τὸ τίκτειν ποσειδεῶνος μηνός ὥς τι σημεῖον καὶ τοῦ τ' ἀληθὲς τροπικὸν εἶναι τὸν ποσειδεῶνα καὶ τῶν χειμερινῶν πρῶτον.

Νῦν μὲν οὖν ἐκ τούτων εἰλήφθω χειμερινόν τι καὶ τροπικὸν εἶναι τὸν ποσειδεῶνα. ὕστερον δὲ καὶ δι' ἀκριβείας μᾶλλον δειχθήσεται. τὴν δ' ἀκρίβειαν οὐχ ῥαδίως ἐν ἅπασιν ἐπιζητεῖν δεῖ, ἀλλ' ἐν ἑκάστοις κατὰ τὴν ὑποκειμένην ὕλην καὶ ἐπὶ τοσοῦτον, ἐφ' ὅσον οἰκεία τῇ μεθόδῳ. Μετὰ δὲ γαμηλιῶνα, εὐθὺς ἐλαφηβολιών. τελευταίου γὰρ μηνὸς τῶν χειμερινῶν δεῖ. οὗτος δὲ τελευταῖος σημεῖον δέ, Θουκυδίδης γὰρ ἐν τετάρτῃ τῶν ἱστοριῶν τὴν ἐν-

Καλοῦσι δὲ οὕτως, οὐ πρὸς τὴν σποράν βλέποντες, ἀλλὰ πρὸς τὴν γένεσιν καὶ τὴν χρείαν ἑκάστου. ἐπεὶ ἥ γε σπορὰ, σχεδὸν ἐν τοῖς ἐναντίοις γίνεται χειμερινοῦ γὰρ ἀρχὴ μετὰ τροπὰς θεριvὰς τοῦ μετὰ γειτνιῶνος μηνός. καλοῦσι δὲ τοῦτον πρῶτον τῶν ἀρότων. τοῦ δὲ δευτέρου πάλιν, μεθ' ἡλίου τροπὰς χειμεριvὰς τοῦ γαμηλιῶνος μηνός.

Εἰ δὴ ἡ περὶ ποσειδεῶνα πρὸ τῶν τροπῶν, καὶ γαμηλιῶνος μετὰ τροπὰς, γαμηλιῶνα μετὰ ποσειδεῶνα εἶναι ἀνάγκη. ὡς δὲ καὶ ἐφεξῆς, συμφανὲς ἐκ τοῦ προκειμένου, καὶ τῆς φράσεως τοῦ τ' ἀκούειν χρεών. ὁ γὰρ περὶ ποσειδεῶνα πρὸ τῶν τροπῶν λέγων καὶ γαμηλιῶνος μετὰ τροπὰς, ἤτοι περὶ τὸν ὀνομαζόμενον μῆνα τὰς τροπὰς εἶναι βούλεται, ἢ περὶ τὸν ἐγγύτατά γε δηλοῦν. ὅτι δὲ καὶ χειμερινὸς αὐτὸς ὁ ποσειδεὼν δῆλον ἐξ ὧν Αριστοτέλης ἐν τῇ αὐτῇ ἱστορίᾳ διακρινεῖ περὶ ἰχθύων τῶν καλουμένων κεστρέων. εἰπὼν γὰρ πρόσθεν ὅτι χειμῶνος ὁ κεστρεὺς τίκτει. μετὰ ταῦτα καὶ τὸν μῆνα περὶ ὃν τίκτει ὀνομάζει λέγων, ὅτι ποσειδεῶνος. ἄμφω δὲ ταῦτα ἐν τῷ πέμπτῳ τῆς ἱστορίας ἐπὶ τῇδε τῇ λέξει. Τίκτει δ' ἔνια καὶ χειμῶνος καὶ θέρους. χειμῶνος μὲν λάβραξ. κεστρεύς. βελόνη. θέρους δὲ, περὶ τὸν ἑκατομβαιῶνα θυννίδες. εἶτα ἄρχονται δὲ τίκτειν τῶν κεστρέων, οἱ μὲν χέλωνος τοῦ ποσειδεῶνος. καὶ ὁ μύξων καλούμενος καὶ ὁ κέφαλος. κυοῦσι δὲ τριάκοντα ἡμέρας.

κείων, δεικνύειν. μετὰ δὲ ταῦτα περὶ χρείας ῥητέον· τούτου γὰρ ἕνεκα καὶ τὴν τάξιν εἰδέναι μάλιστα προαιρούμεθα. καὶ πρὸς τούτοις εἴ τι ἄλλο πως οἰκεῖον τῇ σκέψει τῇδ' ἐστὶ, προσληπτέον, βραχύ τι συμπεριλαμβάνοντας. ἵνα μὴ τοῦ ἔργου μεῖζον τὸ πάρεργον γίγνηται.

ΠΕΡΙ ΤΑΞΕΩΣ ΤΩΝ ΜΗΝΩΝ.

Εἰλήφθω τοιγαροῦν μὴν ὁ τυχὼν πρῶτος τῷ λόγῳ· ἔστω δὲ εἰ δοκεῖ ποσειδεών. μετὰ ποσειδεῶνα δὴ δεύτερος γαμηλιών. μάρτυρες δὲ τούτου, Ἀριστοτέλης τε καὶ Θεόφραστος ἄνδρες παλαιᾶς μνήμης καὶ ἐμπείρως ἔχοντες τῆς ἀθηναίων φωνῆς. δεῖ γὰρ μὴ ἀμάρτυρα φάσκειν ὡς οἱ πρὸ τοῦ, θέσεις πρὸς τῷ ψεύδει, καὶ ἀδεσπότοις ἀποδεδώκασι λέγοντες περὶ τούτων. ἀλλ' ἐφ' ἑκάστοις μάρτυρας παρέχεσθαι ἄνδρας ἀξιοπίστους. ὥσπερ ἐν δικαστηρίῳ· πᾶν γὰρ τὸ ἐν τούτοις πιστὸν, οὐκ ἐκ τεκμηρίων καὶ λόγων τοιούτων, ἀλλ' ἐξ ὧν τινες τῶν ἐνδόξων εἶπον ἐστί. τούτων δὴ ὁ μὲν ἐν τῇ περὶ τὰ ζῷα ἱστορίᾳ ὧδε λέγει. Ἡ δὲ θυννὶς ἅπαξ τίκτει. ἀλλὰ διὰ τὸ τὰ μὲν πρώϊα, τὰ δὲ ὄψια προΐεσθαι, δὶς δοκεῖ τίκτειν. ἔστι δὲ ὁ μὲν πρῶτος τόκος περὶ τὸν ποσειδεῶνα πρὸ τῶν τροπῶν. ὁ δ' ὕστερος τοῦ ἔαρος. Θεόφραστος δὲ ἐν τῇ περὶ τὰ φυτὰ ἱστορίᾳ, ἀρχὴν εἶναί φησι τοῦ δευτέρου τῶν ἀρότων μεθ' ἡλίου τροπὰς χειμερινὰς τοῦ γαμηλιῶνος μηνός. ἔχει δὲ ἡ λέξις αὐτῷ ὧδε.

φιλοσόφου δὲ καὶ τὸ περὶ τούτου ἐσκέφθαι. τῆς αὐτῆς γὰρ ἐπιστήμης ἐστὶν, ὀρθῶς τε τοῖς κειμένοις χρῆσθαι ὀνόμασιν, καὶ μηδὲν ἀηθὲς ἐπιπολάζειν τοῖς οἰκείοις ἐᾶν. ὥσπερ ἀμέλει καὶ τὰ μὲν μὴ ὑπάρχοντα νομοθετεῖν. τὰ δὲ μοχθηρῶς ὠνομασμένα τοῖς πολλοῖς διορθοῦσθαι. οὕτω γὰρ ἂν ἑκάστη τῶν ἐπιστημῶν βέλτιον τὸ αὑτῆς ἔργον ἀποτελοῦσα συμβάλλοιτο εἰς τὴν πολιτικὴν κοινωνίαν. μάλιστα δὲ, αἱ περὶ τοὺς λόγους.

ΜΗΝΕΣ ΑΘΗΝΑΙΩΝ.

Δώδεκα μὲν τοίνυν τὸν ἀριθμὸν εἶναι ὀνόματα μηνῶν ταῦτα ὡς ἀθηναῖοι ἦγον, πάντες ὁμολογοῦσι.

Μουνιχιῶνα.	Θαργηλιῶνα.
Σκιροφοριῶνα.	Ἑκατομβαιῶνα.
Μεταγειτνιῶνα.	Βοηδρομιῶνα.
Μαιμακτηριῶνα.	Πυανεψιῶνα.
Ανθεστηριῶνα	Ποσειδεῶνα.
Γαμηλιῶνα.	Ελαφιβολιῶνα.

Περὶ δὲ τάξεως, καὶ τοῦ ἐφεξῆς ἡ διαφορά τε καὶ ἀμφισβήτησίς ἐστι. πρὸς δὲ καὶ περὶ τοῦ πῶς δεῖ μεταφέροντας εἰς τὴν λατίνων φωνὴν, ὀνομάζειν. πρῶτον δὴ περὶ τάξεως καὶ τοῦ ἐφεξῆς τούτων. ἔπειτα περὶ ἑρμηνείας θεωρητέον. δοκεῖ γὰρ ὥσπερ στοιχεῖον ἑρμηνείας οὖσα τούτων ἡ τάξις. καὶ τὰ πολλὰ ἴσως τῶν πρὸς τὴν ἑρμηνείαν τεινόντων, δέοι ἂν λαμβάνοντας ἐκ τῶν τῆς συντάξεως οἰ-

ἂν ὁ τυχὼν εἴποι, ἀλλ' ὅπως οὗτος ἐκ τοῦ συμβεβηκότος καλεῖ· τὸν μὲν πρῶτον· τὸν δὲ δεύτερον, καὶ τοὺς ἄλλους ὁμοίως ὡς ἕκαστος ἔχει τάξεως πρὸς τὸν πρῶτον· καθάπερ εἴ τις τοὺς τῆς χειρὸς δακτύλους ὀνομάσαι ἐθέλων, οὐ τὸν μὲν καλεῖ μέγαν ἢ ἀντίχειρα· τὸν δὲ λιχανόν· τὸν δὲ μέσον, καὶ τοὺς λοιποὺς ὡσαύτως· ἀλλ' ὑπ' ἀπορίας τῶν ἑκάστοις κειμένων γε ὀνομάτων, πρῶτον καὶ δεύτερον καὶ τρίτον προσαγορεύει· ἔοικε δὲ μὴ δὲ τοῖς πολὺ πρόσθε ῥᾴδιον εἶναι, ὅτε δὴ καὶ Πολυδεύκης τὰ ὀνομαστικὰ Καίσαρι Κωμμόδῳ συγγεγραφώς, τὰς μὲν ἡμέρας τοῦ μηνὸς ὅπως ἀριθμητέον τε καὶ ὀνομαστέον λέγει· εἰ μὴ καὶ καλῶς· τοὺς μῆνας δ' αὐτοὺς παρασιγῶν ἀπολείπει· χρῆν δὲ καταριθμῆσαι καὶ τούτους ὀνομάζοντα καὶ διασαφοῦντα εἴπερ ᾔδει. ἄλλως τε καὶ Κώμμοδον τὸν ἑτερογλώττων τινὰ ἀττικίζειν διδάσκοντα τὴν φωνήν· ἔστι μὲν οὖν οὐ ῥᾴδιον ἀποδοῦναι τοῖς ῥωμαίων ὀνόμασι τὰ τῶν ἀθηναίων περὶ τοὺς μῆνας, καὶ τὴν προσήκουσαν τάξιν εὑρεῖν· οὐ μὴν ἀλλὰ ζητητέον καὶ τῶν ἐπὶ πραγματείαις διαφόροις μνημονευσάντων μηνός του, τὰ λεγόμενα ἐπισκεπτέον· καὶ ἐκ πλειόνων συλλογιστέον διορίζοντας ἐφ' ὅσον διακριβοῦσθαι περὶ τῶν τοιούτων ἂν εἴη· ὅπως ἂν ἑλληνικοῖς ὀνόμασι τῶν μηνῶν ἔχωμεν χρῆσθαι ἑλληνικῶς φράζοντες, ἀλλὰ μὴ ὀθνεῖα παραμιγνῦντες, ξενίζωμεν περὶ τὴν πατρῴαν φωνήν, καὶ ἐκμελῆ τὸν λόγον ποιῶμεν.

ΘΕΟΔΩΡΟΥ ΠΕΡΙ ΜΗΝΩΝ.



Ρὸ ἔργου μὲν καὶ τὸ τὰς ὀνομασίας εἰδέναι τῶν μηνῶν, καὶ τάξει χρῆσθαι ὡς ἀθηναῖοι ἦγον. οὐ ῥᾴδιον δὲ τοῦτο λαβεῖν. τῶν τε γὰρ πρότερον καὶ τῶν καθ' ἡμᾶς δὴ ἐλλογίμων, οἱ μὲν οὐδὲν περὶ τάξεως καὶ χρείας ἔφασαν τούτων. οἱ δὲ τάξιν μέν τινα ἀποδεδώκασι, τὸ ἐφεξῆς οἰόμενοι λέγειν. πόῤῥω δ' ἀποπλανώμενοι τοῦ ὀρθοῦ, ἐλέγχονται φανερῶς. ἔνιοι δ' ἑρμηνεύοντες, ὅς τις μὲν ἑκατομβαιὼν τῶν μηνῶν. ὅς τις δὲ ποσειδεὼν. καὶ τῶν λοιπῶν ἕκαστος ὡς ἐφαρμόττοι πρὸς τὰ ὀνόματα τῶν μηνῶν καθάπερ ἄγουσι ῥωμαῖοι τοὺς χρόνους, οὐδὲν ὅτι καὶ ὑγιὲς εἰπεῖν ἀποδιδόασιν. οὐδὲ δὴ σύνωδά γε ἀλλήλοις φασίν. ἀλλ' ὁ μὲν μάρτιον λέγει τὸν ἑκατομβαιῶνα. ὁ δὲ ἰούλιον. ὁμοίως δὲ κἀπὶ τῶν ἄλλων διαφωνοῦσιν ἀλλήλοις ἅμα καὶ διαμαρτάνοντες ἕκαστοι τἀληθοῦς.

Καὶ πλήθων δ' ἐφ' ἡμῶν ἀνὴρ τῶν ἐπιφανῶν χαλεπὸν ἡγούμενος εὑρεῖν τὸ ἀνάλογον τούτοις, εἴασε ἐπιζητεῖν. καίτοι τοῖς περὶ νομοθεσίας δὴ λόγοις περὶ ἡμερῶν καὶ μηνῶν καὶ ἐνιαυτοῦ ὑφηγούμενος, οὐκ ὀνομάζει ὡς ἀττικοὶ ἦγον τοὺς μῆνας. καίτοι τἆλλα τὰ περὶ τὴν φωνὴν ἕπεσθαι προθυμούμενος ἀττικοῖς καὶ σφόδρα περὶ τοῦτο σπουδάζων. ἀλλ' ὅπερ

ζοντάς γε ἀπαγγελτέον. Μέσως δ' ἔτοι, τὰ κώλων τε καὶ τοῦ ἐντελοῦς ἀπαρτιστικὰ κόμματα ἀποδοτέον. οἷον ἐγὼ μὲν διδάσκω, σὺ δὲ μανθάνεις. Καὶ στίζειν δὲ γράφοντας κατὰ τὰς εἰρημένας διαφορὰς, τὸ μὲν τέλειον ἐφεξῆς ἐν τῷ μέσῳ. τὸ δ' ἀτελὲς παρεγκλίνοντας πρὸς τὸ κάτω. τὸ δὲ μέσον παρεγκλίνοντας πρὸς τὸ ἄνω.

Καὶ περὶ μὲν κλίσεως καὶ σχηματισμοῦ καὶ ὀνομασίας καὶ προσῳδίας καὶ ὀρθογραφίας καὶ χρόνου καὶ συντάξεως τῶν γραμματικῶν, καὶ ὅλως περὶ βαρβαρισμοῦ καὶ σολοικισμοῦ, ἔστω δὴ εἰρημένον ἀποχρόντως ὡς ἐν εἰσαγωγῇ. τὸ γὰρ αὖθις πλέον. καὶ ἀκριβέστερον περὶ τούτων εἰπεῖν. ἥκιστ' ἂν τῆς παρούσης εἴη προθέσεως, μετὰ ταῦτα δὲ ὅπως δεῖ ἐρωτηματίζειν κατὰ τὴν ἐκτεθεῖσαν τήνδε ἡμῖν μέθοδον, λέγωμεν.

ΤΕΛΟΣ ΤΟΥ Δ' ΒΙΒΛΙΟΥ.

το εἴ τε ἐπισυντάσσοιτο. καὶ πρὸς ὁριστικὸν οὐκ ἂν ἐρεῖς. ἀλλὰ σπανίως τοῦτό γε. κατὰ δὲ παρήκοντος πρὸς ὁριστικὸν οὐκ ἂν εἴποις. ἢ ἔλεγες.

Ε τι δὲ γνωριμώτερον ἂν μὲν καὶ πρὸ τοῦ ῥήματος καὶ μετὰ τὸ ῥῆμα δύναται ὃ ἂν θεωρεῖσθαι ἀδιαφόρως πρὸς εὐκτικόν. ἂν δὲ μὴ ἐπαμφοτερίζῃ τοῖς τόποις, πρὸς ὑποτακτικὸν μόνον. Καὶ μεταλαμβάνοντες τὸ ἀπαρέμφατον πρὸς τὴν τοῦ ὁριστικοῦ κατάλληλον σύνταξιν. λέγομεν δυνητικῶς κατὰ τὰς τρεῖς τῶν χρόνου διαφορὰς λέγειν ἄν. εἰπεῖν ἄν. καὶ ὁρεῖν ἄν. Καὶ πρὸς μετοχήν. εἰπόντας ἂν καὶ ὁροῦντας. καὶ εἰπὼν ἂν καὶ εἰπόντων. ὁμοίως ἂν δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἥκιστα δ' ὁ παρακείμενος τῶν ἄν. ἐπιδεκτικός, τὰ μὲν δὴ μέρη οὕτω συντάσσοντες κατ' ἄλληλον ἂν ποιοῖμεν τὸν λόγον.

Περὶ τοῦ ἀπαγγέλλειν διαστολῆς.

Α παγγέλλειν δὲ τὰ συντεταγμένα μὴ μόνον καθ' ὑπόκρισίν τε καὶ προσῳδίαν, ἀλλὰ καὶ κατὰ διαστολήν. οὕτω γὰρ ἂν ἡ τοῦ λόγου διάνοια. ἔσται συμφανεστέρα. καὶ γράφοντας οὖν τιστικτέον εἰς διαστολήν, καὶ φθεγγομένους διακριτέον τριχῶς. ἢ γὰρ τελείως ἢ ἀτελῶς. ἢ μέσως. Ἔνθα μὲν γὰρ τὰ περὶ τὴν ἔννοιαν συναποπληρούμενα λήγει τοῖς κώλοις, διασταλτέον ἐπὶ τέλει ἐννοίας τὸν λόγον καὶ πλέον τι χρόνου ἀποσηματιστέον εἰς ἀπόδοσιν τοῦ τελείου. Ἔνθα δὲ ἀτελῶς πάμπαν ἔχει, ὑπανιέντας τι τῆς φωνῆς καὶ ἐπ' ἐλάχιστον διάστημα τι

ται τῶν λέξεων καὶ ὑποτάσσονται λόγου μέντοι προτάσσεσθαι, οὐδαμοῦ πεφύκασιν· ἔκαμον παραινῶν, ἀλλ' ὅμως παραινέσομαι ἔτι. καίτοι απούδον, ὅμως οὐκ ἔχον καταλαβεῖν.

Συλλογιστικοί.

Τῶν δὲ συλλογιστικῶν, οἷον τῶν ἐπιφοραῖς τε καὶ συμπεράσμασι προσκειμένων. ὁ ἀλλὰ ἢ ἀλλὰ μὴν, προτακτικός ἐστι λέξεως μόνως. οἱ δ' ἄλλοι πάντες καὶ προτάσσεσθαι καὶ ὑποτάσσεσθαι δύνανται. πᾶς ἄνθρωπος ζῶον· ἀλλὰ μὴν πᾶν ζῶον οὐσία. πᾶς ἄρα ἄνθρωπος οὐσία.

Απορρηματικοί.

Οἱ δ' ἀπορρηματικοί, ἐπ' ἀπορούντι καὶ ἐρωτῶντι εἰς χρῆσιν ἥκουσιν. ἆρ' οὖν ἀγαθὸν τὸ ἡδύ; προηγοῦνται δὲ τῶν λόγων, εἰ μή τι γε καθ' ὑπερβατόν.

Παραπληρωματικοί.

Οἱ δὲ παραπληρωματικοί, τὸ μὲν ὄνομα ἔχον, ἀπὸ τοῦ τὴν φράσιν παραπληροῦν, ἢ μέτρου ἢ κόσμου χάριν. ἔχουσι δὲ πολλάκις καὶ σημασίαν διάφορον. Οἷον ὅτε, μειωτικός. ὁ δὴ περιγραφικὸς καὶ μεταβατικός. καὶ βεβαιωτικὸς ὁ αὖ δυνητικὸς καὶ ἀοριστικός. πάντες γε μὴν τοῖς ἑτέροις τοῦ λόγου μέρεσιν ὑποτάσσονται. οἷον ἄλλοι μὲν ῥα θεοί. Ὁ δὲ αὖ, καὶ ὑποτάσσει ἀοριστολογικὸς ἄν. ὅσα ἂν λέγῃς. ὅσα ἂν εἴπῃς. Δυνητικὸς δὲ, κατὰ μὲν ἐνεστῶτος καὶ μέλλοντος, πρὸς δυκτικόν. οὐκ ἂν λέγοις. οὐκ ἂν φαίης. οὐκ ἂν λέξοις. εἴ τι προτάσσοι

Ἄρα πηνίκα δ' ἔποικεν οἱ παρασκευαστικοὶ συντάσσονται. πλὴν ὅτι καὶ ὕπαρξιν μετὰ τάξεως σημαίνουσιν οὗτοί γε. Αἰτιολογικός.

Οἱ δ' αἰτιολογικοὶ, προτακτικοί τε εἰσι τῶν λέξεων. πλὴν τοῦ γὰρ καὶ κατ' ὀρθὸν καὶ ἀντεστραμμένον συντάσσονται. καὶ τὰ ὑποτακτικὰ τῶν ῥημάτων ποιοῦσιν. ἔνιοι τούτων ἐὰν μάθω. ἵνα διδάξω. καὶ αὐτῶν ῥηματικῶς. ἐπειδὰν διδάξω. ἢ ὅταν διδάξω. Ὅ γε μὴν ἵνα. καὶ τὰ ἰσοδυναμοῦντα. καὶ πρὸς εὐκτικὸν ἔτι συντάσσονται. εἰ περὶ παρῳχημένου ὁ λόγος. οἷον ἀφίκετο ἵνα θεῷτο. καὶ πρὸς ὁριστικὸν παρατατικὸν, ἔνθα τι περὶ παρῳχημένου ἀξιοῦμεν ὑπάρχειν ἢ μή. οἷον ἐχρῆν αὐτὸν λαβεῖν συγγραφὴν, ἵν' εἶχεν ἀπαιτεῖν κατὰ νόμους.

Ὅ γε μὴν ὅπως ἀντὶ τοῦ πῶς, παραγγελματικῶς πρὸς ὁριστικὸν μέλλοντα. σκοπεῖτε δὲ τοῦτο ὅπως μὴ λόγους δρῶσιν. ἄλλως δὲ παντὶ ἐφαρμόττει χρόνῳ. Πρὸς ὁριστικὸν δὲ ὅτι. καὶ τὰ ἰσοδυναμοῦντα. ὅτι οὐδεὶς μαθὸς οὐδὲ τέχνη.

Ὁ δ' ἐφ᾽ ᾧ πρός τε ὁριστικὸν, καὶ πρὸς ἀπαρέμφατον ἐφ᾽ ᾧ ἔγραψεν. ἐφ᾽ ᾧ κομίζονται. ἐφ᾽ ᾧ μεμνῆσθαι.

Τὸ δὲ ἕνεκα, γενικῆς. τὸ δὲ οὕνεκα τὸν χρύσην ἠτίμησ' ἀρητῆρα, ἰωνικόν. Ὁ δὲ γὰρ, παντὶ μέρει λόγου ὑποτάσσεται. καὶ ἀρκτικὸς οὐδαμοῦ ἐστιν. ἢ γάρ. οὐδὲ γὰρ Δρύαντος υἱός.

Εναντιωματικοί.

Οἱ δὲ λεγόμενοι ἐναντιωματικοὶ, καὶ προτάσσον-

νον, ἢ ὅπου δὴ πώποτε ἔμαθεν. Τὸ δὲ ἦ μάλα δὴ τέθνηκε μενοιτίου ἄλκιμος υἱός, καὶ τὰ ὅμοια. ἐπιρρηματικὴν σύνταξιν ἔχει τῶν βεβαιωτικῶν οἷον δὴ καὶ τὸ ἦ θέμις. τῶν ὁμοιωματικῶν.

Συναπτικός.

Οἱ δὲ συναπτικοί, τουτέστιν οἱ ὕπαρξιν μὲν οὔ, ἀκολουθίαν δέ τινα καὶ τάξιν δηλοῦντες, συνάπτουσι μὲν ἀτελεῖς ἐννοίας. συντάσσονται δὲ κατά τε ὀρθὸν καὶ αὖ τετραμμένον. ἢ γὰρ προηγοῦνται ἢ ἐπάγονται. καὶ προηγουμένοις μὲν τὸ ὀρθόν, εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ, ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον ὄφρα τελέσσῃ, ἐπιφερομένοις δὲ τὸ αὖ τετραμμένον. ἦ κεν γηθήσαι πρίαμος πριάμοιό τε παῖδες ἄλλοι τε τρῶες. εἰ σφῶϊν τάδε πάντα πυθοίατο μαρναμένοιϊν. καὶ πρὸς ὑποτακτικὸν μὲν οὖν τὸν εἰ, συντακτέον. ἄλλως τε καὶ εἰ σὺν τῷ καὶ λαμβάνοιτο. καὶ ὅλως μεθ᾽ ἑτέρων συνδέσμων. Καὶ πρὸς εὐκτικὸν καὶ πρὸς ὁριστικόν, ὡς ἔτυχεν ὁμολογίας ἢ ἀμφιλογίας ἡ ἀκολούθησις. Ἔοικε γὰρ ἐπὶ μὲν ὁμολογουμένων, τὸ ὁριστικόν τε καὶ ὑποτακτικὸν βούλεσθαι.

Ἐπὶ δὲ ἐνδοιαζομένων τὸ εὐκτικόν. ὅθεν δὴ καὶ τὸν δυνητικὸν αὖ ἐπὶ τὸ τοιοῦτο οἰκειοτέρως ἂν ἀποδοίημεν. οἷον εἰ ἡδονὴ τἀγαθὸν εἴη, ταύτῃ ἂν ὁρίζοιτο ἡ εὐδαιμονία. ἀλλ᾽ οὐκ ἀεὶ οὕτως ἡ χρῆσις. κατὰ παρῳχημένου γε μὴν πράγματος τὸ ὁριστικὸν ἀεί. ἦν εἰ καὶ ἦν.

Παρασυναπτικός.

τακτικός. τὺ δ' αὖ σὺ μακρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής. ὡς τ' εἶναι. καὶ τῷ μὲν ἐπακολουθητικὸς δὴ καὶ αὐτός. Ὁ δὲ ἤ μὲν καὶ ἤδε ἀρκτικοί. ἀλλ' ὁ μὲν ἤ μὲν λόγου καὶ λέξεως. ὁ δὲ ἤδε, λέξεως μόνης. τῷ ἤ μὲν ἐπακολουθῶν. ἤ μὲν ὅσοι ναίουσιν οὐρανόν. ἠδὲ ὅσοι κληρώσαντο χθόνα. κριτικοὶ δέ γε οὗτοι. Οἷος δὴ καὶ ὁ ἤτοι. ἀρκτικὸς λόγου καὶ αὐτὸς ὤν. ἤτοι ὅγ' ὡς εἰπὼν κατ' ἄρ' ἕζετο.

Διαζευκτικός.

Οἱ δὲ διαζευκτικοὶ, τὰ διαζευγμένα συντιθέασι. καὶ ἢ πρᾶγμα ἀπὸ πράγματος ἢ πρόσωπον ἀπὸ προσώπου διαζευγνῦντες τὴν φράσιν συνδέουσιν. νῦν ἄρκιον ἢ ἀπολέσθαι ἠὲ σωθῆναι. εἷς δέ τις ἀνὴρ βουληφόρος ἔστω. ἢ Αἴας. ἢ Ἰδομενεύς. ἢ δῖος Ὀδυσσεύς. Ὁ γοῦν ἤτοι. ἰσοδυναμῶν τῷ ἢ προστακτικός ἐστι τοῦ ἤ. ἤτοι ἀγαθὸν ἢ φαῦλον. ἰσοδυναμῶν δὲ τῷ μὲν, ἀρκτικὸς γίνεται λόγων τοῖς ποιηταῖς ὡς εἴρηται. ἤτοι ὅγ' ὡς εἰπών. διαζευγνύων μὲν τοίνυν ὁ ἢ ἀορίστως, οὐκ ἄνευ ἑτέρου ἢ λέγεται. ἤτοι προσκειμένου ἢ νοουμένου ὡρισμένως δέ. εἴ που διασαφητικῶς, μόνος κεῖται, βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι σημαίνει γὰρ τὸ καὶ οὐκ ἀπολέσθαι. ὅθεν ἴσως καὶ ἀναιρετικὸς ἂν οἰκείως προσαγορεύοιτο. Μοναδικῶς δὲ συντάσσεται. καὶ ἀπορρηματικῶς ὢν ἢ λυτικῶς τις ἀπορρηματικῶς. τί δὲ λαὸν ἤγαγ' ἐνθάδε ἢ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο. Τί δή ποτέ τις ἀγνοεῖ, τό, τοῦ ἢ σημαῖον με

ἄλλος τις. Καθόλου γὰρ ὁ ἡγούμενος ὁ συμ-
πλεκτικὸς, ἢ ὁ διαζευκτικὸς, ὅμοιον ἀπαιτεῖ μέρος
ἤτοι πτωτικὸν ἢ ἄπτωτον. καὶ εἰ μὲν πτωτικὸν, τὴν αὐ-
τὴν πτῶσιν. εἰ δὲ ἄπτωτον τὴν αὐτὴν ἔγκλισιν. ἀλλ'
οὐκ ἐξ ἀνάγκης. οἷον καὶ γράφω καὶ νοῶ, ἢ γράφω,
ἢ νοῶ, καὶ ὁ ἐμὸς δοῦλος καὶ ὁ σός.

Καὶ ἔξεστι δὲ ἐπὶ τῆς αὐτῆς συντάξεως συνάπτειν
ἀρθρικὰς εὐθείας ταῖς γενικαῖς. οἷον ἄριστα τὰ ὁμη-
ρικὰ ἔπη καὶ τὰ ἡσιόδου. Διαφερούσης δὲ
τῆς ἐγκλίσεως, τὸ αὐτὸ ῥῆμα φυλάττεσθαί γε
ἀνάγκη. οἷον καὶ γράφω, καὶ γράφοιμι. καὶ ἔλε-
γες, καὶ λέγε. Τῆς αὐτῆς δὲ οὔσης, διάφορα
κεῖται τὰ ῥήματα. καὶ περιπατῶ, καὶ διαλέγομαι.
καὶ πτώσεις δὲ τὰς αὐτὰς ἀπαιτοῦσιν οἵ τε συμ-
πλεκτικοὶ καὶ διαζευκτικοὶ, ἡγούμενοί τε καὶ με-
ταξὺ τιθέμενοι, ἐπεὶ πρὸς τὸ αὐτὸ ἀναφέρονται
ῥῆμα. οἷον καὶ ἐγὼ καὶ σὺ γράφομεν, ἢ ἐμοῦ ἢ σοῦ
φείδεται. Ὁ δὲ μὲν, λέξεως μὲν, οὐδαμοῦ
ἀρκτικός. λόγου δὲ, Ὁ δὲ τοι δὲ ἐπιτακτικὸς
ὢν καὶ λόγου καὶ λέξεως ἐπακολουθητικός ἐστι.
τοῦ μὲν. ἄλλοι μὲν ῥα θεοὶ εὗδον παννύχιοι. δία δ'
οὐκ ἔχε νήδυμος ὕπνος. τυγχάνει δ' ὁ αὐτὸς καὶ
μεταβατικὸς ὤν, ὡς δι' αὐτοῦ γινομένων τῶν περὶ τὸ
νόημα καὶ διήγημα μεταβάσεων. Ὁ δ' ἀτὰρ
καὶ αὐτὰρ ἀρκτικοί. καίτοι τῷ δὴ ἰσοδυναμοῦν-
τες. αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
αὐτὰρ ὅν τι μοι ἐνθάδε τοῖον. Ὁ δ' ἀλλὰ ἐστὶν ἐπι-
τακτικός.

ματός τοι ὁμοιωματικοῦ ἢ παρισωτικοῦ. οἷον τοιοῦτός ἐστιν, ὥς τε καὶ νοεῖν καὶ λέγειν τὰ δέοντα. τηλικοῦτος ὥς τε ἅπαντας ὑπερβάλλειν. καὶ οὕτως ὥς τε πάντας θαυμάζειν. Τὸ δ' ἀποθετικὸν εἶεν, λόγου μακροτέρου πέρας καί τις ἀρχὴ ἔσται τῶν ἑρμηνῶν. εἶεν τίς δ' ὁ παῖς ὁ τοῦ λαερτίου.

Περὶ συνδέσμου.

Ο δὲ σύνδεσμος λέξις συνδετικὴ οὖσα τῶν ἑτέρων τοῦ λόγου μερῶν εἰς κατάλληλον σύνθεσίν τε καὶ τάξιν, τὰ ὅμοια συνάπτει ἀεί. ὄνομα γὰρ ὀνόματι. καὶ ῥῆμα ῥήματι. καὶ εὐθεῖαν, εὐθείᾳ. καὶ ὅλως πτῶσιν ὁμοίᾳ πτώσει, καὶ χρόνον ὁμοίως καὶ ἔγκλισιν. καὶ τὰ λοιπὰ δὲ ὁμοίως. σύνταξιν δὲ διαφόρως κατὰ τὴν αὐτοῦ διαφορὰν τῶν εἰδῶν ἔχει.

Συμπλεκτικός.

Τῶν οὖν συνδέσμων ἐκφερομένην τὴν ἑρμηνείαν συμπλεκόντων καὶ διὰ τοῦτο συμπλεκτικῶν καλουμένων. Ο μὲν καί, προτάσσεται τῶν λέξεων.

Ο δὲ τέ, ἐπιφέρεται ἐγκλινόμενος. θεοί τε καὶ ἀνέρες. καὶ οὕτω τοι ἀλλήλοις συντάσσονται, ὥς τε τὸν τέ, προηγεῖσθαι τοῦ καί. ἀρκτικὸς δὲ ὑπάρχων ὁ καί, δεῖ πάντως καὶ ἕτερον καὶ ἐπιφέρεσθαι, ἤ τι ῥῆμα συμπλέκοντα ῥήματι. ἢ ὄνομα ὀνόματι. ὅπως ἔτυχε συνταττόμενος ὁ πρῶτος. εἰ γάρ τις λέγοι καὶ περιπατεῖ σωκράτης, συμφέροι ἂν ἐξ ἀνάγκης, καὶ διαλέγεται ἢ τοιοῦτό τι. εἰ δὲ καὶ Σωκράτης γράφει λέγοι, ἐρίσει δή που καὶ Πλάτων, ἢ

Ἀπαγορευτικά.

Ὅ,τι περ καὶ τὸ ἀπαγορευτικὸν ἀπὸ μὲν ἐνεστῶτος πρὸς ὑποτακτικόν. δέδοικα μὴ ᾖ. ἀπὸ δὲ παρῳχημένου πρὸς εὐκτικόν. ἐδεδοίκειν μὴ εἴη. καὶ τὸ ἐπεὶ καὶ ἐπειδὴ χρονικόν, οὐ μόνον πρὸς ὁριστικόν, ἀλλὰ καὶ πρὸς εὐκτικόν. ἐπειδὴ γένοιτο.

Τὰ δ' εὐκτικά, εὐκτικῷ καὶ ὁριστικῷ ὡς εἴρηται.

Τὰ δὲ παρακελευστικὰ τοῖς δευτέροις ἴσ[?] προσταξικῶν καὶ προσέτι τοῖς ἀορίστοις ὑποτακτικοῖς. ἄγε λέγωμεν. φέρε εἴπω. τοῖς τρίτοις δὲ τό, ἀπαγορευτικὸν μὴ λεγέτω. μὴ τυψάτω. οἰκεῖον δ' ὡς εἴρηται καὶ ταῖς ἄλλαις ἐγκλίσεσι. μὴ γνῷς. μὴ γνῷης, μὴ γνῶναι. Πλὴν τῇ ὁριστικῇ. ταύτης δὲ τὸ ἀποφαντικὸν ἴδιον. οὐ λέγω. ναὶ λέγω. τὸ δὲ μὴ δι' ἐμὴν ἰσότητα αὐτὴ τοῦ οὐ. Ὁμοίως δὲ καὶ τὰ εἰκαστικά. ἴσως ὁρῶ. εἰ δ' εὐκτικῷ, οὐκ ἂν εἴη χωρὶς συνδέσμου. ἴσως φαίη ἄν. Κοινὸν δὲ τοῦτο τῶν ῥηματικῶς συντασσομένων ἁπάντων. οἷον δὴ ἂν ἔχοι. πόρρω ἂν εἴη. μὴ δ' εἴποιμ' ἄν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Καὶ τὰ παραβολικὰ δὲ ὁριστικοῖς. ὡς εἶπον οὕτως ἔγραψα. Καὶ τὰ δεικτικὰ ῥηματικῶς. ἰδοὺ ἥκει εἰς τέλος. ἰδοὺ ὁ ἀμνὸς ἐλλειπτικῶς. τοῦ ὑπαρκτικοῦ. Καὶ τὰ ἀκτικὰ. ἠρέμα λέγειν. μόγις δύναται. Τὸ δ' ἀποστατικόν, ἀπαρεμφάτῳ. ὥστε λέγειν. καὶ εὐκτικῷ. ὥστε λέγοι ἄν. καὶ ἔτι ὁριστικῷ. ὥστε λέγει. ἐπιτακτικὸν τι οὐ μόνον τοῦ ῥήματος, ἀλλὰ καὶ ὀνό

πάντων. τὰ δὲ συγκριτικὰ καὶ πρὸς εὐθεῖαν μεσοσυλλαβοῦντος τοῦ ἢ. μᾶλλον ἢ ἄλλοι.

Ἔτι τὰ ἐπικρυπτικά· κρύφα, ἢ λάθρα τῶν ἄλλων ποιεῖ. Καὶ τὰ διαιρετικά· χωρὶς τῶν ἄλλων.

Καὶ τὰ ποσότητος· ἅπαξ ἢ δὶς τῆς ἡμέρας. τρὶς τοῦ μηνός. τετράκις καὶ πολλάκις τοῦ ἐνιαυτοῦ.

Καὶ τὰ τακτικά· τὰ δύο ἐφεξῆς τοῦ ἑνός. καὶ ἡ δευτέρα τῆς νουμηνίας. Τὰ δὲ ἀθροιστικά, δοτικῇ· ὁμοῦ καὶ ἅμα τοῖς ἄλλοις. καὶ χωρίς.

Τὰ δὲ ὀμοτικά, αἰτιατικῇ μόνως. νὴ δία οὐκ εἶπον. μὰ δί’ οὐκ εἶπον. Τὰ δὲ ἐρωτηματικά, ἀοριστούμενα, καὶ ἢ τροπικὰ γιγνόμενα ἐγκλίνεται. εἰ μὴ τρισυλλαβία κωλύῃ. οὐδὲν γὰρ ἐγκλίνεται ὑπὲρ δισύλλαβον ὄν. πόθεν ἔρχῃ; ἐλθὼν δέ ποθεν. πῶς ἔχει, οὕτω πως ἔχει. ἔξεστι δὲ καὶ τὸ πότε καὶ ποῦ ἐπερωτήσει, τῷ ἕως καὶ μέχρι καὶ ἄχρι ὑποτάσσειν· οἷον ἕως πότε. ἄχρι ποῦ. μέχρι ποῦ. Τὰ δὲ βεβαιωτικά, ὁριστικοῖς. λέγει ὅτι ἥξει. οὕτω δὴ κρίνω. τότε μὴν ὅτι καὶ πρὸς εὐκτικόν, εἰ τοῦ παρῳχημένου. τουτέστι διηγηματικῶς. οἷον ἤγγελλε ποτ’ ὅτι γένοιτο. καὶ εἴη, καὶ ἔσοιτο.

Διχῶς τὸ διηγηματικόν.

Ὅθεν δῆλον καὶ ὡς διχῶς τὸ διηγηματικόν. ἢ γὰρ ἐντονωτέρως, ὡς τό, ἀπαρέμφατον. λέγεται γενέσθαι τι, ἢ ὑπτιωτέρως ὡς τό, τι ὁριστικὸν καὶ εὐκτικὸν ὡς εἴρηται. ὅλως δ’ εἰπεῖν τὸ παρεληλυθὸς φιλευκτικὸν ἐπέοικεν ὄν.

ρουντα. οἷον λίαν σοφὸς, πάνυ τίμιος, καὶ διαφορι-
κῶς· ὁ λίαν σοφός. μεσοσυλλαβοῦντα.

Μεσότητος.

Τῶν τι τῆς μεσότητος κατηγορεῖται αὐτοῦ ῥήματος. οἷον γράφει πάνυ καλῶς. καὶ τρέχει λίαν ταχέως. καὶ χωρὶς δὲ αὐτοῦ λέγεται. λίαν πονεῖ. σφόδρα αὐθυμεῖ. Αὐτῇ δὲ τῇ μεσότητι καὶ τῶν τούτοις ἰσοδυνάμων καθόλου μὲν τὸ ῥηματικόν. ζῇ σωφρόνως. ἀξίως γε εὐτυχεῖ. κατὰ μέρος δέ τοι ὡς ἕκαστον ἔχει παραγωγῆς, οὕτω δὴ καὶ συντάξεταί γε τῷ ῥηματικῷ. τῇ γὰρ ἀρχῇ συνῳδὸν εἶναι χρεών. ἀξίως οὖν λόγου ὅτι ἄξιος λόγου. καὶ ὁμοίως τοῖς ἄλλοις ὅτι ὅμοιος τοῖς ἄλλοις. καὶ καταφρονητικῶς τῶν εὐτελεστέρων, ὅτι καταφρονῶ τῶν εὐτελεστέρων. οἷον δὴ καὶ τὸ ἄριστα πάντων. κοινὸν δὲ τῶν τοιούτων καὶ ἡ προσκειμένη τῷ ἔχω γενική. οὕτως ἔχω γνώμης. πονηρῶς ἔχω τοῦ σώματος.

Τοπικά.

Τὰ δὲ τοπικὰ γενικῇ. ἔξω τῆς χώρας. ἐνταῦθα τοῦ λόγου. ποῦ γῆς. ἄλλη που τῆς οἰκίας. καὶ χωρίς. ἐνταῦθά ἐστιν. σαφέστερον μέντοι καὶ εὐχρηστότερον ἐπ' ἐνίων τὸ φράζειν προθετικῶς. οἴκοι ἐν ἀττικῇ. οἴκαδε εἰς τοῦ πολεμάρχου. ταῦτα δὲ τὸ προσῆκον σφίσιν ἠρεμίας τε καὶ κινήσεως ἕξει προσκείμενον. οἷον οἴκοι εἰμί. πορεύομαι οἴκαδε.

Παραθετικά.

Καὶ τὰ συγκριτικὰ δὲ καὶ ὑπερθετικὰ ὁμοίως εἰς γενικήν. μᾶλλον τῶν ἄλλων φιλοσοφεῖ, καὶ μάλιστα

ΠΡΙΝ.

Καὶ τὸ πρίν γε ἐν παρεληλυθότι πρὸς ὁριστικόν. πρὶν εἶπεν. οὐ μὴν ἀλλὰ καὶ σὺν ἀπαρεμφάτῳ. πρὶν εἰπεῖν. καὶ διὰ μέσου τοῦ ἢ πρὶν ἢ εἰπεῖν ὡς ἐπὶ. διὰ δὲ τοῦ ἐπὶ μέλλοντος πράγματος. πρὶν ἂν γένηται. πρὶν γένηται.

ΕΩΣ.

Ὁμοίως δὲ καὶ τὸ ἕως καὶ τὰ ἰσοδυναμοῦντα. ἕως παρατείνω. καὶ ἕως παρατεῖναι.

ΟΤΕ.

Τὸ δὲ ὅτε ἀδιαφόρως τοῖς χρόνοις πρὸς ὁριστικὸν εἰ μὴ δυνητικόν τι συννοοῖτο. εὐκτικοῦ γὰρ τὸ δυνητικόν. ὅτε βούλοιτο.

ΟΥΚΕΤΙ.

Καὶ τὸ οὐκέτι. καὶ τὸ οὐδέποτε. καὶ τὸ ἀεί.

Τὸ δὲ οὐδέπωποτε μόνον ἐπὶ παρῳχημένου.

Ὥσπερ τοὐναντίον τὸ εἰσαεὶ καὶ αὖθις ἐπὶ μέλλοντος. εἰσαεὶ ἔσται κίνησις. αὖθις διδάξω.

ΟΥΠΩ.

Τὸ δὲ οὔπω, παρῳχημένου τε καὶ ἐνεστῶτος. οὔπω γίνεται. οὔπω γέγονεν. Ἔστι δ' ὡς ἁπλῶς εἰπεῖν καὶ πρὸς γενικὴν ἀποδίδονται τὰ χρονικὰ κτητικῶς πως. οἷον ποτὲ τοῦ χρόνου. οὐδέποτε τῶν χρόνων. τό γε μὴν χωρὶς γενικῆς πολὺ ἐν τῷ λόγῳ. Ἔστι δὲ καὶ τῶν χρονικῶν. τὰ μὲν, διαφορικά. τὰ δὲ, ἀπολελημμένα. ὥς τε καὶ προηγεῖται ἀλλήλων. τότε, ὅτε. τηνικαῦτα. ἡνίκα. τέως. ἕως. Ἐπιτατικά.

Τὰ δὲ ἐπιτατικὰ, τοῖς τε ἐπιθέτοις τῶν ὀνομάτων συντάσσεται πᾶσιν, ὑπερθετικῶν χρείαν ἀναπλη-

τικῶς, οὐκ ἐξ ἀνάγκης καὶ συναμφοτέρως.

Χρονικά.

Τῶν δὲ χρονικῶν τὸ μὲν νῦν πᾶσι τοῖς τοῦ χρόνου μορίοις συντάσσεται, πλὴν τοῦ ὑπερσυντελίκου.

ΝΥΝ.

Νῦν πειρᾶται. νῦν αὖτ' ἔγχει πειρήσομαι. νῦν μὲν δὴ Μενέλαος ἐνίκησε σὺν Ἀθήνῃ. καὶ δηλοῦν μὲν τὸ χρόνου ἐνεστηκὸς, ἐνεστῶτι συντάσσεται μόνῳ καὶ ἀρκτικὸν γίνεται λόγου. ἀκολουθίαν δέ τινα σώζον προηγουμένου, οὔτ' ἀρκτικόν ἐστι λόγου καὶ ἀεὶ τῷ δὲ συνδέσμῳ συντάττεται. οἷον ἐγὼ μὲν ᾤμην ταῦτ' ἐκεῖνον ὄρειν. νῦν δὲ οὐδὲν τούτων εἴρηκεν. ἀντιπαράκειται δὲ τῷ τοῦ ἐνεστῶτος νῦν, τὸ αὐτίκα καὶ ἄρτι. νῦν ποιῶ. ἄρτι πεποίηκα. αὐτίκα ποιήσω.

ΧΘΕΣ.

Ὁμοίως δ' ἔχει καὶ τὸ χθὲς καὶ αὔριον, πρὸς τὸ σήμερον. εἰρείσθω δέ τοι καὶ αὔριον ἔρχομαι εἰ πρὸς θυμοῦ τὸ μέλλον γίνεσθαι ἀντὶ πλέον πιστοῦσθαι.

ΟΤΕ. ΤΟΤΕ.

Κοινὸν δὲ καὶ τὸ, ὅτε καὶ τότε, πλὴν τοῦ παρακειμένου.

ΠΡΩΗΝ. ΠΑΛΑΙ.

Τὸ δὲ πρώην καὶ πάλαι, ἴδια τοῦ παρῳχημένου. πάλαι ποτ' ἦσαν. πρώην ἐλήλυθεν.

ΗΔΗ.

Τὸ δὲ ἤδη, κοινὸν μέλλοντος καὶ παρήκοντος. ἤδη βεβάδικα. ἤδη βαδίσω. λέγεταί τε ἀντὶ τῶν μὴ πολὺ ἀφεστηκότων, ὡς καὶ τὸ πρώην.

ξιν. ἀεὶ γὰρ ῥήματι προηγεῖται ἢ ἐφέπεται ταῖς λεγομέναις ἐνεργείαις ἐπιλεγόμενον ὅθεν καὶ τὴν προσηγορίαν ἀπηνέγκατο καὶ τὸν λόγον. ἔστι καὶ γὰρ μέρος λόγου ἄκλιτον κατὰ ῥήματος λεγόμενον ἢ ἐπιλεγόμενον ῥήματι καὶ οἷον ἐπίθετον ῥήματος.

Καθάπερ οὖν τὰ τῶν ὀνομάτων ἐπίθετα τῶν κυρίων κατηγορεῖται καὶ προσηγορικῶν, οὕτω δὴ καὶ τὰ ἐπιρρήματα. καὶ γάρτοι μεταξὺ τοῦ ῥήματος καὶ ἐπιρρήματος τύχῃ παραπεσόντα πλείονα ἄττα ὅμως μέντοι αὐτὸ τὸ ἐπίρρημα πρὸς τὸ ῥῆμα ἀναφερόμενον λέγεται. Καὶ μὲν δὴ πλείω πολλάκις συμπλέκοντες ἐπιρρήματα ἑνὶ τῷ ῥήματι ἀποδίδομεν ἱκανῶς. οἷον καλῶς καὶ εὐσεβῶς καὶ δεόντως πεποίηκας. κοινὸν δὲ τὸ τοιοῦτο. Ἔχει μὲν οὖν τὰ ἐπιρρήματα τὴν σύνταξιν πρὸς τὸ ῥῆμα. πλὴν τοῦ κλητικοῦ ἐπιφθέγματος καὶ τῶν σχετλιαστικῶν καὶ θαυμαστικῶν καὶ τῶν θετικῶν. Τὸ μὲν γάρτοι, πρὸς κλητικήν. ὦ φίλε πῶλε. τὰ δὲ, πρὸς γενικήν. φεῦ τῶν κακῶν. ὢ τοῦ μεγέθους.

φεῦ Ω.

Σχετλιαστικά. θετικά.

Τὰ δὲ πρὸς δοτικὴν ἢ αἰτιατικήν. γραπτέον ἡμῖν. γραπτέον ἡμᾶς. ἔστι δὲ χρῆσθαι σχετλιαστικοῖς τε καὶ θετικοῖς καὶ ἄλλου τινὸς ἐπ᾽ ἐκφορᾶς πτωτικῆς.

Τὰ μὲν οὖν πτωτικῶς συντάσσεται φεῦ τοῦ μεγέθους.

Τὰ δὲ, ῥηματικῶς εὖ ἔχει. Τὰ δὲ συναμφοτέρως. πόρρω ἡμῶν οἰκεῖ. Τὰ δὲ ῥηματικῶς ἢ πτωτι-

μένου. οἷον νηῶν ἄπο καὶ κλισιάων. ἀγαμέμνονος ὕπο καὶ ἀχιλλέως. καὶ εἰ μεταξὺ μὲν ἐμπίπτῃ καὶ μηδὲν ἕτερον μέρος λόγου μεσοσυλλαβῇ, ὑποτάττηται δὲ οὗ ὑπὸ ἐχρῆν προηγεῖσθαι, ἀναστρέφεται ἔτι. οἷον ὧ ἔπι πολλ' ἐμόγησα, ἰθάκῃ ἔνι οἰκία ναίων. θεῶν ἄπο. μήδεα εἰδώς. ἐὰν δὲ μεταξὺ προθέσεως καὶ τοῦ ῥήματος ἢ τοῦ ὀνόματος πρὸς ὃ ἡ πρόθεσις, μέρος λόγου ἕτερον παρεμπίπτῃ, οὐκ ἀναστρέφεται. τῷ δ' ἐπὶ τυδείδης ὦρτο.

Ε ι μέντοι εἴη ἐπὶ τέλει τοῦ ἔπους, καὶ ἁπλῶς εἰπεῖν ἐν στιγμῇ νοήματος, ἀναστρέφεται καὶ μεσοσυλλαβοῦντός του. πάντων δ' ἔπλυσε πολὺ κάτα.

Κ αἱ αἱ παθοῦσαι δὲ ἔκθλιψιν τοῦ φωνήεντος οὐκ ἀναστρέφονται εἰ μὴ στιγμὴ ἐπιφέροιτό τις. ἢ τὸ σημαινόμενον διαφθείροιτο μὴ ἀναστρεφομένης. ὡς ἐπὶ τοῦ, σεῦτο γὰρ ἡφαίστοιο πὰρ οἰσέμεν ὅπλα.

Π οιηταὶ μὲν οὖν κατὰ τὰς προθέσεις ἐνίοτε στίζουσι. λογογράφοι δ' οὔ. ὅτι μὴ καὶ τῆς πρὸς. ταύτην γὰρ μόνην καὶ προστιγμῆς τάττουσιν. ὡς τὸ καὶ μακρόν τι πρός. Ενιοι δὲ καὶ κατ' ἔλλειψιν προθέσεων λέγεσθαι τὰ τοιαῦτα φασί. βοῦν γάρ του ὠνοῦμαι. ἐνδεῖν γὰρ τὴν διά. πολὺς τὸν λόγον ἐνδεῖν τὴν κατά. ἡδὺ τοῦ φυτοῦ ἀναπνεῖ. καὶ δρέπομαι τῶν ἀνθέων. καὶ πίνω τοῦ ὕδατος. καὶ κρεμῶ τε τοῦ ποδός. ἐνδεῖν τὴν ἀπό.

Περὶ ἐπιρρήματος.

Τ ὸ δ' ἐπίρρημα, πρὸς τὰ ῥήματα ἔχει τὴν σύντα-

σθαι, οὐδὲν ἂν κωλύοι. κατειπεῖν οὖν ἑτέρου. καὶ κατεσθίειν. καὶ καθορᾶν. καλείσθω δὲ τὸ μὲν, προθετικόν. τὸ δὲ, ῥηματικόν.

ΑΝΑΣΤΡΟΦΗ.

Ἀναστρέφονται δὲ αἱ μὲν μονοσύλλαβοι ἐπὶ τέλει στίχου τῶν ἐπῶν, ὡς ἐπὶ τῶν ὁμηρικῶν ἐκείνων. οὐ μέν τοι κακὸς εἴδεται οὐδὲ κακῶν ἔξ. καὶ ἦλθεν ἀργυρότοξος ἀρτέμιδι ξύν. τῶν δὲ δισυλλάβων ἔν τε τοῖς πεζοῖς καὶ ἐν τοῖς ἐμμέτροις. πλὴν τῆς διά. καὶ ἀνά. ἵνα μὴ συνεμπέσῃ ἡ μὲν, τῇ δία αἰτιατικῇ. ἡ δὲ, τῇ ἄνα κλητικῇ. ἄνα λητοῦς υἱέ. ὀρθοτονεῖσθαι γὰρ ἐπὶ τῆς παραληγούσης ὀξείᾳ τάσει ἀνάγκη. αἱ δὲ τρίχρονοι οὔ. οἷον ἡ ἀντὶ καὶ ἡ ἀμφί. ὅθεν οὐδὲ αἱ τῷ ι πλεονάζουσαι. οἷον καταί. παραί. ὑπείρ. ἅτε δὴ γενόμεναι τρίχρονοι. ἡ δὲ ἐν προσλαβοῦσα τὸ ι καὶ γινομένη, ἐνὶ καὶ δισυλλαβήσασα καὶ διχρονήσασα ἀναστρέφεται. οἷον ἡμετέρῳ ἔνι οἴκῳ. καὶ ᾧ ἔνι κούρη κοιμᾶται.

Ἐνίοτε δὲ καὶ αἱ δισύλλαβοι διχρονοῦσαι, ὅμως οὐκ ἀναστρέφονται. οἷον ἰθάκην κατακοιρανέουσι. καὶ εὗρε δὲ πατρόκλῳ περικείμενον.

Εἰ δὲ μεταξὺ δυοῖν ὀνομάτων ἡ πρόθεσις, τοῦ μὲν κυρίου. τοῦ δὲ, προσηγορικοῦ ἢ ἐπιθέτου, ἀναστρέφειν δεῖ. ἵνα τοῦ ὅλου προηγήσηται λόγου. οἷον ποταμοῦ ἄπο σελλήεντος. καὶ ξάνθῳ ἔπι δινήεντι.

Ὡσαύτως δὲ καὶ μεταξὺ κυρίων δυοῖν ἢ προσηγορικῶν κέηται, συνδέσμου μετὰ τὴν πρόθεσιν ἐπιφερο-

ΑΜΦΙ.

Η δ' ἀμφὶ, ὡς ὁμοιόσημός τε ἐστὶ καὶ ὁμοιοσύντακτος τῇ περὶ. συνηθεστέρα μέντοι γε ἡ περί.

ΑΠΟ.

Η δὲ ἀπὸ, ἀεὶ γενικῇ. ἀπὸ δικαίου. ἀφ' ἑτέρου.

ΥΠΟ.

Η δὲ ὑπὸ, γενικῇ ἀποδοῦσα τὸ ποιητικόν. οὐδὲ ὑπὸ πενίας εὐεργετῶ. καὶ ἔτι τὸ ὑποκάτω σημαίνουσα. ὑφ' εἵματος κρύπτοντα χεῖρα. ὃ δὴ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντασσομένη δηλοῖ. ὑπὸ δένδρον καὶ ὑπὸ δένδρῳ.

ΥΠΕΡ.

Η δὲ ὑπὲρ, γενικῇ μὲν ἐπὶ βοηθείας. οἷον ὑπὲρ κτησιφῶντος ὁ λόγος. καὶ ἀπολογίας ὁμοίως τῇ περὶ. ὑπὲρ ὧν εἶπον πάλιν ὁρῶ. καὶ ὅταν τὸ ἐπάνω δηλοῖ. ὑπὲρ καπνοῦ τίθησι τὸ πηδάλιον. αἰτιατικῇ δὲ τὸ πλέον τι καὶ ἐπέκεινα καὶ ὅλως ὑπερκείμενον ἀποφέρεται. οἷον ὑπὲρ ἄνθρωπόν τι ἔστιν ὁ θεὸς εἰδέναι.

Συντεθεῖσαι δὲ τοῖς ῥήμασιν αἱ προθέσεις, τὴν ἰδίαν ἔτι φυλάττουσαι σημασίαν, ἀπαιτοῦσι τὴν αὐτὴν πτῶσιν ὡς ἁπλῶς εἰπεῖν ἅπασαι. κατηγορῶ σου. ἀφίστημί σου. ὑπερέχω σου. παραινῶ σοι. ὅτι μὴ ἐπὶ τῶν κτητικῶν καὶ περιποιητικῶν. ἐμφοροῦμαι. ἐντρυφῶ. καὶ παραπολαύω σου. καὶ περιτίθημί σοι. ἡ γε μὴν κατὰ συντεθεῖσα καὶ ἐπιτείνει ὁμοιοτρόπως. κατεσθίει πάντα. κατεῖπέ μοι. καὶ ταῦτα μέντοι. καὶ ἔτι ὡς σύνθετον οὕτω προφέροιτο ἕτερον, μὴ δὲ τοῦ προθετικοῦ ἰδιώματος ἀπολείπε-

ἡ δὲ παρὰ καὶ πρὸς, τῇ ἀπὸ προσώπου. δοτικῇ δὲ στάσιν καὶ τὸ ἐγγύς. παρ᾽ ἐμοὶ διατρίβει. αἰτιατικῇ δὲ κίνησιν ἐπί τι. παρά σε ἔρχομαι, ἢ τὸ διά τι. παρὰ τὸ ἀδικεῖν ἡ τιμωρία. ἢ τὸ ἔξω σκοποῦ, καὶ ἐπαγγελίας. οἷον παρὰ γνώμην συμβαίνει.

ΑΝΤΙ.

Η ἀντὶ, ἀεὶ γενικῇ. ἀντὶ πολλῶν ἀνθ᾽ ἑνός.

ΕΠΙ.

Η δ᾽ ἐπὶ, γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ. γενικῇ μὲν, χρόνον δηλοῦσα. ἐπὶ ἄρχοντος ἀθήνησι πυθοδώρου. ἢ τὸ περί τι καὶ ἔν τινι. ἐπὶ πολλῶν μάθοι τις ἂν τὰ λεγόμενα. ἢ τὸ ἐπάνω. τὰ τετράποδα ἐπὶ γῆς. δοτικῇ δὲ ἀπολογοῦσα τὸ οὗ ἕνεκα. οἷον ἐπὶ ἀγαθῷ πάντα ἐποίει. ἢ δύναμιν καὶ ἐξουσίαν τι δηλοῦσα. ἐπὶ τῷ βασιλεῖ τὰ τῶν ὑπηκόων. ἢ τὸ ὕστερόν τι καὶ δευτερόχετον. ἐπὶ τούτοις πολλὰ ἕτερα διεξέει. ἢ τὸ ἐπάνω. ἐπὶ κρηπῖδι ὁ τοῖχος ἕστηκεν ἰσχυρᾷ. αἰτιατικῇ δὲ, κίνησίν τινα λέγουσα. ἐπὶ τὴν ἀττικὴν ἐπορεύετο. καὶ γενικῇ δὲ τοῦτο τοὔτε ἔσθ᾽ ὅτε δηλοῖ. ἐπὶ οἴκου. καὶ ἐπὶ τῆς χώρας. ὀρθῶς μὲν καὶ ἀττικῶς, οὐ κατὰ πολλὴν δέ τινα χρῆσιν.

ΠΕΡΙ.

Η δὲ περὶ, γενικῇ μὲν ἀπολογοῦσα. περὶ προθέσεως γράφω. τὸ δὲ περί τῳ δεδοικέναι μοναδικόν. αἰτιατικῇ δὲ τὸ κύκλῳ σημαίνουσα καὶ περιποιητικὸν ἢ συστατικόν. οἷον περὶ τὴν πόλιν τὸ στράτευμα. τὸ δ᾽ ἐρεαίνεσι περὶ δουρὶ καὶ περὶ πύργῳ ποιητικά.

ΑΝΑ.

Η δὲ ἀνά, ἀεὶ αἰτιατικῇ. ἀνά τε ἔντεα καὶ μέλαν αἷμα.

ΚΑΤΑ.

Η δὲ κατά, γενικῇ καὶ αἰτιατικῇ. γενικῇ μὲν ὅτι καταφορᾶς καὶ κατηγορίας. κατὰ αἰσχίνου λόγος. καὶ ὅταν τὸ ἐπάνω καὶ πόρρω τι ἢ πόρρω του δηλοῖ. κατὰ γῆς κάθημαι. κατ' αἰθέρα πους τὸ ζῶον. τὸ δὲ καλτ' οὐλύμποιο καρήνων ἀντὶ τοῦ ἀπό. αἰτιατικῇ δὲ ὅταν τὸ παραβαλλόμενόν τε καὶ ὅμοιον. οἷον καθ' ὅμηρον. καὶ κατὰ νοῦν προχωρεῖ. ἢ τὸ περί τι καὶ ἔν τινι. καθ' ὁδὸν ταῦτα ἐποίουν. καὶ ἔμενον κατὰ χώραν. ἢ χρόνον. ὁ καθ' ἡμᾶς γεγονὼς ἀνὴρ ἔνδοξος.

ΔΙΑ.

Η δὲ διά, γενικῇ μὲν ἐνέργειάν τινα, ἢ τὸ μέσον δηλοῦσα. διὰ σοῦ ταῦτα ἂν ἄμεινον γίγνοιτο. καὶ ἐπορευόμην δι' ἀγορᾶς, αἰτιατικῇ δὲ αἰτίαν. διὰ σὲ ταῦτα γράφω. ὅμηρος δὲ καὶ τὸ μέσον αἰτιατικῇ ἐνίοτε φράζει. διά τε ἔντεα καὶ μέλαν αἷμα.

ΜΕΤΑ.

Η δὲ μετά, γενικῇ μὲν τὸ ὁμοῦ σημαίνουσα. ἡδὺς μετὰ φίλων ὁ βίος. τὸ δὲ μετὰ τριτάτοισιν ἄνασσε ποιητικόν. αἰτιατικῇ δὲ τὸ ὕστερον μετὰ τὴν ἑορτήν. καὶ Πλάτων μετὰ Σωκράτην.

ΠΑΡΑ.

Η δὲ παρά, γενικῇ μέν, τὴν ἀπὸ προσώπου σημαίνουσα κίνησιν. οἷον παρὰ θεοῦ τἀγαθά. ἡ μὲν γὰρ ἀπὸ καὶ ἐκ τῆς ἀπὸ τόπου μάλιστα κινήσει οἰκεῖαι.

καὶ περὶ τῆς ἐν. ἀλλὰ γὰρ περὶ μὲν ἀψύχων, τῇ ἐς. περὶ δ' ἐμψύχων, τῇ πρὸς μάλιστά γε χρηστέον. πορεύομαι εἰς ἀγοράν. πέμπω τὸ χρυσίον πρὸς σέ. ἰδιαίτερον δὲ τῇ μὲν εἰς ἐπὶ ἐπαίνου καὶ ἀναφορᾶς. τῇ δὲ πρὸς, τὸ ἀνάπαλιν. ἀνήνεγκε μὲν γὰρ εἰς τὸν ἄρχοντα φαμέν. καὶ ὕμνους εἰς Ἀπόλλωνα. πολεμεῖ δὲ πρὸς ὁμόρους. καθ' ἣν δὴ ἔννοιαν καὶ τῇ εἰς ἐστὶν ὅτε χρηστέον. ἠγνωμονήκεσαν εἰς ἡμᾶς.

ΕΞ.

Ἡ δὲ ἐξ, ἀεὶ γενικῇ. ἐξ Ἀττικῆς. ἐκ Μεγάρων.

ΣΥΝ.

Ἡ δὲ σὺν, ἀεὶ δοτικῇ. σὺν θεῷ. σὺν λόγῳ.

ΠΡΟΣ.

Ἡ δὲ πρὸς, γενικῇ, καὶ δοτικῇ, καὶ αἰτιατικῇ. γενικῇ μὲν, ὅταν τὴν ἀπὸ προσώπου σημαίνῃ κίνησιν. πρὸς θεοῦ τἀγαθὰ, ἢ τάσσηται ἐπὶ ὅρκου. ἢ καὶ πρὸς θεοῦ, ἢ τὸ ἐναντίον δηλοῖ. πρός τε θεῶν μακάρων. πρός τε θνητῶν ἀνθρώπων, ἢ τὸ καθῆκον. οὐ πρὸς ἰατροῦ σοφοῦ θροεῖν ἐπῳδάς. δοτικῇ δὲ ὅταν τὸ ἐγγύς τι καὶ παρακείμενον. οἷον πρὸς τοῖς ποσίν. αἰτιατικῇ δὲ ὅταν κίνησιν πρὸς ἔμψυχον μάλιστά τι. καὶ ὡς ἄλλως δὴ εἴρηται. καὶ ἔτι ὅταν ἡ σχέσιν τινὰ καὶ λόγον. ὡς τὰ δύο πρὸς τὰ τέσσαρα, οὕτω καὶ τὰ τέσσαρα πρὸς τὰ ὀκτώ. ἢ παράδειγμα. ᾄδει πρὸς αὐλόν.

ΠΡΟ.

Ἡ δὲ πρὸ, ἀεὶ γενικῇ. πρὸ θυρῶν. πρὸ τοῦ χρόνου.

σύνοικος· πάροικος· ἔποικος· μέτοικος. παραθέσεως δὲ, τὸ σὺν τὴν ἀττικήν· ἢ κατὰ τῆς ἀττικῆς· ταύτην δὲ τὴν ἐκ παραθέσεως σύνταξιν δηλοῦν καὶ βούλονται οἱ προτίθεσθαι λέγοντες ἔν τι σύνθέσει καὶ συντάξει.

Ε οἴκασι δ' αἱ προθέσεις συνδεσμικῆς, συντάξεως γενόμεναι παρεμφαντικαί. ὅθεν καὶ τοῖς στωϊκοῖς προθετικοὶ σύνδεσμοι ἐκαλοῦντο. τὸ γὰρ διὰ τί λυπῇ, τὸ ἕνεκα τίνος λυπῇ, παρεμφαίνει. καὶ τὸ ἐκ ῥαθυμίας, τὸ ἕνεκα. οὐ δὴ οὖν ἀπεμφαῖνον, εἰ καὶ τὸ ὅτι παραδεξάμενον τὴν διὰ καὶ κατὰ, σύνταξιν ἐπέχει συνδεσμικήν. τοῖς γε μὴν ῥήμασιν ἀεὶ κατὰ σύνθεσιν αἱ προθέσεις. οἷον καταγράφω, καὶ προκαλοῦμαι ἔνδοθεν τι ἡ κλίσις κατέγραφον, εἴ τι τοῦ ἁπλοῦ διάφορον δηλοῦται ἐκ τῆς συνθέσεως. εἰ γὰρ μηδέν τι πλέον, ἔξωθεν ἡ κλίσις καθάπερ καὶ τοῖς ἁπλοῖς, καθεύδω, ἐκάθευδον. καθέζομαι, ἐκαθεζόμην. πρόθεσις δὲ κατὰ παράθεσιν συντεθεῖσα ἡ κλητικῇ οὐδέποτε τάξεται συντάσσεται δὲ ταῖς πλαγίαις αὐτῇ.

ΕΝ.

Η μὲν ἐν, ἀεὶ δοτικῇ. ἐν οἴκῳ ἐν ἀγορᾷ. τὸ δ' ἐν ᾅδου καὶ ἐν διδασκάλου ἐλλειπτικῶς δεῖ γὰρ κἀνταῦθα ἐπινοεῖν, τὴν τόπῳ καὶ οἴκῳ δοτικήν.

ΕΙΣ.

Η δὲ εἰς, ἀεὶ αἰτιατικῇ. εἰς ἐκκλησίαν εἰς ἀγοράν. τὸ δὲ εἰς ᾅδου. καὶ εἰς διδασκάλου ἐλλειπτικῶς ὡς

αὐτοῖν ἁπτόμεθα. σφῶϊ αὐτὼ ὠφελεῖτον. οὐκ ἔτι δὲ καὶ ἐπὶ τοῦ τρίτου ὁμοίως. κατὰ τὸν πληθυντικὸν δ' ἔτι ὡσαύτως. ἡμῶν αὐτῶν. ἡμῖν αὐτοῖς. ἡμᾶς αὐτούς. σφῶν αὐτῶν. σφίσιν αὐτοῖς. σφᾶς αὐτούς.

Ε Ἔτι γε μὴν πληθύνοντι λέγειν, καὶ ἑαυτῶν. ἑαυτοῖς. ἑαυτούς. κοινῇ κατὰ πάντων προσώπων. ἑαυτοὺς ὠφελοῦμεν. ὠφελεῖτε. ὠφελοῦσιν. οὐκ ἔτι δὲ καὶ ἑαυτὸν ὠφελῶ, ἢ ὠφελεῖς. διελέγχεται γάρ τοι ἀκαταλλήλως ἔχον ὑπὸ τοῦ ἐμαυτὸν ἢ σαυτὸν ὡς εἴρηται. Ἀλληλοπαθές.

Ϝ Παραπλήσια δ' ἔπως τουτοισὶ, καὶ ἡ τοῦ ἀλλήλου σύνταξις, δι' αὐτοπάθειαι γὰρ τοῦ ὅλου ἀθροίσματος καὶ ταῦτα ἐπὶ τῶν συμπλεκομένων λαμβανόντων τὰ λεγόμενα. ἀλλήλους ὠφελοῦμεν. ὠφελεῖται. ὠφελοῦσιν. ὅτι γε μὴν οὐ τὰ μόρια καθ' ἕκαστον ὑφ' ἑαυτῶν πάσχει ἀλλ' ὑφ' ἑτέρου ἀμοιβαδὸν, προσαγορευέσθω ἡμῖν μὴ αὐτοπαθὲς τὸ τοιοῦτο, ἀλλ' ἀλληλοπαθές. δῆλον δ' ἄρα καὶ ὡς αἱ τοιαῦται αὐτῶν ὑμῖαι, ῥήματα οὐκ ἂν ἐπιδέχοιντο παθητικά. τὸ γὰρ αὐτοπαθὲς ἐνέργεια τοῦ εἰς ἑαυτὸ ἐνεργοῦν ἐστιν ὡς εἴρηται.

Περὶ προθέσεως.

Η Δὲ προτιθεμένη λέξις πάντων τῶν τοῦ λόγου μερῶν καὶ διὰ τοῦτο πρόθεσις ὀνομαζομένη, διείρηται μὲν πρότερον. ἐνταῦθα δὲ ὅπως συντάξεται θεωρῶμεν. προτίθεται μὲν οὖν τῶν τοῦ λόγου μερῶν, ἢ κατὰ σύνθεσιν, ἢ κατὰ παράθεσιν. συνθέσεως μὲν γὰρ τὸ

καὶ σύνδεσμος προσλαμβάνηται ὧδε. σὺ μὲν ἐδίδασκες· ἐγὼ δὲ ἐφοίτων.

Σύνθετοι.

Τῶν δὲ συνθέτων χρῆσις μὲν ὡς πρὸ εἴρηται. ἐπεὶ τὸ αὐτὸ πρόσωπον ἐνεργεῖ τι καὶ πάσχει, ἑκάστη δὲ ἐπὶ τὸ ἐνεργοῦν αὐτὸ ἐπιστρέφει ἢ ἐπί τι τῶν αὐτοῦ ὡσπερεὶ ἀνάπαλιν ἀνακλωμένη, σώζω ἐμαυτὸν, σώζω τὰ ἐμαυτοῦ. ἔστι δὲ φάναι καὶ τὰ ἐμαυτοῦ ἐμὲ σώζει. ὥς τε διχῶς ἢ ποιεῖ τὸ αὐτοπαθὲς κτητικὸν σύνταξις. ἤτοι ἀπὸ τοῦ κεκτημένου ἐπὶ τὸ κτῆμα, ἢ ἀνάπαλιν. ἔνθα δὴ καὶ μεταλαμβάνειν ἔξεστιν ὄνομα ἰσοδυναμοῦν. οἷον τὸ ἴδιον, ἢ οἰκεῖον, ἢ ποιοῦ τό τι. Σωκράτης τὸν ἑαυτοῦ παῖδα παιδεύει. καὶ τὸν ἴδιον παῖδα. πρός τε αὐτῷ τῷ ὀνόματι καὶ τὴν γενικὴν τοῦ συνθέτου συντάσσειν. ἀφίημι κληρονόμον τὸν ἴδιον ἐμαυτοῦ παῖδα. φιλεῖ πᾶς ὅς τις οὖν τὸν ἴδιον ἑαυτοῦ υἱόν. ὁμήρου ἴδιον τὸ βυβλίον. τῇ ἰδίᾳ τοῦ λέγοντος ἐπιμελείᾳ.

Κοινὸν δὲ ταυτὸ τοῦτο καὶ πρὸς τὰς κλητικάς. οἷον σὸν ἄρα ἐστὶν ὦ Σώκρατες καὶ τοῦτο γνῶναι τοῦ πάντα τὰ δίκαια ἐν ἡμῖν εἰδότος. καὶ τὸν ἐμὸν μὲν αὐτοῦ τοῦ ταλαιπώρου βίον. τὸ δ' ἐμὲ αὐτὸν ὠφελεῖ ἐπιτακτικῶς λέγεται πρὸς τὸ ἐμὲ ὠφελεῖ ἀπολελυμένον. Ὅτι δὲ τὸ σύνθετον ἐπὶ μόνων τῶν ἑνικῶν, διὰ τοῦτο τῇ ἀναφορικῇ συντάσσοντες ταῖς αἰτιαῖς χρώμεθα ὁμοιοτρόπως ἐπί τε δυϊκοῦ καὶ πληθυντικοῦ. οἷον νῶϊ αὐτὼ ὠφελοῦμεν. νῶϊν

αὐτοῖν

τὸ κατὰ διαφόρους φωνὰς διάφορα ποιεῖν πρόσωπα τρίτα. τὰ γάρ τοι ῥήματα κατὰ μίαν φωνὴν πλειόσι τρίτοις ἀρκεῖ προσώποις. λέγομεν οὖν ὅτι γράφει Σωκράτης. ἢ Καλλίας. ἢ ὁστισοῦν. οὐκ ἔτι δὲ καὶ ἐπ' ἀντωνυμίας ὡσαύτως.

Ὥρισται δὲ τὰ τῶν ἀντωνυμιῶν πρόσωπα οὐ μόνῃ τῇ τῶν παρόντων δείξει, ἀλλὰ καὶ τῇ διαφορᾷ καὶ ἀναπολήσει τῶν ἀπόντων. Ὅθεν δὴ καὶ τῷ Ἀριστάρχῳ εἴρηται συζύγους εἶναι τοῖς προσώποις τὰς ἀντωνυμίας. ὁρίζεται γὰρ ὁμοίως κατὰ πᾶν πρόσωπον ἤτοι ἐνδείξει ἢ διαφορᾷ τῶν ῥημάτων ἐν τρίτῳ προσώπῳ ἀοριστούντων, εἰ μή τῳ ἐξαίρετόν τι, οἷον βροντᾷ, καὶ ἀστράπτει. καὶ ὕει. τὸν γὰρ θεὸν ὑπονοητέον ὡς ταῦτ' ἐνεργοῦντα. ἐπεὶ τό γε τρίτον οὐ πάνυ τι οὐδ' ἐπὶ τούτων γνώρισται.

Καθόλου δὲ ὥσπερ τὰ ὀνόματα οὕτω καὶ αἱ ἀντωνυμίαι τοῖς ῥήμασι κατὰ πᾶσαν ἑκάστην συντάσσονται. καὶ ταῖς μὲν εὐθείαις ἀμεταβάτως. οἷον οὗτος τρέχει. ταῖς δὲ πλαγίαις μεταβατικῶς. τούτου φείδομαι. τούτῳ χαρίζομαι. τοῦτον ἐπαινῶ. ἢν μὴ τὰ ῥήματα ἀπόλυτα ἄττα καὶ ἄσχετα ᾖ. οἷον τὸ ζῶ. καὶ πλουτῶ. καὶ ὑγιαίνω.

Διακριτικόν.

Προστίθεμεν δὲ τὴν εὐθεῖαν, τοῖς ῥήμασι πολλαχῇ οὐχ ὡς μὴ ἐνοῦσαν δυνάμει καὶ νοουμένην. ἀλλ' ἤτοι πλείονος ἐνδείξεως ἕνεκα ἢ διαστολῆς. διακριτικὼς ἅτε γάρ τοι προσώπων ἡ ἀντωνυμία. ἄλλως τε

εἶναι τοὺς πολεμίους. καὶ μηδὲν βουλέων ξύνιον. οἷον δὴ καὶ τὸ Δημοσθένους. κατασκευάσας γραφὴν οὐκ ἐπ᾿ ἐμὲ ἀλλ᾿ εἶναι τὸν θεῖον μου. ἡ δὲ παράγωγος ὀνόμασι μόνοις. τίσειαν ἐμὰ δάκρυα.

Αὐτοπάθεια,

Ἐπ᾿ αὐτοπαθείας γε μὴν οὔτ᾿ οὖν πρωτοτύπῳ. ὅταν γὰρ αὐτὸ τὸ πρόσωπον ἐνεργῇ τε καὶ πάσχῃ, οὔτ᾿ οὖν παραγώγῳ χρώμεθα, ἀλλὰ τοῖς συνθέτοις. ἑαυτοῖς βοηθοῦμεν καὶ ὅρα σαυτόν. Ἐπαναφορά.

Συμβαίνει δὲ τῇ ἀντωνυμίᾳ καὶ ἐπαναφορὰ ἐν τρίτῳ προσώπῳ, δι᾿ ἧς προειλεγμένα ἄττα ὀνόματα σὺν ἀναμνήσει ἀντωνομάζοιτ᾿ ἄν, ληφθῆναί γε μὴ δυνάμενα ἔτι. ζεὺς δ᾿ ἐπεὶ οὖν τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσεν, αὐτὸς μὲν πάλιν τρέπεν ὄσσε φαεινώ. εἰ γὰρ τις ζεὺς πάλιν λέγοι καὶ οὐκ αὐτὸς, οὐ συνάξει ἀμφότερα πρὸς τὸ ἴδια, ἀλλ᾿ ἀρχὴν ὡς περ λόγου ἑτέρου ποιήσεται.

Ἐγγὺς δ᾿ ἔτι τούτου. καὶ τὸ ὑπείρεχε τῷ κύρῳ αὐτὸν μᾶλλον φιλοῦσα. οὐ μόνον δὴ ἀντωνόμασθαι, καθάπερ καὶ εἶναι τῶν ἄλλων ἀντωνυμιῶν συνοπτικὸν ἐστὶν ἀλλὰ καὶ διαφέρεταί γε. ὅπερ οὐκ ὀνομάτων ἂν εἴη. ἀλλ᾿ ἢ προσλαβόντων τὰ ἄρθρα.

Δεικτικαί.

Οὐ καθάπερ δὴ αἱ διαφορικαὶ οὕτω τοι καὶ αἱ δεικτικαὶ, ἀντὶ προλεχθέντων ὀνομάτων λαμβάνονταί τινων. ἀλλ᾿ ἀντὶ τῶν δεικτικῶς ἐξενεχθῆναι μὴ δυναμένων. Ἴδιον γέ τοι τῶν ἀντωνυμιῶν καὶ

σωτέροις συντάσσονται. οἷον ὁ ἐμὸς παῖς σὺ ἢ ἐκεῖνος φιλεῖ. αἱ δὲ τοῦ τρίτου, δίχα τοῦ ἑτέρου τὸ κεκινημένον δηλοῦντος αὐτὸν συνταχθῆναι πρὸς ἕτερον πρόσωπον οὐκ ἐθέλουσι. σολοικισμὸς γὰρ τὸ φάναι ὁ σφέτερος παῖς φιλεῖ ἐμέ. καὶ οὖν ὁ σφέτερος αὐτῶν παῖς ῥητέον, ἢ ὁ παῖς αὐτῶν ἀντὶ τοῦ κτητικοῦ.

Ἀντιμετάβασις.

Κατὰ μέντοι γε ἀντιμετάβασιν οὐκ ἔχει συντάξεως τὸ σφέτερον μόνον. ὡς καὶ τὰ τοῦ πρώτου καὶ δευτέρου προσώπου. καλῶ δὲ ἀντιμετάβασιν, ἵνα ἑκατέρωθεν ἐπὶ θάτερα μετάβασις θεωρεῖται ῥήματος. οἷον δέονταί σου τοῖς σφετέροις ἐπικουρῆσαι. καὶ τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν. Ἔτι αἱ κτητικαὶ ὡς ἁπλῶς εἰπεῖν πρὸς τὰ ἔχοντα οὐ πρὸς τὰ ἐχόμενα. οἷον τὸ φῶς τῶν ἐμῶν ὀφθαλμῶν. ἐνίοτε μέντοι καὶ πρὸς τὰ ἐχόμενα. τὸ ἐμὸν φῶς τῶν ὀφθαλμῶν. ὅμοιον δὲ καὶ τό, ἔγνως ἐννοσίγαιε ἐμὴν ἐνὶ στήθεσι βουλήν.

Διαφορά.

Διαφέρει δὲ τὰ περὶ τὴν σύνταξιν ἡ παράγωγος ἀντωνυμία τῆς πρωτοτύπου ᾗ δὴ ἡ μὲν πρωτότυπος συντάσσεται ῥήματι καὶ ὀνόματι καὶ μετοχῇ. παῖδα δέ μοι λύσαιτε φίλην. καὶ μὲν μευ βουλέων ξύνιον καὶ ἀέκοντος ἐμοῖο. καὶ τοῦτο προσωπικῶς τε καὶ ἑτεροπροσωπικῶς. ἐκεῖνος τῆς ἀρχῆς λαβόμενος παρ' οὐδὲν ἦγε τοὺς ἄλλους. ὁ δὲ μεγίστης περὶ αὐτὸν συνειλεγμένης δυνάμεως,

ον ἐμέ. Πρωτότυποι.

Τῶν μὲν οὖν πρωτοτύπων αἱ εὐθεῖαι πρὸς ἀντιδιαστολὴν ἀεὶ ἑτέρων λαμβάνονται. ἡμεῖς εἴπομεν καὶ οὐχ ἕτεροι. ἐγὼ γέγραφα καὶ οὐχ ἕτερός τις. αἱ δὲ πλάγιαι, ἢν μὲν ὀρθοτονῶνται, καὶ αὗται δὴ πρόσωπα διαστέλλουσι. ἐμοῦ ἤκουσας καὶ οὐκ ἄλλου. ἢν δὲ τὸ ἀρκτικὸν ἀποβάλλωσι φωνῆεν, ἀπολύτως λέγονται ἐγκλινόμεναι ἤκουσάς μου. καὶ ἔδωκάς μοι καὶ εὔφρανάς με. πάντη δὲ αὗται τε καὶ αἱ καλούμεναι δεικτικαὶ καὶ ἀναφορικαὶ, οὐκ ἐπιδέχονται ἄρθρον. Παράγωγοι.

Τῶν γε μὴν παραγώγων, τὰ ἄρθρα προτίθεται. ὥσπερ καὶ τῶν ἐπιθέτων δὴ καὶ τῶν ὀνομάτων. τοῦτον γάρ πως ἐκείνοις δύναται. ὅλως τε σύνταξιν ἔχουσιν, ἣν τὰ ἐπίθετα καὶ αἱ μετοχαί. πρός τὰ κύριά τε καὶ προσηγορικά. ὁμοιογενῶς δὲ καὶ ὁμοιοπτώτως καὶ ὁμοαρίθμως τοῖς κυρίοις τε καὶ προσηγορικοῖς συντάσσονται. ὁ ἐμὸς οἶκος. ἡ ἐμὴ οἰκία. τὸ ἐμὸν οἴκημα, ὁ ἡμέτερος πατήρ. ἡ ἡμετέρα μήτηρ. τὸ ἡμέτερον τέκνον. Ἀνάγκη δὲ τοῖς κτητικοῖς. τοῖς δὲ ῥήματι πρώτου ἢ δευτέρου προσώπου συνταττομένοις τὰς πρωτοτύπους συντάττειν, καθάπερ καὶ τοῖς ὀνόμασιν. οἷον σὺ ὁ ἐμὸς παῖς μανθάνεις. ἐγὼ δὲ ὁ σὸς γε πατὴρ διδάσκω. ὥσπερ σὺ μὲν ὁ Πλάτων διδάσκῃ. ἐγὼ δὲ ὁ Σωκράτης διδάσκω. Ἐπεὶ αἱ μὲν τοῦ πρώτου καὶ δευτέρου προσώπου κτητικαὶ, τοῖς ἔξωθεν εὐθεῖαι προ

Συνθήκη.

Βελτίων δὲ πολλάκις σύνθηκη λόγου ἀποτελεῖται, τῶν ἄρθρων τοῖς ἰδίοις πτωτικοῖς μὴ συναπτομένων. ἀλλά τινος μεσοσυλλαβοῦντος ἑτέρου. οἷον, οἱ τὴν φροντίδα ἔχοντες. ἔνθα δὴ καὶ συμβαίνει ἐπάλληλά τε κεῖσθαι τὰ ἄρθρα καὶ μὴν τὴν αὐτὴν σύνταξιν ἔχειν τοῖς ἰδίοις πτωτικοῖς, ἀλλ᾽ ἀντίστροφον. τὸ γὰρ πρῶτον τῶν ἄρθρων ἀεὶ τοῦ δευτέρου τῶν πτωτικῶν γίνεται. λέγω δὲ περὶ δυοῖν ἀεὶ πλεοναζόντων. ὥστε καὶ τρία ἐπάλληλα ἦ, ταὐτὸ αὖ τῷ δευτέρῳ πρὸς τὸ πρῶτον συμβαίνειν ὡς τό γε πρῶτον καὶ δεύτερον ὁμοιοτακτεῖσθαι τοῖς ἰδίοις αὐτῶν πτωτικοῖς. οὐδὲν ἂν κωλύοι. οἷον οἱ τὴν τῶν ἀπαίτων ἀνειληφότες φροντίδα. ἀλλὰ τὰ μὲν τοιαῦτα ἑτέρας ἐστὶν θεωρίας.

Περὶ ἀντωνυμίας.

Ἀντωνυμία δὲ κατὰ τοὔνομα λέξις ἐστὶ λαμβανομένη ἀντὶ ὀνόματος. τῶν γὰρ ὀνομάτων πρώτου καὶ δευτέρου ἀμοιρούντων προσώπου, ἥδε πρόσεισι δυναμένη παντὶ προσώπου παρέχειν τοῖς ῥήμασιν εἰς λόγου τελείωσιν. ἐγὼ γράφω. σὺ γράφεις. ἐκεῖνος γράφει.

Διαίρεσις.

Διαιρεῖται δὲ εἰς πρωτότυπον καὶ δεικτικὴν καὶ ἐπιταγματικὴν, καὶ ὅσα ἄλλα διώρισται πρότερον. ἔστι δὲ καὶ ἡ μὲν, ἐντελής. ταῦτα ἐμοί. ἡ δὲ, ἐγκλιτική. ταῦτά μοι. καὶ αἱ μὲν αὐτοπαθεῖς ἔτι τοῦν ἰδιοπαθεῖς. ἐμαυτόν. αἱ δὲ, ἑτεροπαθεῖς. οἷ

τῆς, ὃς πολλὰ πεποίηκεν ἀγαθά. ὁ πολλὰ πεποιηκὼς ἀγαθά. Καὶ μὴν ἢ δεῖ τὸ ὑποτακτικὸν πρὸς τὸ ἐπαγόμενον ῥῆμα, μεταληπτέον τὸ σύστοιχον. ἢ συνώνυμόν τι ἢ ὅμοιον ὧδε. Σωκράτης οὗ λόγος ἐπὶ ἀρετῇ πολύς. τοῦ μάλιστα δι' ἀρετὴν ἐπαινουμένου τοῦ πολὺν ἐπ' ἀρετῇ λόγον ἔχοντος. Σωκράτης ᾧ πλάτων διδασκάλῳ ἐχρήσατο. τῷ διδάξαντι πλάτωνα. ἢ καθηγησαμένῳ πλάτωνος.

Ἐλλειπτικῶς.

Πολλάκις δὲ τὰ ὑποτακτικὰ, καὶ συνελλείψει ἑτέρων πτωτικῶν κεῖται. ἢ κεῖνος ὃς ἐμοὶ φίλος. φείδομαι ὧν φείδεσθαι ἄξιον κοινὸν δὲ τὸ τοιοῦτο πάντων τῶν ἀναφορικῶν. Ἐλλειπέστερον δ' ἔτι καὶ τὰ προτακτικὰ ἀλλὰ πρὸς γενικήν. καὶ ἀφηγουμένην τὴν σύνθεσιν συνεπιφέρονται νοουμένην. οἷον λόγος μὲν οὗτοσὶ πρῶτος. δεύτερος δὲ ὁ τῶν φιλοσόφων. Ἀποδίδοται δὲ καὶ τῷ τίς ἐρωτηματικῷ τὸ ὃς ὑποτακτικὸν μετὰ ῥήματος τοῦ αὐτοῦ τῷ προηγουμένῳ. ἢ καὶ ἑτέρῳ τῳ. οἷον τίς ἐποίησε τὴν ὀδυσσείαν; ὃς καὶ τὴν ἰλιάδα ἐποίησε. καὶ ἄνευ ῥήματος ἔξωθεν ἀπὸ κοινοῦ, τίς ἐποίησε τὴν ὀδυσσείαν; ὃς καὶ τὴν ἰλιάδα. ὅταν δὲ μεθ' ἑτέρου μοναχῶς. τίς κέρβερον ἐξ ἅδου ἀνήγαγεν; ὃς καὶ τὸν ἐν Νεμέᾳ λέοντα ἀνεῖλεν. καὶ σὺν προτακτικῷ δὲ ἄρθρῳ καὶ μετοχῇ γίνοιτ' ἂν ἡ ἀπόδοσις ὁμοίως. τίς ἐποίησε τὴν ὀδυσσείαν. ὁ καὶ τὴν ἰλιάδα ποιήσας. τίς ἀνήγαγε κέρβερον. ὁ καὶ τὸν λέοντα ἀνελών.

μετὰ ὑποτακτικὸν εὐθὺς μετοχὴν ἐπαγόμενον ὁμοιογενῆ καὶ ὁμοιόπτωτον καὶ ὁμοάριθμον. ἢ παραγιοσύντακτον κατὰ γενικὴν ἀεί. καὶ ἤτοι μόνην ἢ σὺν ὀνόματι, ἢ ἐπιρρήματι. οἷον αἱροῦμαι ἀρετὴν τὴν παροῦσαν οὐδεὶς ἄν με ἀφέλοιτο. Ἐπαινῶ τὸν πρὸ τοῦ Σωκράτους οὗ καθηγησαμένου ἢ σπουδαίου γεγονότος πλεῖστον ὤναντο τὰ εἰς ἀρετήν.

Καὶ σὺν ἐπιρρήματι. οὗ ἄριστα τὸν βίον διάγοντος.

Μετοχὴν δὲ ἑτεροπροσωπικῶς ὡς καὶ τοῖς κυρίοις καὶ προσηγορικοῖς ἐπαγόμενον τόδε. ἐπαινῶ Σωκράτην ὃν ἀρετῆς ἐν ἑαυτῷ οὔσης τελείας πολλοὶ μιμησάμενοι ἐπέδωσαν πρὸς τὰ καλά.

Ἔτι τὸ ὑποτακτικὸν πολλάκις, οὐ πρὸς τὴν πτῶσιν ἀπαιτεῖ τὸ ἐπαγόμενον ῥῆμα ἀποδίδοται ἀλλὰ πρὸς τὴν τὸ ἡγούμενον. ἀττικὸν δὲ τὸ τοιοῦτο. χρώμενοι οἷς ἔχω βυβλίοις. καὶ ἀπολαύω ὧν ἔχω ἀγαθῶν. Ἔτι τὸ ὑποτακτικὸν ἔστι μὲν οὗ πρὸς τὸ πληθυντικὸν ἑνικὸν ἀποδιδόμενον εὕρηται οἷον ἀνθρώποις τίνυνται, ὅς τις κεν ἐπίορκον ὀμόσσῃ. ἔστιν δ' οὗ τὸ ἀνάπαλιν. μή τις ἀχαιῶν ἔνθα δ' ἐπέλθῃ βουληφόρος οἵ τε μιν αἰεὶ βουλὰς βουλεύουσι.

Προσκείσθω δὲ καὶ λαμβάνειν ἔνθα ἂν οἷον τε ᾖ ἀντὶ ὑποτακτικοῦ τὸ προτακτικόν. καὶ ἀντὶ τοῦ ἑπομένου ῥήματος μετοχὴν, τὴν αὐτὴν τοῦ λόγου φυλάττοντας ἔννοιαν. Εἶναί γε μὴν ὁμοιόπτωτα καὶ ὁμογενῆ καὶ ὁμοάριθμα τὰ μεταληφθέντα ἀλλήλοις τε καὶ τοῖς ἡγουμένοις πτωτικοῖς δεῖ. Σωκρά-

Ἔτι πρὸς, ὀνόματος αἰτιατικῇ ἐπιπλεκομένου ἀνάγκη μὴ πρὸς τὸ ἡγούμενον ὄνομα μόνον, ἀλλὰ καὶ πρὸς τὸ συνημμένον αὐτῷ, ἕτερον ῥῆμα προσφέρεσθαι. ἄνδρα μοι ἔννεπε μοῦσα. ὃς μάλα πολλὰ πλάγχθη. μετάβασις δὲ τοῦτο ἀπὸ προσώπου εἰς πρόσωπον. Εἰ δ' εὐθεῖα συντάττοιτο εὐθείᾳ, πρὸς τὸ αὐτὸ πρόσωπον ἄμφω τὰ ῥήματα ἀναφέρεται. ἦκεν ἀνὴρ ὃς ἐπέστελλεν.

Εἰ δὲ δύο πλάγιαι εἶεν, ἤτοι πρὸς ἕτερον πρόσωπον μετάβασις γίνοιτ' ἄν. οἷον τὸν ἄνθρωπον ὃν ἐλεῶ τρέφω. ἢ κατ' ἐπιστροφήν. ἐμαυτὸν ὃν φιλῶ θεραπεύω. Εἰ δ' ἡ μὲν τῶν πτώσεων εἴη εὐθεῖα. ἡ δὲ πλαγία, ἐνίοτε μὲν καὶ πρὸς τὴν εὐθεῖαν ἡ μετάβασις τοῦ ῥήματος γίνεται ἀπὸ προσώπου εἰς πρόσωπον. ἐπαινεῖ τοὺς δαναοὺς ὅμηρος ὃν τιμῶ καὶ πάλιν τέθνηκε πάτροκλος ὃν ἐφίλει ὁ ἀχιλλεύς. ὡς ἐπὶ τὸ πλεῖστον δὲ πρὸς πλαγίαν. τιμῶ ὅμηρον ὃς τοὺς δαναοὺς ἐπαινεῖ. Καὶ αἱ πλάγιαι δὲ τοῦ ὃς πρὸς τὰς εὐθείας ἁπάντων τῶν πτωτικῶν ἀναφέρονται. Ὅμηρος, οὗ. ᾧ. ὅν.

Καὶ ἀνάπαλιν. τῇ ὃς εὐθείᾳ πᾶσαι αἱ τῶν ἄλλων πτώσεις καταλλήλως συντάσσονται. Ὅμηρος ὃς τὴν ἰλιάδα συνέγραψε. Ὁμήρου ὅς. Ὁμήρῳ ὅς. Ὅμηρον ὅς. Ὅμηρε ὅς. Καὶ ἔτι αἱ τοῦ ὃς πλάγιαι ταῖς τῶν πτωτικῶν πλαγίαις ἁπάσαις. ὁμήρου οὗ. ᾧ. ὅν. καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. καὶ ἅμα ταῖς προθέσεσιν. ἀφ' οὗ. σὺν ᾧ. περὶ ὅν. Ἔτι δ' ὅτι καὶ

τοὶ δὲ ἔπλησαν δύο. ὁ μὲν, ἀπ' ἀνατολῶν. ὁ δὲ, ἀπὸ δυσμῶν. Εἰ δὲ πρὸς τὰ μεριζόμενα ἑνικὸν ἔπεται, γενικὴν δέοι ἂν ἡ γεῖσθαι τὴν εὐθυντικήν. δυοῖν ἀετῶν ὁ μὲν ἀπ' ἀνατολῶν ἔπλη. ὁ δὲ, ἀπὸ δυσμῶν.

Ε ξεστι γε μὴν καὶ τὸ ἑνικὸν ὅτε μὲν εἰς ἑνικὰ διελεῖν. ὅτε δὲ εἰς εὐθυντικά. τἀνθρώπειον γένος τῇ μὲν, ἀγαθόν. τῇ δὲ, φαῦλον. τἀνθρωπείου γένους, οἱ μὲν ἀγαθοί. οἱ δὲ, φαῦλοι. Καὶ αὖ πάλιν τὸ πληθυντικὸν ὅτε μὲν, εἰς πληθυντικά. ὅτε δὲ εἰς ἑνικά. τῶν ἀνθρώπων οἱ μὲν, ἀγαθοί. οἱ δὲ, φαῦλοι. δυοῖν ὀρνίθων, ὁ μὲν, πτητικός. ὁ δὲ, οὔ. Εἰ μὲν οὖν εὐθεῖα ἡγεῖται, κείσθω ἐν τῇ ἀθροίσει τὸ ῥῆμα. εἰ δὲ γενική, ἐν τοῖς μεριζομένοις ὡς δέδεικται.

Β ουλομένοις δὲ καὶ τὴν ἄθροισιν καὶ μερισμὸν πλαγίως προσενεγκεῖν, ἀνάγκη δὴ καὶ μετοχῇ χρῆσθαι πλαγίᾳ ἐν μοίρᾳ λαμβανομένῃ ῥήματος. καὶ μετάβασιν ἑτεροπροσωπικῶς ποιεῖσθαι. ἀετῶν διαπλεόντων τοῦ μὲν, ἀπ' ἀνατολῶν, τοῦ δὲ, ἀπὸ δυσμῶν, ἶσον τὸ τάχος. καὶ πρὸς δοτικήν. ἀετοῖς διαπλέουσι, τῷ μὲν, τῷ δέ. καὶ πρὸς αἰτιατικήν. ἀετοὺς διαπλέοντας. τὸν μὲν, τὸν δέ.

Τ ὸ δ' ὁμήρου ἄμφω δ' ἑζομένω γεραρώτερος ἦεν ὀδυσσεύς, σολοικοφανές. Ἴδιον δὲ τοῦ προτακτικοῦ οὐδετέρου τὸ πᾶσι τοῖς τοῦ λόγου μέρεσι καὶ τῷ λόγῳ αὐτῷ συντάττεσθαι ὁρικῶς. οἷον τὸ, ἄνθρωπος τὸ γυνή. τὸ λέγω. τὸ Σωκράτης διαλέγεται ὥσθ' οὕτω κἂν εἴη ἀεὶ ὡς οὐδέτερα ταῦτα κἀκεῖνα

ται ἁπλῶς οὕτω λαμβάνηται, τῷ τις συντάσσε-
ται μόνον ἢ τῶν εἰρημένων τῳ, ὅταν δὲ αὐτόν τις ἀ-
γνοοῦντα δηλῶσαι βούληται, καὶ τὸ ποτὲ συμπλέ-
κει τῷ τις ἐγκλινόμενον. οἷον ὅς τίς ποτε ἦν ἐκεῖ-
νος. προσκείσθω δὲ τούτοις καὶ τὸ ἄττα, ὡς μὲν Α
τὸ ἅτινα προτασσόμενον ἅττ' ἂν εἴπῃς. ὡς δὲ τὸ τι-
νὰ ὑποτασσόμενον. ὁποῖ' ἄττ' ἂν ᾖ. Ἔτι τὰ μὲν προ-
τακτικὰ, ὀνομάτων καὶ μετοχῶν καθόλου προ-
τίθεται. ἀντωνυμιῶν δὲ, οὐ πασῶν. τὰ δὲ ὑποτακτι-
κὰ καθόλου ὀνόμασί τε καὶ μετοχαῖς καὶ ἀντω-
νυμίαις τυγχάνει ἑπόμενα. ἀκολουθητικὸν ἄρα
τὸ ὑποτακτικὸν πάντων τῶν πτωτικῶν. προηγητι-
κὸν δὲ τῶν ῥημάτων. οἷον λέγει τις σώφρων ὃς τῶν
φαύλων κρατεῖ ἐπιθυμιῶν. ὅθεν δὴ καὶ οὐ κυρίως Β
εἰπεῖν ἄρθρον ταυτί. ῥημάτων γὰρ προηγεῖται τῶν
μὴ πεφυκότων ἄρθροις συντάττεσθαι. Χρῆσις δὲ
τοῦ προτακτικοῦ καὶ ἐπὶ τῶν συμμεριζομένων πτωτι-
κῶν τοῖς μεριστικοῖς καλουμένοις συνδέσμοις τῷ
μὲν καὶ δέ. τριχῶς δή. ἢ γὰρ κατ' εὐθεῖαν. οἷον ἄν-
θρωποι. οἱ μὲν ἤδη εἰσέτρεχον. οἱ δὲ, παρεσκευά-
ζοντο. ἢ κατὰ γενικήν. τῶν ἀνθρώπων οἱ μὲν ἕλλη-
νες. οἱ δὲ βάρβαροι. ἢ κατὰ αἰτιατικήν. τοὺς στρα- Γ
τηγοὺς τοὺς μὲν ἔλαβον. τοὺς δὲ λαβεῖν οὐδαμῶς
ἠδυνήθησαν.

Πρόληψις.

Ἔνθα δὴ καὶ εἰ μὲν κατὰ πρόληψιν πληθυντικὸν ῥῆ-
μα προτάσσεται πρὸς ἑκάτερον τὸ ἑπόμενον. εὐ-
θειῶν δεῖ προηγεῖσθαι ἐν τῇ ἀθροίσει. οἷον ἄν-

ὴν δι' ἀρσενικὰ καὶ θηλυκὰ ὁμοῦ προταχθῇ κατὰ μίαν σχηματισμὸν φωνῆς, ἀλλὰ μὴ κατὰ σημασίαν, τὴν οὐδετέραν ἀποδώσομεν μετοχήν. οἷον δὴ καὶ τὸ, νοῦς μὲν ἤδη καὶ αἴσθησις ἀπ' ἀλλήλων διακριθέντα. Επεὶ αἱ διάφορα προτάσσηται γένη χωρὶς, ἡ μετοχὴ τοῦ ἐγγυτέρου ἔσται, οὐδὲ κάρης λασιοστόος, οὐδὲ καθήγη τὸν ἰδοῦσα ὀνόσσαιτο. συντάσσονται δὲ καὶ τοῖς ὑπαρκτικοῖς ῥήμασι μηδὲν πλέον δηλοῦσαι τῶν συστοίχων ῥημάτων. οἷον γράφων εἰμὶ καὶ γεγραφώς. ἴσον γὰρ τῷ γράφω. καὶ γέγραφα.

Περὶ ἄρθρου.

Τὸ δὲ ἄρθρον, ἔστι μὲν λόγου πτωτικὸν μέρος προτασσόμενον τοῖς ὀνόμασι. διαιρεῖται δὲ εἰς προτακτικόν τε καὶ ὑποτακτικὸν ὡς διώρισται πρότερον. κυρίως γε μὴν ἄρθρον τὸ προτακτικόν. ποιεῖ δ' ἀναπόλησιν προεγνωσμένου τοῦ ἐν τῇ συντάξει. οἷον εἰ μὲν λέγοιτις. ἄνθρωπος ἧκε. ἄδηλον τίνα ἄνθρωπον λέγει. εἰ δὲ ὁ ἄνθρωπος, δῆλον. προεγνωσμένον γάρ τινα τῶν ἀνθρώπων. τοῦτο δὲ αὐτὸ βούλονται καὶ οἱ φάσκοντες τὸ ἄρθρον σημαντικὸν πρώτης γνώσεως καὶ δευτέρας. Τὰ μὲν οὖν προτακτικὰ πάντων τῶν ὀνομάτων προτίθεται. τὰ δὲ ὑποτακτικὰ ἑνὸς ἀορίστου τοῦ τις. ἐγκλινομένου, ὅστις. προτίθεται δὲ ταυτὸ ὁμοίως καὶ συνδέσμου τοῦ περ. ὅσπερ. καὶ τοῦ γε, ὅς γε. καὶ τοῦ που, ὅσπου. ποιηταὶ δὲ καὶ ὅς ῥα. καὶ ὅς νυ λέγουσιν. ἀλλ' οὐ

μετοχὴ τὴν τοῦ ῥήματος, ποιήσεται ἀκολούθησιν. ὁρῶ σε κρύπτοντα. ἐμοὶ βουλομένῳ ἦν. τοῦ μὲν ἀπέχοντο ὡς προειδότος.

Ἀπροσώπως.

Ταῖς δὲ τῶν ἀπροσώπων μετοχαῖς ἴδιον μάλιστα τὸ τὴν εὐθεῖαν τῶν οὐδετέρων, πρὸς ἀναπλήρωσιν γίγνεσθαι τοῦ δευτέρου τρόπου. οἷον ἄδηλον ὂν ὅτι τις ἐπελθὼν, ἄλλος ἀφαιρήσεται. καὶ ἰδιώτης ἦν ὡς οὐ μετὸν ἢ προσῆκον αὐτῷ τῆς ἀρχῆς. καὶ ἔπρασσον ταῦτα, δέον ἕτερα. καὶ ἀκουσθὲν αὐτῷ τοὺς πολεμίους παρεῖναι, ἀντεπεξήει εἰς μάχην. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

Προσωπικῶς.

Αἱ δὲ τῶν προσωπικῶν καὶ εὐθυλογούμεναι, ἀδιαφόρως τοῖς τῶν ῥημάτων προσώποις συντάσσονται. γράφων ὠφελῶ. ὠφελεῖς. ὠφελεῖ. διὰ τὸ μὴ διακριτικὰς εἶναι προσώπων. καὶ ὀνόμασι μὲν συντασσόμεναι, ἐν ῥήματος μοίρᾳ λαμβάνονται, τοὺς λόγους ἐπαινῶν. ῥήμασι δὲ, ἐν μοίρᾳ ὀνόματος. τοὺς λέγοντας ἐπαινῶ. καὶ ὁμοῦ ἀρσενικά τε καὶ θηλυκὰ προτάσσηται μετοχῆς, τὴν τοῦ ἐπικρατεστέρου γένους τουτέστι τοῦ ἀρσενικοῦ μετοχὴν ἐπάγειν. οἷον ἄνδρες καὶ γυναῖκες καθήμενοι διαλέγονται. δῆλον οὖν ὅτι καὶ θηλυκῶν προτασσομένων σὺν οὐδετέροις, τὴν τοῦ θηλυκοῦ ἐποίσομεν ἅτε προτέρου. οἷον τὸ Ὁμήρου. αἳ δέ που ἡμέτεραί τ' ἄλοχοι καὶ νήπια τέκνα εἵατ' ἐνὶ μεγάροις ποτιδέγμεναι,

τοῦ ἔγραψα καὶ ὠφέλησα. καίτοι σημαινούσης ὄντως τῆς αὐτῆς. εἰ δὲ καὶ ἑτέρας, δεόντως. καὶ δὴ τὸ ῥῆμα εἰς τὸ πτωτικὸν μετηνέχθη σχῆμα. ἡ γὰρ τῆς μετοχῆς πρὸς τὸ ῥῆμα σύνταξις, δήλωμα ἂν εἴη αἰτίας. ὡς τ' ἴσον γίνεσθαι τὸ γράψας ὠφέλησα, τῷ ἐκ τοῦ γράψαι ὠφέλησα.

Πλαγίως.

Πολλὴ δὲ χρῆσις καὶ τοῦ πλαγίου τῶν μετοχῶν. οἷον ἐμοῦ διδάσκοντος ἧκε Σωκράτης. καὶ ἐμοῦ διδάσκοντος σὺ μανθάνεις. τό τε πλάγιον τῆς συντάξεως τοῦτο ὡς ἐκεῖνο τὸ ὀρθὸν, ἤτοι αἰτιωδῶς. ἢ κατὰ συμβεβηκός. Δύο μὲν τοίνυν τρόποι τῆς πρὸς τὸ ῥῆμα μετοχῆς συντάξεως οἱ εἰρημένοι. ὁ μὲν κατ' ἀκολούθησιν ἀπ' εὐθείας εἰς ῥῆμα ὁμοιοπροσώπου τῇ εὐθείᾳ. ἢ γάρ τοι. παραλλαγὴ τοῦ προσώπου ἐνταῦθα σολοικισμός, ὡς εἴρηται πρότερον Σωκράτης περιπατῶν διαλέγεται. καλείσθω δὲ ὁ τοιοῦτος ταυτοπροσωπικός.

Ὁ δὲ, ἀπὸ γενικῆς ἀδιαφόρως ἑτεροπροσωποῦντος τοῦ ῥήματος, Σωκράτους διαλεγομένου, Δίων ἢ σὺ γράφεις. προσαγορευέσθω δὲ ἑτεροπροσωπικὸς ἀμετάβατος. Τρίτος δὲ ὁ ἀπὸ δοτικῆς κατὰ διάφορον καὶ οὗτος ἐπαγωγὴν τοῦ ῥήματος. διαλεγομένῳ Σωκράτης παρῆν. Τέταρτος δ' ὁ ἀπὸ αἰτιατικῆς ἀδιαφόρως καὶ οὗτος. διαλεγόμενον ὁρᾷς καὶ ἑώρα. Καθόλου δὲ ὁμοιογενῶς καὶ ὁμοιοπτώτως τοῖς ἐκ προσώπου πτωτικοῖς συντασσομένη ἡ

τοὔνομα συντάξεως ἔχεται. τῇ δὲ, τῆς ἀμφὶ τὸ ῥῆμα. ὥς τε καὶ ὡς ἔχει συντάξεως τὰ ῥήματα, τά πρὸς ἄλληλά τε καὶ πρὸς τὰ ὀνόματα, οὕτω καὶ αἱ μετοχαὶ πρὸς ἀλλήλας τε καὶ πρὸς τὰ ῥήματα καὶ ὀνόματα. ὡς γὰρ φαμὲν γράφειν ἐθέλω. καὶ τοῦ λέγειν ἐφίεμαι, οὕτω καὶ γράφειν ἐθέλων. καὶ τοῦ λέγειν ἐφιέμενος. καὶ βέλτιον γε ἐστὶ μέλλοντος τὸ μετοχικόν. ἥκω ἐρῶν πέμπω σε ἀγγελοῦντα. Ἔτι ὡς δίδωμι Σωκράτει οὕτω καὶ ὁ διδοὺς Σωκράτει. Ἔτι ὡς φιλῶ τὸν σωτῆρα, οὕτω φιλῶν τὸν σώζοντα. καὶ ὡς θεῶμαι τοὺς γυμναστάς, οὕτω καὶ θεῶμαι τοὺς γυμναζομένους. τὸ δὲ τόξων ἐστὶ εἰδὼς, τὸ ποιητικὸν κατὰ αἰτιμέρειαν. ὥσπερ εἰ ἐλέγετο τόξων εἰδήμων.

Φέρονται δὲ αἱ μετοχαὶ ἐπὶ τὰς αὐτὰς πτώσεις τῷ ῥήματι, καὶ τοι τῶν ἄλλων πτωτικῶν, λέγω δὴ τῶν ἀπὸ ῥήματος γινομένων, οὐκ εἰς τὸ αὐτὸ τῆς συντάξεως φερομένων. κόπτω τοῦτον. κοπεὺς τούτου. ὅθεν καὶ δῆλον ὅτι πάντα τὰ πτωτικὰ ἐπὶ γενικὴν, πλὴν τῶν μετοχῶν. Ἔτι ὡς ἀπολελυμένως φαμὲν ἀναπνέω, καὶ ζῶ καὶ γράφω, καὶ χαίρω, οὕτω καὶ ἀναπνέων ζῶ. καὶ γράφων χαίρω.

Διὰ τί εὕρηται ἡ μετοχή.

Ὅθεν καὶ δῆλον, ὅτι πολύ τι εἰς βραχυλογίαν καὶ ἑλληνισμὸν λόγου συμβάλλονται αἱ μετοχαί. πολὺ γάρ τοι διαφέρει εἰς εὐφραδίαν τὸ γράφων ἔλεγον, τοῦ ἔγραφον καὶ ἔλεγον. καὶ τὸ γράψας ὠφέλησα.

Πρόσωπα.

Τῶν δὲ παρεπομένων τῷ ῥήματι τὰ πρόσωπα τρία ὄντα. πρῶτον, ᾧ περὶ ἑαυτοῦ φράζει ὁ λέγων. δεύτερον, ᾧ περὶ τοῦ πρὸς ὃν ὁ λόγος. τρίτον, ᾧ περὶ ἑτέρου. οὐκ ἰσοδύναμα ἀλλήλοις ἐστὶν, ἀλλὰ πολὺ τὸ τρίτον λείπεται τοῦ πρώτου τε καὶ δευτέρου. τὸ δὲ δεύτερον ἔτι τοῦ πρώτου. καὶ οὖν πρώτου. καὶ δευτέρου λαμβανομένου δίχα τοῦ τρίτου, λόγος ἂν γίνοιτο. οἷον τὸ, τοι γὰρ ἐγὼν ἐρέω σὺ δὲ σύνθεο καί μοι ὄμοσσον. τρίτου δ' οὐκ ἂν λέγοιτο, μὴ καὶ πρώτου ἢ δευτέρου λεγομένου ἢ συνυπακουομένου.

Σύλληψις.

Ἔτι τὸ μὲν πρῶτον καὶ δεύτερον δυνατὸν συλλαμβάνειν. τὸ τρίτον εἰς πληθυντικὸν ἴδιον. τὸ δὲ τρίτον οὐδέτερον τούτων. καὶ γὰρ ἐγὼ μὲν κἀκεῖνος περιπατοῦμεν φαμέν. καὶ σὺ κἀκεῖνος περιπατεῖτε. οὐκ ἔτι δὲ καὶ ἐκεῖνος κἀγὼ περιπατοῦσιν. ἢ ἐκεῖνος καὶ σὺ περιπατοῦσιν. ὡς δὲ τὸ τρίτον πρὸς τὸ πρῶτον καὶ δεύτερον ἔχει, οὕτω καὶ τὸ δεύτερον πρὸς τὸ πρῶτον. τὸ μὲν γὰρ πρῶτον συλλαμβάνει τὸ δεύτερον. ἀνάπαλιν δ' οὔ. ἐγὼ οὖν καὶ σὺ περιπατοῦμεν φαμέν. περιπατεῖτε δ' οὔ.

Περὶ μετοχῆς.

Μετοχὴ δ' ὡς καὶ τοὔνομα δηλοῖ. μέρος ἐστὶ λόγου μετέχον τοῦ ὀνόματος, καὶ τοῦ ῥήματος, μετέχει δὲ τοῦ μὲν, γένος καὶ πτῶσιν. τοῦ δὲ, διάθεσιν καὶ χρόνον καὶ συζυγίαν. διὸ καὶ τῇ μὲν, τῆς ἀμφὶ

λειπτικὸν τὸ τοῦ. ἢ προθετικὸν, ὁμοῦ ἄρθρῳ. ὅπως ἂν ἡ χρεία ὑπαγορεύῃ παρακαλῶ σε ταῦτα ὡς τετυχεῖν. τοῦ τυχεῖν. ἐφ' ᾧ τυχεῖν τιμῆς τε καὶ δόξης.

Προαιρετικὰ καὶ ὑπηρετικά.

Μάλιστα δὲ αὐτοῖς τοῖς προαιρετικοῖς καὶ ὑπηρετικοῖς καλουμένοις τὸ ἀπαρέμφατον ἐπιφέρεται. βούλομαι ἢ θέλω γράψαι. προαιροῦμαι ἢ ἐφίεμαι φιλοσοφεῖν. ἐπιθυμῶ ἰατρεύειν ποθῶ ἰδεῖν προθυμοῦμαι βοηθεῖν. ἐπίσταμαι ἢ δύναμαι γράφειν. καὶ ἔτι γε τοῖς ἀπροσώποις. δεῖ γενέσθαι λέγεται ἀφικέσθαι πολλούς.

Ενεστὼς ἀόριστος.

Αποδώσομεν δὲ αὐτοῖς εἰπεῖν τῷ μὲν τελικῷ κατά τε ἀόριστον καὶ ἐνεστῶτα. πορεύομαι ἐντυχεῖν τ᾿ ἀνδρί. ἀντιβολῶ σε παραγενέσθαι, ἢ παραγίνεσθαι, εἰ τὸ ἅπαξ ἢ τὸ πολλάκις ἐν χρείᾳ.

Ενεστὼς. Αόριστος. Μέλλων.

Τῷ δὲ εἰδικῷ, κατά τε τὸ παρῳχηκὸς καὶ τὸ ἐνεστὼς, καὶ τὸ μέλλον. ἀλλ' οὐ πάντως. ἀλλ' ἀφηγηματικοῖς μὲν καὶ δοξαστικοῖς καὶ γνωστικοῖς ὁπουοῦν. φασὶν ἢ δοκῶ ἢ οἶδα τὸν ἄνδρα εἰρηκέναι. λέγειν. ἐρεῖν. ἐπαγγελτικοῖς δὲ καὶ παρωνύμως πρὸς τὸ μέλλον. τὸ μέλλον, ὑπισχνοῦμαι ἐρεῖν. ἐλπίζω ὄψεσθαι. μέλλω δρύσειν. κατάλληλός γε μὴν καὶ ὁ ἐνεστὼς τῷ μέλλοντι. μέλλω δρᾶν. ἀποδοθήσεται δὲ τοῖς ἀπροσώποις τὰ περὶ τὸν χρόνον ὁμοίως τοῖς τελικοῖς ὡς εἴρηται.

κλίσεως ἰδιώματος· οἷον εὔχομαι ἢ προστάττω
αὐτὸ δὲ τοῦ ἀπαρεμφάτου κυρίως οὐκ ἔστιν ἔγκλι-
σις. βουλήματος γὰρ οὐδενός ἐστι σημαντικόν. δια-
λύοιτο δ' ἂν καὶ ὧδε. ὑγιαίνει Δίων. φασὶ Δίωνα
ὑγιαίνειν. λέγουσι Δίωνα ὑβρίσαι Θέωνα. Μ

Γ αὐτὸ ἄρα καὶ ἡ τοῦ ἄρθρου προσθήκη κατάλληλος
τοῖς ἀπαρεμφάτοις. καλὸν γάρ φαμεν τὸ ἀρετῆς
ἀντιποιεῖσθαι. καὶ τοῦ φιλοσοφεῖν οὐδὲν ἴδιον. καὶ
τῶν ἀθέων τὸ ὡδὶ λέγειν. ἀντὶ ὀνόματος οὖν ἡ χρῆσις.

Ι ἴδιον δὲ τοῦ ἀπαρεμφάτου πρὸς τὰς ἄλλας ἐγ-
κλίσεις καὶ τό, τε αἰτιατικὴν περιέχειν. ἔπειθ' ὡς-
τε ῥῆμα τὴν τοῦ ῥήματος διάφορον ἕξει μετάβα-
σιν. οἷον συγγινώσκειν σε τῷ ἡμαρτηκότι, καὶ τὸ Λ
παντὶ προσώπῳ καὶ παντὶ ἀριθμῷ συντάττεσθαι.
διὰ τὸ ἀμοιρεῖν τοῦ τοιούτου καὶ τὸ ταῖς ἄλλαις ἐγκλί-
σεσι πάσαις, καὶ ἑαυτῷ δὴ συντάττεσθαι. ὁρῶ σε
μελετᾶν ἀναγινώσκειν. καὶ μετοχῇ μελετῶντα
ἀναγινώσκειν. καὶ ὀνόματι. καλὸς ἰδεῖν. ἀνδρεῖ- Τ
ος μάχεσθαι. καὶ τὸ τοῖς διωρισμένοις τρόποις περὶ
συντάξεως ἅπασιν οἷόν τε εἶναι προσκεῖσθαι.
διδάσκουσι διαλέγεσθαι. ἀπαιτῶ σε χρήματα δου-
λώσασθαι τοὺς ἐχθρούς. ἀκούω σου μαθεῖν τὰ περὶ
τὴν πόλιν. ἀπολύω σε τῶν δεσμῶν προθύεσθαι ὅπερ,
δοκεῖν. δίδωμί σοι ἀργύριον πρίασθαι ὧν ἂν δέῃ.
κοινωνῶ σοι τῶν ἀγαθῶν μὴ φθονερὸς εἶναι δο-
κεῖν. πολλαχῇ μέντοι τοῦ σαφεστέρου χάριν ὡς
εἴρηται, προσθετέον ἢ ἀποστατικὸν τὸ ὥστε ἢ ἐν-

μέλλοντα ἢ ἐνεστῶτα. οἷον ἐὰν φιλολογῶ, παρέσται Δίων. ἐὰν ἀναγινώσκω παραγίνεται Θέων.

Ὡσαύτως δὲ καὶ μετὰ τοῦ ἵνα. ἵνα φιλολογήσω παρέσται ἢ πάρεστι Δίων. ἐὰν γε μὴν σύνταξις παρῳχημένου ἐγγένηται, ὁ σύνδεσμος καλείσθω αἰτιολογικός. ἵνα φιλολογήσω παρεγένετο Δίων. τοῦ τοι δὲ καὶ ἀποτελεστικῶς ἔχει ἀκούεσθαι. ἐπὶ μὲν τοι τοῖς ἐσομένοις ἡ τοῦ αἰτιολογικοῦ σύνταξις οὐκ ἂν εἴη. ἐπεὶ γὰρ γεγόνασι τὰ αἴτια ἐπιλέγεται. δι' ὃ καὶ καταλληλότερον τὸ αἰτιολογικὸν ἐπιφερομένων τῶν παρῳχημένων. ἵνα διδάξῃ παρεγένετο Δίων· οὐ παραγενήσεται. ἐπὶ μέντοι τοῦ ἀποτελεστικοῦ παραγενήσεται. ὡς δὲ πρὸς τὸ μέλλον ἢ ἐνεστὸς τὸ ὑποτακτικόν, οὕτω τὸ εὐκτικὸν ἐπὶ παρεληλυθότος, οἷον, παρεγένετο ἵνα διδάσκοιμι, ἢ διδάξαιμι. βούλεται γὰρ καθόλου τι τὸ τοιοῦτο εἶναι· καὶ μὴ ἀεὶ οὕτω χρωμένους ὁρῶμεν τοὺς λέγοντας.

Ἀπαρέμφατος.

Τὸ δ' ἀπαρέμφατον, ὄνομά ἐστι ῥήματος. καὶ οἱ ἀπὸ τῆς στοᾶς δὲ τοῦτο μὲν ῥῆμα καλοῦσι. τὰ δ' ἄλλα πάντα κατηγορήματα ἢ συμβάματα. δι' ὃ καὶ ὡς ἐπὶ κοινὸν ὄνομα τὸ ἀπαρέμφατον πᾶσα ἀναλύεται ἔγκλισις, οἷον περιπατεῖ Θέων· ὁρίζομαι περιπατεῖν Θέωνα. ἐξ ἀποφάσεως δὲ εἰς ἀφήγησιν μεταβάλλει ὁ λόγος. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἐγκλίσεων προσκειμένου ἀεὶ τοῦ τῆς ἐγ-

τὰ ῥήματα εὐκτικόν, τοῦ περὶ τὰ ἐπιρρήματα. ὅτι τὰ μὲν ῥήματα, μετὰ τοῦ ἐνόντος πράγματος τὴν εὐκτικὴν σημαίνει διάθεσιν. τὸ γάρ τοι γράφοιμι, εὐχή ἐστι πράγματος τοῦ γράφειν. καὶ τὸ φιλολογοῖμι, τοῦ φιλολογεῖν. τὸ δὲ εἴθε σχεδόν τι ὄνομά ἐστιν εὐχῆς. οὐ γὰρ συμπαρίσταται καὶ τὸ ἐφ' οὗ τὰ τῆς εὐχῆς. ὥσπερ ἄρα καὶ τὸ εἷς διαφέρει τοῦ ἄνθρωπος. ὅτι τὸ μὲν εἷς ὄνομά ἐστι μοναχῶς ἀριθμοῦ. τὸ δὲ ἄνθρωπος πρὸς τῷ τῆς κοινῆς οὐσίας σημαινομένῳ παρυφιστάμενον ἔχει τὸ εἷς.

Ὡσαύτως δὲ καὶ τὸ ἐγὼ πρὸς τὸ γράφω ἔχει. καὶ τὸ ἄλλοθεν πρὸς τὸ ἰλιόθεν. καὶ τὸ τάχιστος δὲ τὴν ἐπίτασιν ὡς ἐν ὑποκειμένῳ σημαίνει. οὐκέτι δὲ καὶ τὸ ἄγαν. αὐτὸ γὰρ μοναχῶς ἐπιτάσεώς ἐστιν ὄνομα. Ὁμοίως δὲ καὶ τὸ γράψον, πρὸς τὸ ἄγε. τὸ δὲ αἴθ' ὄφελες ἀδάκρυτος καὶ ἀπήμων ἧσθαι, οὐκ ἐκ παραλλήλου. διάκρισιν γὰρ παρυφίστησι προσώπου τὸ ὄφελες ἥτις οὐκ ἔνεστι τῷ εἴθε.

Ὑποτακτική.

Τὴν δὲ ὑποτακτικὴν ἔνιοι καὶ διστακτικὴν καλοῦσιν, ὅτι οὐκ ἔστι χωρὶς συνδέσμου διστακτικοῦ τοῦ ἐάν. οὐ καθόλου δὲ τὸ τοιοῦτο. καὶ οἱ καλούμενοι γὰρ ἀποτελεστικοὶ σύνδεσμοι, ἐπὶ τὴν αὐτὴν σύνταξιν φέρονται. Σωκράτης περιπατεῖ ἵνα ὑγιαίνῃ. ὅτι μὲν οὖν οὐ συνίσταται εἰ μὴ ὑποταγῇ τοῖς προκειμένοις συνδέσμοις προσαγορεύεται ὑποτακτική. φέρεται δὲ ἡ τοιαύτη μετὰ τοῦ ἐὰν καὶ τῶν ἴσων ἐπὶ

τιθῶν μέτεισιν. ἆρα γράφεις.

Προστακτική.

Η δὲ προστακτική, εὔδηλον ἂν ἔχοι τὴν σύνταξιν τῶν δευτέρων προσώπων, καὶ ὁμόφωνα ᾖ τοῖς ὁριστικοῖς· ἥ τε γὰρ σύνταξις κλητική· τό, τε συντασσόμενον πρόσρημα τὸ ἄγε, ἀφίστησι τὴν ἀμφιλογίαν. τὰ δὲ πρωτοπρόσωπα ὄντα οὐ προστακτικά· ἀλλ' αὐθυποτακτικά οἱ πλεῖστοι καλοῦσιν. ἔοικε δὲ τὰ τῆς ἐγκλίσεως συγκεχύσθαι καὶ δύο ἐγκλίσεις εἰς μίαν συμπίπτειν. ὅτι γὰρ οὔτε προσκαλούμεθα ἑαυτοὺς οὔτε μὴν προστασσόμεθα ἑαυτοῖς, ὑποτιθέμεθα δὲ, ὑποθετικὰ ἂν τὰ τοιαῦτα. συλληπτικὰ δή. ἵνα γὰρ ἐκκλίνῃ τὴν ἐν δευτέρῳ πρόσταξιν, σύλληψιν δέχεται εἰς τὸ πρῶτον ὑποθετικὸν ὄν.

Τὸ μὲν οὖν ἐλλεῖπον τῶν προστακτικῶν πρῶτον, καὶ τὰ ἐλλείποντα τῶν ὑποθετικῶν δεύτερα καὶ τρίτα, εἰς ἕνωσιν ἄγει τὰς δύο ἐγκλίσεις. ἵνα ἑκάτερα ἀναπληροῦνται. τὸ δὲ τρίτον τῶν προστακτικῶν πρόσταξιν ἀπόντος προσώπου δηλοῖ, δευτέρου ἐξ ἀνάγκης παραλαμβανομένου εἰς μετάδοσιν τῆς προστάξεως. ἀσύστατος γάρ τοι ἡ πρόσταξις ἄνευ δευτέρου.

Εὐκτική.

Η δ' εὐκτικὴ ἀπὸ τῆς γινομένης εὐχῆς ὀνόμασται. καὶ ἐπιρρήματα ἔχει. εἴθε. αἴθε. ἃ τοῖς μὲν εὐκτικοῖς εἰς πλείονα ἐπίτασιν παρατίθεται. τοῖς δὲ ὁριστικοῖς δεόντως. εἴθε ἔγραψεν. ἵνα ἡ ὁριστική, εὐκτικὴν ἀναδέξηται σύνταξιν. διαφέρει δὲ τὸ πολὺ

Ἀνάλυσις δ' ἁπλῶς τῶν ῥημάτων εἴς τε τὸ σύστοιχον ὄνομα. ἢ τὴν μετοχὴν, καὶ εἰς τὸ ὁμοειδὲς ὑπαρκτικόν. καὶ ἢ κατ' εὐθεῖαν, ἢ κατὰ γενικήν. οἷον λύκιοι συνεμάχουν τοῖς τρωσίν. σύμμαχοι τοῖς τρωσὶν ἦσαν. τῶν συμμάχων ἦσαν. συμμαχοῦντες ἦσαν. τῶν συμμαχούντων ἦσαν. πληροῦμαι. πλήρης γίνομαι, τῶν πληρουμένων εἰμί. καὶ δὴ οὕτω τἄλλα.

Ἔγκλισις.

Τῶν δὲ παρεπομένων τῷ ῥήματι ἐγκλίσεων, λόγος μὲν· βούλημα εἴτ' οὖν πάθημα ψυχῆς διὰ φωνῆς σημαινόμενον.

Ὁριστική.

Καλεῖται δὲ ἡ ὁριστικὴ, καὶ ἀποφαντικὴ, ἰδίως μέντοι ὁριστική. ὅτι διὰ ταύτης ἀποφαινόμενοι ὁριζόμεθα. ὅθεν δὴ καὶ οἱ καλούμενοι διαβεβαιωτικοὶ σύνδεσμοι, καὶ προσέτι οἱ ἀπολογικοὶ τείνουσιν ἐπὶ ταύτην. γέγραφα. λέγω ὅτι γέγραφα. καὶ ὅτι περιπατῶ κινοῦμαι. ἔχει δὲ τὰ ὁριστικὰ σφίσι τὴν κατάφασιν ἐγκειμένην. διὸ καὶ τὸ ἀποφαντικὸν ἐπίρρημα κατάλληλον τοῖς τοιούτοις, ἵνα τὴν ἐνοῦσαν κατάφασιν ἀποστήσῃ. οὐ γράφω. οὐ μὴν δὲ, καὶ τοῖς προστακτικοῖς. ἢ εὐκτικοῖς, ἢ ὑποτακτικοῖς. τὸ μέντοι ἀπαγορευτικὸν μὴ τοῖς τοιούτοις οἰκεῖον. καὶ οὕτω λέγομεν. μὴ γίνωσκε. μὴ γνοίης. μὴ γνῶς. οὐ μὴν ἀλλ' οὐδὲ τοῖς ἀπαρεμφάτοις τὸ οὐ συντάσσεται. οὐθὲν γὰρ οὐδ' αὐτὰ καταφάσκει. ἀποβάλλουσά γε μὴν ἡ ὁριστικὴ τὴν ἐνοῦσαν κατάφασιν, οὐκ ἔτι ἂν καλοῖτο ὁριστική. εἰς γὰρ ἐπερω-

ὀσφραίνομαι. γεύομαι. ὀρέγομαι. ἐφίεμαι. περιέχομαι. ἀντιλαμβάνομαι. περιγίνομαι. κοινὸν δὲ ἡ τοῦ αἰτίου χρῆσις ἁπανταχοῦ. δι᾽ ὅ. ἐφ᾽ ὅ. ἵνα, καὶ ὅπως καὶ ἄλλως φράζειν ἢ πρὸς τὰ δόξαντα.

Ἀπρόσωπον.

Τῶν δ᾽ ἀπροσώπων ὀνομαζομένων διὰ τὸ μὴ παριστάναι πρόσωπον. τὰ μὲν καθ᾽ αὑτὰ κεῖται ἥκιστα πρὸς ἕτερον συντάττεσθαι πεφυκότα. οἷον τὰ παθητικά. λέγεται. θύεται. λείπεται. εἴρηται. εἰρήσθω. καὶ τὰ ὅμοια. πλὴν εἰ μὴ περιφραστικῶς. οἷον ἤκουσταί μοι, καὶ ἔγνωσταί μοι. καὶ ὡς τὰ παθητικά. ἤκουσται ὑπ᾽ ἐκείνων.

Κτητικόν.

Τὰ δὲ πρὸς ἕτερον ἢ κτητικῶς ἢ περιφραστικῶς. ἢ ἐπιβατικῶς. Τὸ μὲν οὖν κτητικὸν εἰς γενικὴν καὶ ἅμα δοτικὴν περιφραστικῶς. μέτεστι τούτου ἐμοί. διαφέρει. ἢ μέλλει, ἢ δεῖ, ἢ προσήκει τούτου ἐμοί.

Περιφραστικόν.

Τὸ δὲ περιφραστικὸν εἰς ἀπαρέμφατον καὶ δοτικὴν ὡς εἰκός, ἔξεστι. συμβαίνει. προσήκει. πρέπει. δοκεῖ τῇ βουλῇ καὶ τῷ δήμῳ πέμψαι πρέσβεις.

Ἐπιβατικόν.

Τὸ δ᾽ ἐπιβατικόν, εἰς ἀπαρέμφατον μοναχῶς. δεῖ φάναι. χρὴ λαβεῖν. ἐνδέχεται εἶναι. φιλεῖ γενέσθαι. δεῖ εἰπεῖν. κοινὸν δὴ οὖν κἀνταῦθα τὸ ἀπαρέμφατον. ἀλλ᾽ ἢ παρῳχημένου ἢ ἐνεστῶτος. μέλλοντος δὲ οὐδέποτε.

Ἀνάλυσις ῥήματος.

Τῶν δὲ μέσων εἴτ' οὖν κοινῶν, ἡ αὐτὴ σύνταξις καὶ αὐτῶν τοῖς ἐνεργητικοῖς καὶ παθητικοῖς. ἀμφοτέραις γὰρ ἐφαρμόζει ταῖς διαθέσεσι. θύομαι οὖν τῷ θεῷ, καὶ θύομαι ὑφ' ἑτέρου τῷ θεῷ. βιάζομαι τὸν ἐχθρὸν, καὶ βιάζομαι ὑπὸ τοῦ ἐχθροῦ. καὶ ὅλως κατὰ τὰ διωρισμένα εἴδη σχηματιστέον καὶ συντακτέον. ἐπαινέσομαι ἀρετὴν τὰ εἰκότα. καὶ ἐπαινέσομαι ὑπὸ τοῦ φίλου.

Ἐπίμεσον

Καὶ τοῦ ἐπιμέσου δὲ τὸ μὲν αὐτοενεργητικὸν, τὴν αὐτὴν τῷ ἐνεργητικῷ σύνταξιν ἔχει ὡς καὶ αὐτὸ σημαντικὸν ἐνεργείας ὄν. τὸ δὲ ὁλοπαθητικὸν, τὴν αὐτὴν τῷ παθητικῷ. ἐνεργητικῆς γὰρ ἀμοιροῦν δι' ἧς οὖν γε προφορᾶς, παθητικῶς σημαίνει τι παθητικόν. γίνομαι. οἴχομαι. κοιμῶμαι.

Τὸ περὶ ἐπιμέσου.

Σκοπεῖν δὲ καὶ περὶ τοῦ ἐπιμέσου τοῦδε, εἰς περιποιητικὸν ἢ αἰτιατικὸν καὶ ἐναντιωματικὸν, ταῦτα γὰρ δοτικῇ ὡς τὸ τρίτον. χρῶμαι. ἥδομαι. ἀσπάζομαι. μάχομαι. ἀγωνίζομαι. ἐναντιοῦμαι. ὀργίζομαι. ἀνθίσταμαι. Ἔτι ἐπικρατείας σημαντικὸν, αἰτιατικῇ γὰρ ὡς τὸ πρῶτον. κέκτημαι, ὠνοῦμαι μιμοῦμαι. Ἔτι ἀτελὲς, ἀπαιτεῖ γὰρ τὸ εἴς τι. ἔν τινι, ὡς ἐπὶ τῶν οὐδετέρων ἐλέχθη προσδόμαι ἀθήναζε. ᾠχόμην ὡς τὸν θεόν. κάθημαι, ἢ κεῖμαι ἐνταυθοῖ, Ἔτι κατ' αἴσθησιν ἀντιληπτικὸν, ἢ ἄλλως ἀντιληπτικὸν, καθ' ὑπεροχήν. ἢ ὀρεκτικὸν γενικῇ γὰρ ταῦτα ὡς τὸ δεύτερον ἅπτομαι

Αὐτοπαθητικόν.

Τὸ δ' αὐτοπαθητικὸν οὐδέτερον μέν τοι καὶ αὐτό, ὡς μὴ μετασχηματιζόμενον τῇ μὲν εἰς παθητικὴν σημασίαν. αὐτοπαθητικὸν δὲ κληθὲν ἀνὰ μέρος εἴληπται, ἢ πάθος ἀφ' ἑαυτοῦ τυγχάνει δηλοῦν, καὶ ἀντιδιαιρούμενον τῷ ὁλοενεργητικῷ καὶ τῷ αὐτοουδετέρῳ. οἷον τὰ, πάσχω. φθίνω. ἔρρω. ἀλγῶ. φρίττω, πυρέττω. ἐρυθριῶ. νοσῶ. ἀποθνήσκω καὶ τὰ ὅμοια. Σύνταξις δὲ τοῦ τοιούτου ἡ αὐτὴ τοῖς παθητικοῖς ὡς εἰκός. πάσχει ὑπὸ τοῦ ποιοῦντος. φθίνει ὑπὸ τοῦ φθείροντος. τὸ δ' ἔκ του. καὶ καθ' ὅ, καὶ δι' ὅ, καὶ ὅλως τὸ αἰτιολογικόν, κοινόν. καὶ ἔτι τὸ ἐπιβατικόν. καὶ τὸ συνεκδοχικὸν τῆς συντάξεως. πάσχω ταῦτα, καὶ νοσῶ, νόσον. καὶ ἀλγῶ τὴν κεφαλήν.

Ολοενεργητικόν.

Τὸ δὲ ὁλοενεργητικόν, τὴν πρὸς αἰτιατικὴν βούλεται σύνταξιν. οἷον φεύγω σε, καὶ λανθάνω, καὶ κρύπτω, καὶ παραλλάττω, καὶ παρελαύνω, καὶ θέλω.

Αὐτοουδέτερον

Τοῦ δὲ αὐτοουδετέρου, ἡ αὐτὴ σύνταξις τοῖς ἀπολελυμένοις ἐστίν. ἀπολελυμένον γάρ τοι καὶ τὸ τοιοῦτο. οἷον ζῶ. πλουτῶ. ὑγιαίνω. δῆλον οὖν ὅτι πρὸς τὰς διαφόρους τῶν αὐτῶν δυνάμεις καὶ χρήσεις τὴν σύνταξιν ποιητέον, κατὰ τὰ ὑποτιθέντα. ἀναβαίνω τὸ ὄρος. τρέχω εἰς τὴν ἀγοράν. ἀλλὰ καὶ τρέχω τὸ στάδιον. τὸ μὲν ἁπλῶς. τὸ δὲ ὁλοενεργητικῶς.

Μέσον.

πρὸς εὐθεῖαν. καλοῦμαι Σωκράτης. λέγομεν οὖν βυβλίων πωλεῖται ὑπὸ Κορίσκου στατήρων πολλῶν. χρυσίον δίδοται πρὸς τοῦ πλουτοῦντος τῷ πένητι. ἴδιον δὲ μάλιστα τοῦ παθητικοῦ τὸ συνεκδοχικὸν τῆς συντάξεως. οἷον πλήττομαι τὸν πόδα, ἀλγῶ τὴν κεφαλήν.

Οὐδετέρου ὑπαρκτικοῦ.

Τῶν δὲ οὐδετέρων τὸ μὲν ὑπαρκτικὸν ὀνομαστικῇ ἐκ τρίτου συντάσσεται. Σωκράτης ἐστὶν ἢ τυγχάνει λευκός. τὸ γε μὴν τυγχάνει βέλτιον εἰς εὐθεῖαν μετοχικὴν ἐκ τρίτου. Σωκράτης τυγχάνει ὢν ἀγαθός. ἣν δὲ ἡ μετοχὴ μὴ ὑπαρκτικοῦ ᾖ, οὐδενὸς δεῖ ἐκ τετάρτου. ἐντελῶς γὰρ φαμὲν, Σωκράτης τυγχάνει περιπατῶν ἢ διαλεγόμενος. τὰ ἄλλα δὲ κοινὰ πρὸς τὸ ἐνεργητικόν.

Κτητικοῦ.

Τῶν τε οὖν κατ' εἰς τομὴν τε καὶ κτῆσιν, ἡ ἐκ τρίτου γενική. χρήζω. δέχω. πληθύω. δέω. ἀπορῶ. εὐπορῶ. ἀμοιρῶ. ἀπολαύω. τρυφῶ. ὄζω.

Οργανικοῦ.

Βρίθω δὲ, καὶ σθενῶ, ὀργανικῆς δοτικῆ. καὶ ὅλως τῶν ἀπολελυμένων ἃ δοκεῖ προστιθέναι. οἷον ἀγρυπνῶ. καὶ γρηγορῶ. καὶ ζῶ. καὶ πλουτῶ. ἀρετῇ ἢ δι' ἀρετήν. ἢ ὅπως ἂν ἄλλως ἐγχωρῇ φράζειν τὸ αἴτιον. Τῶν δὲ πολιτικῶν, ἡ δοτική. συμβαίνω. ὑπάρχω. ὑποχωρῶ. εἴκω. ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν συντακτέον κατὰ τὰ κοινῇ εἰρημένα.

ριστίας, ἀπὸ πώμασι τῆς διαβολῆς. κατηγορῶ σου κλοπῆς. Ἐπεὶ ἀποφάσει χρόνου παρήκοντος ἐνίοτε λαοῦ δέοι πρὸς τὸν χρονικὸν προσορίσασθαι. οὐκ ἦλθον. οὐκ εἶδον. οὐκ εἶπον χρόνου πολλοῦ.

Ἐπεὶ τὸ ἐγγὺς τοῦ γενέσθαι καὶ παρὰ μικρὸν συμβεβηκέναι τι δηλῶσαι δέοι. μικροῦ παρῆλθον. μικροῦ διέφυγεν. Ἐπεὶ ἀπὸ μέρους. οἷον κρεμῶσι τοῦ ποδός. πίνω τοῦ ὕδατος. δρέπομαι τῶν ἀνθέων. Ἐπεὶ καιροῦ ὡρισμένου χρεία. οἷον ἡμέρας τε καὶ νυκτὸς ἐργάζεται. ἑσπέρας ἥκεν. χειμῶνος καὶ ἔαρος αἱ κοιλίαι θερμαί εἰσι. Φανερὸν οὖν καὶ ὡς τὸ αὐτὸ ῥῆμα λαμβανόμενον διαφόρως διοίσει τε ἑαυτοῦ τῷ εἶναι καὶ διαφόρως προσαγορευθήσεται καὶ συντάξεται. οἷον τὸ λύω σωματικὸν μὲν ἡ δεῖ σωματικῆς ἐνεργείας τῷ λύοντι. διαιρετικὸν ἡ τὸ λυόμενον γίνεται ἔξω δεσμοῦ. παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἄλλων θεωρητέον. καὶ πρὸς τὸ ἐπινοούμενον ἀεὶ συντακτέον.

Παθητικόν.

Τὸ δὲ παθητικὸν δῆλον ὅτι ὁσαχῶς καὶ τὸ ἐνεργητικὸν συντάξεται, κοινὸν μὲν τὴν ἐκ πρώτου ὀνομαστικὴν ἔχον. ἴδιον δὲ τὴν ἐκ τρίτου γενικὴν ὁμοῦ τῇ ὑπό. ἢ τῇ πρός. ἢ τοῖς ἴσοις ὡς εἴρηται αὐτῇ, τεταγμένως τοῖς ἄκροις. Σωκράτης φιλεῖ φαῖδρον. φαῖδρος φιλεῖται ὑπὸ Σωκράτους, καὶ διδάσκεται πρὸς αὐτοῦ. κοινὸν οὖν καὶ τὸ ἐκ τετάρτου καὶ ὁμοιότατον. πλὴν ἐπὶ τῶν κλιτικῶν. ταύτη γὰρ

Πρόσωπα.

Τῶν δὲ παρεπομένων τῷ ῥήματι τὰ πρόσωπα τρία ὄντα. πρῶτον, ᾧ περὶ ἑαυτοῦ φράζει ὁ λέγων. δεύτερον, ᾧ περὶ τοῦ πρὸς ὃν ὁ λόγος. τρίτον, ᾧ περὶ ἑτέρου. οὐκ ἰσοδύναμα ἀλλήλοις ἐστὶν, ἀλλὰ πολὺ τὸ τρίτον λείπεται τοῦ πρώτου τε καὶ δευτέρου. τὸ δὲ δεύτερον ἔτι τοῦ πρώτου. καὶ οὖν πρώτου. καὶ δευτέρου λαμβανομένου δίχα τοῦ τρίτου, λόγος ἂν γίνοιτο. οἷον τὸ, τοιγὰρ ἐγὼν ἐρέω σὺ δὲ σύνθεο καί μοι ὄμοσσον. τρίτου δ' οὐκ ἂν λέγοιτο, μὴ καὶ πρώτου ἢ δευτέρου λεγομένου ἢ συνυπακουομένου.

Σύλληψις.

Ἔτι τὸ μὲν πρῶτον καὶ δεύτερον δυνατὸν συλλαμβάνειν. τὸ τρίτον εἰς πληθυντικὸν ἴδιον. τὸ δὲ τρίτον οὐδέτερον τούτων. καὶ γὰρ ἐγὼ μὲν κἀκεῖνος περιπατοῦμεν φαμέν. καὶ σὺ κἀκεῖνος περιπατεῖτε. οὐκ ἔτι δὲ καὶ ἐκεῖνος κἀγὼ περιπατοῦσιν. ἢ ἐκεῖνος καὶ σὺ περιπατοῦσιν. ὡς δὲ τὸ τρίτον πρὸς τὸ πρῶτον καὶ δεύτερον ἔχει, οὕτω καὶ τὸ δεύτερον πρὸς τὸ πρῶτον. τὸ μὲν γὰρ πρῶτον συλλαμβάνει τὸ δεύτερον. ἀνάπαλιν δ' οὔ. ἐγὼ οὖν καὶ σὺ περιπατοῦμεν φαμέν. περιπατεῖτε δ' οὔ.

Περὶ μετοχῆς.

Μετοχὴ δ' ὡς καὶ τοὔνομα δηλοῖ. μέρος ἐστὶ λόγου μετέχον τοῦ ὀνόματος, καὶ τοῦ ῥήματος, μετέχει δὲ τοῦ μὲν, γένος καὶ πτῶσιν. τοῦ δὲ, διάθεσιν καὶ χρόνον καὶ συζυγίαν. διὸ καὶ τῇ μὲν, τῆς ἀμφὶ

λειπτικὸν τὸ τοῦ· ἢ προθετικὸν, ὁμοῦ ἄρθρῳ. ὅπως ἂν ἡ χρεία ὑπαγορεύῃ. παρακαλῶ σε τοῦτο ὥστε τυχεῖν. τοῦ τυχεῖν. ἐφ' ᾧ τυχεῖν τιμῆς τε καὶ δόξης.

Προαιρετικὰ καὶ ὑπηρετικά.

Μάλιστα δὲ ἐπὶ τοῖς προαιρετικοῖς καὶ ὑπηρετικοῖς καλουμένοις τὸ ἀπαρέμφατον ἐπιφέρεται. βούλομαι ἢ θέλω γράψαι. προαιροῦμαι ἢ ἐφίεμαι φιλοσοφεῖν. ἐπιθυμῶ ἰατρεύειν. ποθῶ ἰδεῖν. προθυμοῦμαι βοηθεῖν. ἐπίσταμαι ἢ δύναμαι γράφειν. καὶ ἔτι γε τοῖς ἀπροσώποις. δεῖ γενέσθαι λέγεται ἀφικέσθαι πολλούς.

Ενεστὼς ἀόριστος.

Ἀποδώσομεν δὲ ἀμῶς εἰπεῖν τῷ μὲν τελικῷ κατά τε ἀόριστον καὶ ἐνεστῶτα. δέομαι ἐντυχεῖν τἀνδρί. ἀντιβολῶ σε παραγενέσθαι, ἢ παραγίνεσθαι, εἰ τὸ ἅπαξ ἢ τὸ πολλάκις ἐν χρείᾳ.

Ενεστὼς. Αόριστος. Μέλλων.

Τῷ δὲ εἰδικῷ, κατά τε τὸ παρῳχηκὸς καὶ τὸ ἐνεστὼς, καὶ τὸ μέλλον. ἀλλ' οὐ πάντως. ἀλλ' ἀφηγηματικῶς μὲν καὶ δοξαστικῶς καὶ γνωστικῶς ὁπουοῦν. φασὶν ἢ δοκῶ ἢ οἶδα τὸν ἄνδρα εἰρηκέναι. λέγειν. ἐρεῖν. ἐπαγγελτικῶς δὲ καὶ παρωνύμως πρὸς τὸ μέλλον. τὸ μέλλον, ὑπισχνοῦμαι ἐρεῖν. ἐλπίζω ὄψεσθαι. μέλλω δράσειν. καταλλήλως γε μὴν καὶ ὁ ἐνεστὼς τῷ μέλλοντι. μέλλω δρᾶν. ἀποδοθήσεται δὲ τοῖς ἀπροσώποις τὰ περὶ τὸν χρόνον ὁμοίως τοῖς τελικοῖς ὡς εἴρηται.

κλίσεως ἰδιώματος. οἷον εὔχομαι ἢ προστάττω. αὐτοῦ δὲ τοῦ ἀπαρεμφάτου κυρίως οὐκ ἔσται ἔγκλισις. βουλήματος γὰρ οὐδενός ἐστι σημαντικόν. διαλύοιτο δ᾽ ἂν καὶ ὧδε. ὑγιαίνει Δίων. φασὶ Δίωνα ὑγιαίνειν. λέγουσι Δίωνα ὑβρίσαι Θέωνα. M

T αὐτῶν ἄρα καὶ ἡ τοῦ ἄρθρου προσθήκη κατάλληλος τοῖς ἀπαρεμφάτοις. καλὸν γάρ φαμεν τὸ ἀρετῆς ἀντιποιεῖσθαι. καὶ τοῦ φιλοσοφεῖν οὐδὲν ἴδιον. καὶ τῶν αὐθέων τὸ ᾠδωδέναι. αὐτὸ ὀνόματος οἷον ἡ χρῆσις.

I ἴδιον δὲ τοῦ ἀπαρεμφάτου πρὸς τὰς ἄλλας ἐγκλίσεις καὶ τὸ, τὲ αἰτιατικὴν περιέχειν. ἐπεὶ ὥστε ῥῆμα τὴν τοῦ ῥήματος διάφορον ἕξει μετάληψιν. οἷον συγγινώσκειν σε τῷ ἡμαρτηκότι, καὶ τὸ παντὶ προσώπῳ καὶ παντὶ ἀριθμῷ συντάττεσθαι. Λ διὰ τὸ ἀμοιρεῖν τοῦ τοιούτου καὶ τὸ ταῖς ἄλλαις ἐγκλίσεσι πάσαις, καὶ ἑαυτῷ δὴ συντάττεσθαι. ὁρῶ σε μελετᾶν ἀναγινώσκειν. καὶ μετοχῇ μελετῶντα ἀναγινώσκειν. καὶ ὀνόματι. καλὸς ἰδεῖν. ἀνδρεῖος μάχεσθαι. T κἂν τοῖς διωρισμένοις τρόποις περὶ συντάξεως ἅπασιν. οἷον τί εἶναι προσκεῖσθαι. διδάσκουσι διαλέγεσθαι. ἀπαιτῶ σε χρήματα δουλώσασθαι τοὺς ἐχθρούς. ἀκούω σου μαθεῖν τὰ περὶ τὴν πόλιν. ἀπολύω σε τῶν δεσμῶν προσδέεσθαι ὅπερ δοκεῖν. δίδωμί σοι ἀργύριον πρίασθαι ὧν ἂν δέῃ. κοινωνῶ σοι τῶν ἀγαθῶν μὴ φθονερὸς εἶναι δοκεῖν. πολλαχῇ μέντοι τοῦ σαφεστέρου χάριν ὡς εἴρηται, προσθετέον ἢ ἀποστατικὸν τὸ ὥστε ἢ ἐλ-

μέλλοντα ἢ ἐνεστῶτα. οἷον ἐὰν φιλολογῶ, πάρεσται Δίων. ἐὰν ἀναγινώσκω παραγίνεται Θέων. οὕτως δὲ καὶ μετὰ τοῦ ἵνα. ἵνα φιλολογήσω πάρεσται ἢ πάρεστι Δίων. ἐὰν γε μὴν σύνταξις παρῳχημένου ἐγγένηται, ὁ σύνδεσμος καλείσθω αἰτιολογικός· ἵνα φιλολογήσω παρεγένετο Δίων. τοῦτο δὲ καὶ ἀποτελεστικῶς ἔχει ἀκούεσθαι. ἐπὶ μέντοι τοῖς ἐσομένοις ἡ τοῦ αἰτιολογικοῦ σύνταξις οὐκ ἂν εἴη. ἐπὶ γὰρ γεγονόσι τὰ αἴτια ἐπιλέγεται. δι' ὃ καὶ καταλληλότερον τὸ αἰτιολογικὸν ἐπιφερομένων τῶν παρῳχημένων. ἵνα διδάξῃ παρεγένετο Δίων οὐ παραγενήσεται. ἐπὶ μέντοι τοῦ ἀποτελεστικοῦ παραγενήσεται ὡς δὲ πρὸς τὸ μέλλον ἢ ἐνεστὸς τὸ ὑποτακτικὸν, οὕτω τὸ εὐκτικὸν ἐπὶ παρεληλυθότος, οἷον, παρεγένετο ἵνα διδάσκοιμι, ἢ διδάξαιμι. βούλεται γὰρ καθόλου τι τὸ τοιοῦτο εἶναι. καὶ μὴ ἀεὶ οὕτω χρωμένους ὁρῶμεν τοὺς λέγοντας.

Ἀπαρέμφατος.

Τὸ δ' ἀπαρέμφατον, ὄνομά ἐστι ῥήματος. καὶ οἱ ἀπὸ τῆς στοᾶς δὲ τοῦτο μὲν ῥῆμα καλοῦσι. τὰ δ' ἄλλα πάντα κατηγορήματα ἢ συμβάματα. δι' ὃ καὶ ὡς ἐπὶ κοινὸν ὄνομα τὸ ἀπαρέμφατον πᾶσα ἀναλύεται ἔγκλισις, οἷον περιπατεῖ Θέων. ἄρχομαι περιπατεῖν Θέωνα. ἐξ ἀποφάσεως δὲ εἰς ἀφήγησιν μεταβάλλει ὁ λόγος. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἐγκλίσεων προσκειμένου ἀεὶ τοῦ τῆς ἐγ-

τὰ ῥήματα εὐκτικόν, τοῦ περὶ τὰ ἐπιρρήματα. ἢ τὰ μὲν ῥήματα, μετὰ τοῦ ἐνόντος πράγματος τὴν εὐκτικὴν σημαίνει διάθεσιν. τὸ γάρ τοι γράφοιμι, εὐχή ἐστι πράγματος τοῦ γράφειν. καὶ τὸ φιλολογοίμι, τοῦ φιλολογεῖν. τὸ δὲ εἴθε σχεδόν τι ὄνομά ἐστιν εὐχῆς. οὐ γὰρ συμπαρίσταται καὶ τὸ ἐφ' οὗ τὰ τῆς εὐχῆς. ὥσπερ ἄρα καὶ τὸ εἷς διαφέρει τοῦ ἄνθρωπος. ἢ τὸ μὲν εἷς ὄνομά ἐστι μοναχῶς ἀριθμοῦ. τὸ δὲ ἄνθρωπος πρὸς τῷ τῆς κοινῆς οὐσίας σημαινομένῳ παρυφιστάμενον ἔχει τὸ εἷς.

Ὡσαύτως δὲ καὶ τὸ ἐγὼ πρὸς τὸ γράφω ἔχει. καὶ τὸ ἄλλοθεν πρὸς τὸ Ἰλιόθεν. καὶ τὸ τάχιστος δὲ τὴν ἐπίτασιν ὡς ἐν ὑποκειμένῳ σημαίνει. οὐκέτι δὲ καὶ τὸ ἄγαν. αὐτὸ γὰρ μοναχῶς ἐπιτάσεώς ἐστιν ὄνομα. Ὁμοίως δὲ καὶ τὸ γράψον, πρὸς τὸ ἄγε. τὸ δὲ αἴθ' ὄφελες ἀδάκρυτος καὶ ἀπήμων ἧσθαι, οὐκ ἐκ παραλλήλου. διάκρισιν γὰρ παρυφίστησι προσώπου τὸ ὄφελες ἥτις οὐκ ἔνεστι τῷ εἴθε.

Ὑποτακτική.

Τὴν δὲ ὑποτακτικὴν ἔνιοι καὶ διστακτικὴν καλοῦσιν, ὅτι οὐκ ἔστι χωρὶς συνδέσμου διστακτικοῦ τοῦ ἐάν. οὐ καθόλου δὲ τὸ τοιοῦτο. καὶ οἱ καλούμενοι γὰρ ἀποτελεστικοὶ σύνδεσμοι. ἐπὶ τὴν αὐτὴν σύνταξιν φέρονται. Σωκράτης περιπατεῖ ἵνα ὑγιαίνῃ. ὅτι μὲν οὖν οὐ συνίσταται εἰ μὴ ὑποταγῇ τοῖς προκειμένοις συνδέσμοις προσαγορεύεται ὑποτακτική. φέρεται δὲ ἡ τοιαύτη μετὰ τοῦ ἐὰν καὶ τῶν ἴσων αὐτῷ

τικῶν μέτεισιν. ἆρα γράφεις.

Προστακτική.

Ἡ δὲ προστακτικὴ, δῆλον ἂν ἔχοι τὴν σύνταξιν τῶν δευτέρων προσώπων, καὶ ὁμόφωνα ᾖ τοῖς ὁριστικοῖς. ἥτε γὰρ σύνταξις κλητική. τό, τε συντασσόμενον πρόσρημα τὸ ἄγε, ἀφίστησι τὴν ἀμφιλογίαν. τὰ δὲ πρωτοπρόσωπα οὐ προστακτικά. ἀλλ᾽ αὐθυπότακτα οἱ πλεῖστοι καλοῦσιν. ἔοικε δὲ τὰ τῆς ἐγκλίσεως συγκεχύσθαι καὶ δύο ἐγκλίσεις εἰς μίαν συμπίπτειν. ὅτι γὰρ οὔτε προσκαλούμεθα ἑαυτοὺς οὔτε μὴν προστασσόμεθα ἑαυτοῖς, ὑποτιθέμεθα δὲ, ὑποθετικὰ ἂν τὰ τοιαῦτα. συλληπτικὰ δή. ἵνα γὰρ ἐκκλίνῃ τὴν ἐν δευτέρῳ πρόσταξιν, σύλληψιν δέχεται εἰς τὸ πρῶτον ὑποθετικὸν ὄν.

Τὸ μὲν οὖν ἐλλεῖπον τῶν προστακτικῶν πρῶτον, καὶ τὰ ἐλλείποντα τῶν ὑποθετικῶν δεύτερα καὶ τρίτα, εἰς ἕνωσιν ἄγει τὰς δύο ἐγκλίσεις. ἵνα ἑκατέρα ἀναπληροῦνται. τὸ δὲ τρίτον τῶν προστακτικῶν πρόσταξιν ἀπόντος προσώπου δηλοῖ, δευτέρου ἐξ ἀνάγκης παραλαμβανομένου εἰς μετάδοσιν τῆς προστάξεως. ἀσύστατος γάρ τοι ἡ πρόσταξις ἄνευ δευτέρου.

Εὐκτική.

Ἡ δ᾽ εὐκτικὴ ἀπὸ τῆς γινομένης εὐχῆς ὀνόμασται. καὶ ἐπιρρήματα ἔχει. εἴθε. αἴθε. ἃ τοῖς μὲν εὐκτικοῖς εἰς πλείονα ἐπὶ πᾶσιν παρατίθεται. τοῖς δὲ ὁριστικοῖς δεόντως. εἴθε ἔγραψεν. ἵνα ἡ ὁριστική, εὐκτικὴν ἀναδέξηται σύνταξιν. διαφέρει δὲ τὸ περὶ

Ἀναλύσεις δ' ἁπλῶς τῶν ῥημάτων εἴς τε τὸ σύστοιχον ὄνομα, ἢ τὴν μετοχήν, καὶ εἰς τὸ ὁμοειδὲς ὑπαρκτικόν· καὶ ἢ κατ' εὐθεῖαν, ἢ κατὰ γενικήν. οἷον λύκιοι συνεμάχουν τοῖς τρωσίν· σύμμαχοι τοῖς τρωσὶν ἦσαν. τῶν συμμάχων ἦσαν. συμμαχοῦντες ἦσαν. τῶν συμμαχούντων ἦσαν. τιμηροῦμαι. τιμήρης γίνομαι, τῶν τιμηρουμένων εἰμί. καὶ δὴ οὕτω ταῦτα.

Ἔγκλισις.

Τῶν δὲ παρεπομένων τῷ ῥήματι ἐγκλίσεων, λόγος μέν· βούλημα εἴτ' οὖν πάθημα ψυχῆς διὰ φωνῆς σημαινόμενον.

Ὁριστική.

Καλεῖται δὲ ἡ ὁριστική, καὶ ἀποφαντική, ἰδίως μέντοι ὁριστική· ὅτι διὰ ταύτης ἀποφαινόμενοι ὁριζόμεθα. ὅθεν δὴ καὶ οἱ καλούμενοι διαβεβαιωτικοὶ σύνδεσμοι, καὶ προσέτι οἱ ἀπολογικοὶ τείνουσιν ἐπὶ ταύτην. γέγραφα. λέγω ὅτι γέγραφα. καὶ ὅτι περιπατῶ κινοῦμαι. ἔχει δὲ τὰ ὁριστικὰ σφίσι τὴν κατάφασιν ἐγκειμένην. διὸ καὶ τὸ ἀποφαντικὸν ἐπίρρημα κατάλληλον τοῖς τοιούτοις, ἵνα τὴν ἐνοῦσαν κατάφασιν ἀποστήσῃ. οὐ γράφω. οὐ μὴν δέ, καὶ τοῖς προστακτικοῖς, ἢ εὐκτικοῖς, ἢ ὑποτακτικοῖς. τὸ μέντοι ἀπαγορευτικὸν μὴ τοῖς τοιούτοις οἰκεῖον. καὶ οὖν λέγομεν. μὴ γίνωσκε. μὴ γνοίης. μὴ γνῶς. οὐ μὴν ἀλλ' οὐδὲ τοῖς ἀπαρεμφάτοις τὸ οὐ συντάσσεται. οὐδὲν γὰρ οὐδ' αὐτὰ καταφάσκει. ἀποβάλλουσά γε μὴν ἡ ὁριστικὴ τὴν ἐνοῦσαν κατάφασιν, οὐκ ἔτι ἂν καλοῖτο ὁριστική. εἰς γὰρ ἐπερω-

ὀσφραίνομαι. γεύομαι. ὀρέγομαι. ἐφίεμαι. περιέχομαι. ἀντιλαμβάνομαι. περιγίνομαι. κοινὸν δὲ ἡ τοῦ αὐτοῦ χρῆσις ἁπανταχοῦ. δι' ὅ. ἐφ' ὅ. ἵνα, καὶ ὅπως. καὶ ἄλλως φράζειν ἢ πρὸς τὰ δόξαντα.

Απρόσωπον.

Τῶν δ' ἀπροσώπων ὀνομαζομένων διὰ τὸ μὴ παριστάναι πρόσωπον. τὰ μὲν καθ' αὑτὰ κεῖται ἢ κατὰ πρὸς ἕτερον συντάττεσθαι πεφυκότα. οἷον τὰ παθητικά. λέγεται. θύεται. λείπεται. εἴρηται. εἰρήσθω. καὶ τὰ ὅμοια. πλὴν εἰ μὴ περιπτωτικῶς. οἷον ἤκουσταί μοι, καὶ ἔγνωσταί μοι. καὶ ὡς τὰ παθητικά. ἤκουσται ὑπ' ἐκείνων. Κτητικόν.

Τὰ δὲ πρὸς ἕτερον ἢ κτητικῶς ἢ περιπτωτικῶς. ἢ ἐπιβατικῶς. Τὸ μὲν οὖν κτητικὸν εἰς γενικὴν καὶ ἅμα δοτικὴν περιπτωτικῶς. μέτεστι τούτου ἐμοί. διαφέρει. ἢ μέλλει, ἢ δεῖ, ἢ προσήκει τούτου ἐμοί.

Περιπτωτικόν.

Τὰ δὲ περιπτωτικὸν εἰς ἀπαρέμφατον καὶ δοτικὴν ὡς εἰκός, ἔξεστι. συμβαίνει. προσήκει. πρέπει δοκεῖ τῇ βουλῇ καὶ τῷ δήμῳ πέμψαι πρέσβεις.

Επιβατικόν.

Τὸ δ' ἐπιβατικὸν, εἰς ἀπαρέμφατον μοναχῶς. δεῖ φάναι. χρὴ λαβεῖν. ἐνδέχεται εἶναι. φιλεῖ γενέσθαι. δεῖ εἰπεῖν. κοινὸν δὴ οὖν κἀνταῦθα τὸ ἀπαρέμφατον. ἀλλ' ἢ παρῳχημένου ἢ ἐνεστῶτος. μέλλοντος δὲ οὐδέποτε.

Ἀνάλυσις ῥήματος.

Τῶν δὲ μέσων εἴτ' οὖν κοινῶν, ἡ αὐτὴ σύνταξις καὶ αὐτῶν τοῖς ἐνεργητικοῖς καὶ παθητικοῖς· ἀμφοτέροις γὰρ ἐφαρμόζει ταῖς διαθέσεσι. θύομαι οὖν τῷ θεῷ, καὶ θύομαι ὑφ' ἑτέρου τῷ θεῷ. βιάζομαι τὸν ἐχθρὸν, καὶ βιάζομαι ὑπὸ τοῦ ἐχθροῦ. καὶ ὅλως κατὰ τὰ διωρισμένα εἴδη σχηματιστέον καὶ συντακτέον. ἐπαινέσομαι ἀρετὴν τὰ εἰκότα. καὶ ἐπαινέσομαι ὑπὸ τοῦ φίλου.

Ἐπιμέσου

Καὶ τοῦ ἐπιμέσου δὲ τὸ μὲν αὐτοενεργητικὸν, τὴν αὐτὴν τῷ ἐνεργητικῷ σύνταξιν ἔχει ὡς καὶ αὐτὸ σημαντικὸν ἐνεργείας ὄν. τὸ δὲ ὁλοπαθητικὸν, τὴν αὐτὴν τῷ παθητικῷ. ἐνεργητικῆς γὰρ ἀμοιροῦν δὴ χρήσεώς γε προφορᾶς, παθητικῶς σημαίνει τι παθητικόν. γίνομαι. οἴχομαι. κοιμῶμαι.

Τὸ περὶ ἐπιμέσου.

Σκοπεῖν δὲ καὶ περὶ τοῦ ἐπιμέσου τοῦδε, εἰς περιποιητικὸν. ἢ αἰτιατικὸν. καὶ ἐναντιωματικὸν, ταῦτα γὰρ δοτικῇ ὡς τὸ τρίτον. χρῶμαι. ἥδομαι. ἱππάζομαι. μάχομαι. ἀγωνίζομαι. ἐναντιοῦμαι. ὀργίζομαι. ἀνθίσταμαι. Ἐπὶ ἐπικρατείας σημαντικὸν, αἰτιατικῇ γὰρ ὡς τὸ πρῶτον. κέκτημαι, ὠνοῦμαι μιμοῦμαι. Ἐπεὶ ἀτελὲς, ἀπαιτεῖ γὰρ τὸ εἴς τι. ἔν τινι, ὡς ἐπὶ τῶν οὐδετέρων ἐλέχθη προσδίομαι ἀθήναζε. ᾠχόμην ὡς τὸν θεόν. κάθημαι, ἢ κεῖμαι ἐνταυθοῖ, Ἐπεὶ κατ' αἴσθησιν ἀναληπτικὸν, ἢ ἄλλως ἀντιληπτικὸν, καθ' ὑπεροχήν. ἢ ὀρεκτικὸν γενικῇ γὰρ ταῦτα ὡς τὸ δεύτερον ἅπτομαι

Αὐτοπαθητικόν.

Τὸ δ᾽ αὐτοπαθητικὸν οὐδέτερον μέν τοι καὶ αὐτὸ, ὡς μὴ μετασχηματιζόμενον τῇ μὲν εἰς παθητικὴν σημασίαν. αὐτοπαθητικὸν δὲ κληθὲν ἀλλὰ μέρος εἰλῆφθαι, ἢ πάθος ἀφ᾽ ἑαυτοῦ τυγχάνει δηλοῦν, καὶ ἀντιδιαιρούμενον τῷ ὁλοενεργητικῷ καὶ τῷ αὐτοουδετέρῳ. οἷον τὰ, πάσχω. φθίνω. ἐρρῶ. ἀλγῶ. φρίττω, πυρέττω. ὀρυθριῶ. νοσῶ. ἀποθνήσκω καὶ τὰ ὅμοια. Σύνταξις δὲ τοῦ τοιούτου ἡ αὐτὴ τοῖς παθητικοῖς ὡς εἰκός. πάσχει ὑπὸ τοῦ ποιοῦντος. φθίνει ὑπὸ τοῦ φθείροντος. τὸ δ᾽ ἴδιον. καὶ καθ᾽ ὃ, καὶ δι᾽ ὃ, καὶ ὅλως τὸ αἰτιολογικὸν, κοινόν. καὶ ἔτι τὸ ἐπιβατικόν. καὶ τὸ συνεκδοχικὸν τῆς συντάξεως. πάσχω ταῦτα, καὶ νοσῶ, νόσον. καὶ ἀλγῶ τὴν κεφαλήν.

Ὁλοενεργητικόν.

Τὸ δὲ ὁλοενεργητικὸν, τὴν πρὸς αἰτιατικὴν βούλεται σύνταξιν. οἷον φεύγω σε, καὶ λανθάνω, καὶ κρύπτω, καὶ παραλλάττω, καὶ παρελαύνω, κ(αὶ) θέλω.

Αὐτοουδέτερον.

Τοῦ δὲ αὐτοουδετέρου, ἡ αὐτὴ σύνταξις τοῖς ἀπολελυμένοις ἐστίν. ἀπολελυμένον γάρ τοι καὶ τὸ τοιοῦτο. οἷον ζῶ. πλουτῶ. ὑγιαίνω. δῆλον οὖν ὅτι πρὸς τὰς διαφόρους ἰδίων αὐτῶν δυνάμεις καὶ χρήσεις τὴν σύνταξιν κριτέον, κατὰ τὰ ὑποτιθέντα. ἀναβαίνω τὸ ὄρος. τρέχω ἐπὶ τὴν ἀγοράν. ἀλλὰ καὶ τρέχω τὸ στάδιον. τὸ μὲν ἁπλῶς. τὸ δὲ ὁλοενεργητικῶς.

Μέσον.

πρὸς εὐθεῖαν. καλοῦμαι Σωκράτης. λέγομεν οὖν βυβλίων πωλεῖται ὑπὸ Κορίσκου στατήρων πολλῶν. χρυσὸν δίδοται πρὸς τοῦ πλουτοῦντος τῷ πένητι. ἴδιον δὲ μάλιστα τοῦ παθητικοῦ τὸ συνεκδοχικὸν τῆς συντάξεως. οἷον πλήττομαι τὸν πόδα, ἀλγῶ τὴν κεφαλήν.

Οὐδετέρων ὑπαρκτικῶν.

Τῶν δὲ οὐδετέρων τὸ μὲν ὑπαρκτικὸν ὀνομαστικῇ ἐκ τρίτου συντάσσεται. Σωκράτης ἐστὶν ἢ τυγχάνει λευκός. τὸ γε μὴν τυγχάνει βέλτιον εἰς εὐθεῖαν μετοχικὴν ἐκ τρίτου. Σωκράτης τυγχάνει ὢν ἀγαθός. ἣν δὲ ἡ μετοχὴ μὴ ὑπαρκτικοῦ ᾖ, οὐδὲ λόγος δεῖ ἐκ τετάρτου. εὐτελῶς γὰρ φαμὲν, Σωκράτης τυγχάνει περιπατῶν ἢ διαλεγόμενος. τἆλλα δὲ κοινὰ πρὸς τὸ ἐνεργητικόν.

Κτητικῶν.

Τῶν τε οὖν κατ᾽ εἰς τομὴν τε καὶ κτῆσιν, ἡ ἐκ τρίτου γενική. χρήζω. δέχω. πληθύω. δέω. ἀπορῶ. ἀπορῶ. ἀμοιρῶ. ἀπολαύω. τρυφῶ. ὄζω.

Οργανικῶν.

Βρίθω δὲ, καὶ εὐθενῶ, ὀργανικῶς δοτικῇ. καὶ ὅλως τῶν ἀπολελυμένων ἔδοκει προστιθέναι. οἷον ἀγρυπνῶ. καὶ γεγηθῶ. καὶ ζῶ. καὶ πλουτῶ. ἀρετῇ ἢ δι᾽ ἀρετήν. ἢ ὅπως ἂν ἄλλων ἐγχωρῇ φράζειν τὸ αἴτιον. Τῶν δὲ περιποιητικῶν, ἡ δοτική. συμβαίνω. ὑπάρχω. ὑποχωρῶ. εἴκω. ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν συντακτέον κατὰ τὰ κοινῇ εἰρημένα.

ρισίας, ἀπὸ τῶ μαιστὲ διαβολῆς. κατηγορῶ σου κλοπῆς. Επεὶ ἀποφάσει χρόνου παρήκοντος ἐντελοῦς δέοι προσὸν χρονικὸν προσορίσασθαι. οὐκ ἦλθον. οὐκ εἶδον. οὐκ εἶπον χρόνου πολλοῦ.

Ε πεὶ τὸ ἐγγὺς τοῦ γενέσθαι καὶ παρὰ μακρὸν συμβεβηκέναι τι δηλῶσαι δέοι. μακροῦ παρῆλθον. μικροῦ διέφυγεν. Επεὶ ἀπὸ μέρους. οἷον κρεμῶσι τοῦ ποδός. πίνω τοῦ ὕδατος. δρέπομαι τῶν ἀνθέων. Επεὶ καιροῦ ὡρισμένου χρεία. οἷον ἡμέρας τε καὶ νυκτὸς ἐργάζεται. ἑσπέρας ἧκεν. χειμῶνος καὶ ἔαρος αἱ κοιλίαι θερμαί εἰσι. φανερὸν οὖν καὶ ὡς τὸ αὐτὸ ῥῆμα λαμβανόμενον διαφόρως διοίσει τε ἑαυτοῦ τῷ εἶναι καὶ διαφόρως προσαγορευθήσεται καὶ συντάξεται οἷον τὸ λύω σωματικὸν μὲν ἢ δεῖ σωματικῆς ἐνεργείας τῷ λύοντι. διαιρετικὸν ἢ τὸ λυόμενον γίνεται ἔξω δεσμοῦ. παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἄλλων θεωρητέον. καὶ πρὸς τὸ ἐπινοούμενον αἰεὶ συντακτέον.

Παθητικόν.

Τ ὸ δὲ παθητικὸν δῆλον ὅτι ὁσαχῶς καὶ τὸ ἐνεργητικὸν συντετάξεται, κοινὸν μὲν, τὴν ἐκ πρώτου ὀνομαστικὴν ἔχον. ἴδιον δὲ τὴν ἐκ τρίτου γενικὴν ὁμοῦ τῇ ὑπό. ἢ τῇ πρός. ἢ τοῖς ἴσοις ὡς εἴρηται αὐτεστραμμένως τοῖς ἄκροις. Σωκράτης φιλεῖ Φαῖδρον. Φαῖδρος φιλεῖται ὑπὸ Σωκράτους, καὶ διδάσκεται πρὸς αὐτοῦ. κοινὸν οὖν καὶ τὸ ἐκ τετάρτου καὶ ὁμοιότατον. πλὴν ἐπὶ τῶν κλητικῶν. ταύτῃ γὰρ

τάττωσιν ἵνα προηγῇ τῶν ἄλλων.

Τοῦ εἰδικοῦ.

Τοῦ δὲ εἰδικοῦ, ἔνθα τὸ ὅτι φασὶν ὅτι ἐληλύθασιν οἱ περὶ τὸν βασιλέα.

Τοῦ ἐλλειπτικοῦ.

Τοῦ δὲ ἐλλειπτικοῦ δευτέρου, ἔνθα χρόνου δηλώσει δέοι προσόν. οἷον ἔζησεν ἔτι πολλά. Ἢ τὸ αὐτὸ τοῦ ἐνεργοῦντος προσώπου καὶ πάσχοντος. οἷον φθείρεις τὰ κοινὰ τὸ σὸν μέρος. Ἢ τὸ κατά τι. οἷον ἐντίκτουσι τὰ πολλὰ αἱ γυναῖκες, καὶ σοφὸς τὰ μηχανικά. Ἢ τὸ αἴτιον οὐ πάντοτε τῶν ὀργανικῶν ὁμοίως. οἷον πάντα δὲ ταῦτα δὲ γέγραφε τὸν εἰρημένον τρόπον ὡς αὐτὸς εἰς βυβλίον καταθοῖτο.

Τὸ περὶ τοῦ ἀπολογικοῦ καὶ ἐλλειπτικοῦ.

Υποκείσθωσαν δὲ καὶ τοῦ ἀπολογικοῦ καὶ ἐλλειπτικοῦ τὸ περὶ τοιοῖσδε σκοπεῖν εἰ ἀνταλλαγματικῶς, καὶ ἀνταποδοτικῶς. ὠνοῦμαι. πωλῶ. ἀλλάττω. ἀντιμῶ. Ἐπεὶ πληρωτικῶς. γεμίζω. πληρῶ. κενῶ. Ἐπεὶ διαιρετικῶς τε καὶ ἐκστατικῶς. καὶ ἐφεκτικῶς. γυμνῶ. ἀπαλλάττω. ἀφίστημι. ἀπολύω. κωλύω. ἀναστέλλω. συγχωρῶ. ὑπείκω. κουφίζω. ἀμβλύνω. καθαίρω. περιαιρῶ. ψέγω. Ἐπεὶ ἀποδεικτικῶς. καὶ εἰς ἀρετὴν ἀποδεκτικῶς ἐπαινῶ. θαυμάζω. εὐδαιμονίζω. ζηλῶ. ἀποδέχομαι. Ἐπεὶ μετουσιαστικῶς τε καὶ μεταδοτικῶς. κοινωνῶ. μετέχω. μεταδίδωμι. ἀξιῶ. Ἐπεὶ φιλικῶς. ἢ οἰκτικῶς. φιλῶ. ἀγαπῶ. ἐλεῶ. οἰκτείρω. Καθόλου δὲ τὸ περὶ τὴν αἰτίαν ἐλλεῖπον. μέμφομαί σοι ἀχα-

δυνατά. εἰλήφθω δὲ καὶ ὡς περὶ ποιητικόν. καὶ τὸ δουλεύω. πιστεύω. καὶ ὑπηρετῶ. καὶ ἀκολουθῶ. καὶ εἴκω, καὶ τὰ ὅμοια.

Περὶ συγκειμένων.

Δῆλον δ᾽ ἐκ τούτων καὶ ὅπως τοῖς συγκειμένοις χρησώμεθα. ἐκ γὰρ τῶν εἰρημένων ἅπας συνθέντες ὡς αὐτὰ παρὰ τῆς χρείας καὶ διανοίας ἀπαιτῇ, φθεγξόμεθα.

Διαβατικῶς.

Ἤτοι διαβατικῶς εἴδει τοῦ κατ᾽ ἐνέργειαν πράγματος. οἷον ὠφελῶ ἀνθρώπους τὰ δυνατά. παρέχομαι χρήματα ἀνδρὶ πένητι.

Αἰτιολογικῶς.

Ἢ αἰτιολογικῶς. καὶ ἐλλειπτικῶς. εἴδει τῆς αἰτίας ἐξ ἧς ἡ ἐνέργεια. οἷον ἐπαινῶ Σωκράτην τῆς ἀρετῆς. ὠνοῦμαι πυροὺς στατήρων τριῶν. μισθοδίδωμι σοι τοῦ παριόντος.

Ὀργανικῶς.

Ἢ ὀργανικῶς. εἰ ὅθεν ἡ κατ᾽ ἐνέργειαν κίνησις φαίνοιτο. οἷον φθόγγῳ οὐκ ἐπαινεῖ Κλέων τὰ καλά.

Τελικῶς.

Ἢ τελικῶς. εἰ τὸ οὗ ἕνεκα δέοι προσθεῖναι. οἷον ἰατρὸς τῷ προηγεῖσθαι τῶν ἄλλων.

Εἰδικῶς.

Ἢ εἰδικῶς εἰ τὸ καθ᾽ ὃ σημαίνειν δοκεῖ. οἷον. φησὶ τοὺς περὶ τὸν βασιλέα ἐληλυθέναι.

Ἐλλειπτικῶς.

Ἢ ἐλλειπτικῶς τῆς κατά. δῆλον δ᾽ ἐκ τῆς τῶν τόπων ἐκθέσεως.

Τοῦ τελικοῦ.

Τόποι δὲ τοῦ μὲν τελικοῦ, ἔνθα τὸ ἵνα ἁρμόττει. οἷον

ῥακαλῶ. ἡγοῦμαι. Ἐπεὶ συμβολαίων σημαντικά. πωλῶ. ἀγοράζω. συμβάλλω. Ἐπεὶ φυσικά. οἷον γεννῶ. καὶ φύω. καὶ αὔξω. αἰτιατικῇ γὰρ τὰ τοιαῦτα. Τὸ περὶ τοῦ δευτέρου.

Τοῦ δὲ δευτέρου τὰ κατ' αἴσθησιν ἀναληπτικά. οἷον αἰσθάνομαι, ἀκούω. ἅπτομαι. γεύομαι. ὀσφραίνομαι. ἐρῶ. ἐπιθυμῶ. τὸ δὲ ὁρῶ αἰτιατικῇ. διὰ τὸ ἐξ ὑπαρχῆς ταύτην εἶναι τὴν ὄψιν. καὶ ἐπὶ πλέον διήκειν. καὶ τὰ τούτοις συνωνυμοῦντα. ὁρῶμαι. θεῶμαι.

Καὶ τὰ φροντιστικά. καὶ κτητικά. φροντίζω. ἐπιμέλομαι. φείδομαι. ἀπολαύω. κοινῶ. μετέχω. μέμνημαι. Καὶ τὰ ἀρχικά. βασιλεύω. δεσπόζω. κυριεύω. τυραννῶ. ἄρχω. κρατῶ. εἴηδ' ἂν καὶ ὡς κτητικὰ τὰ τοιαῦτα. Καὶ τὰ διαφορικά. καὶ τὰ ἀποστηματικά. καὶ ἐκστατικά. διαφέρω. χωρίζομαι. ἀπέχω. στέρομαι. ἁμαρτάνω.

Τὸ περὶ τοῦ τρίτου.

Τοῦ δὲ τρίτου τὰ περιποιητικά. καὶ ἀντιπεριποιητικά. οἷον δίδωμι. πέμπω. λέγω. χαρίζομαι. ἀντιλέγω. παλαίω. ἐναντιοῦμαι. ἀμφισβητῶ. μάχομαι. Καθόλου δὲ πᾶν ῥῆμα ὅπως ἂν ἔχῃ, καὶ ὡς περιποιητικὸν ἔστι λαμβάνειν ταυτό. ὠφελῶ γάρ τοι ἀνθρώπους. ἀλλὰ καὶ ὠφελῶ ἀνθρώπους τῇ πόλει. διδάσκω τὸν νέον. καὶ διδάσκω σοι τὸν νέον ὥσπερ ἄρα καὶ πᾶν εἶναι ἐνεργείας ἐλάττονος ἐνεργητικόν. ἀνάμην ὁ πόσα εἶδει ταἰδρός. ἔχρησα μὲν πάμπολλα τῷ ἀνδρί. ὠφέλησα προθύμως τὰ

τὶ κατὰ μείζω ἐνέργειαν· οἷον τιμῶ Σωκράτην· εἴτε καὶ ἐλάσσω· οἷον τὸ λέγω τὰ δέοντα· καὶ φρονῶ τὰ εἰκότα· Σκοπεῖν οὖν εἰ αὐτὴ σωματικὴν διάθεσιν ἀναφέρεται· οἷον γυμνάζω· κινῶ· νύττω τύπτω· φθείρω· δύω· δεσμῶ· βρέχω· βιάζομαι· τρίβω· κρατῶ· χείρω θερίζω· καίω· Ἐπεὶ αὐτὴ ψυχήν τε καὶ ἦθος· φιλῶ· ἀγαπῶ· στέργω· δικαιῶ· ἀδικῶ· βλάπτω· ὠφελῶ· ὑβρίζω· αἰνῶ, λοιδορῶ·

Ἐπεὶ αὐτὴ δεικτικά· ἐπαινῶ· ἐγκωμιάζω· ὑμνῶ· ἄδω· εὐλέγω· Ἐπεὶ σεπτικά· τιμῶ· σέβω· πρεσβεύω· προσκυνῶ· κολακεύω· αἰδοῦμαι·

Ἐπεὶ ὑπονοητικά· καὶ δοξαστικά· ἢ γνωστικά· νοῶ· κρίνω· οἶδα· οἴομαι· ὑφορῶμαι· Ἐπεὶ προαιρετικά· βούλομαι· προαιροῦμαι· ἐθέλω·

Ἐπεὶ ζητητικά· ἐξετάζω· ἀνακρίνω· ἐρωτῶ· ἐρευνῶ· εὑρίσκω· Ἐπεὶ αὐτὴ κρατητικά· ἔχω, φυλάσσω· ἀναγκάζω· εἴργω· ἐλαύνω· νικῶ· Ἐπεὶ προτρεπτικά· παρακαλῶ· ἐρεθίζω· προτρέπω· παρορμῶ· παροξύνω· Ἐπεὶ κλητικά· φωνῶ· ὀνομάζω· καλῶ· Ἐπεὶ αὐτὴ σημαντικά· οἰκοδομῶ· σκυτοτομῶ· ἰατρεύω· Ἐπεὶ διακρουστικά· πλανῶ· ἐξαπατῶ· φενακίζω· κλέπτω· παραλογίζομαι·

Ἐπεὶ διδασκαλικά· ἢ διαθετικά· παιδεύω· σωφρονίζω· πείθω· διδάσκω, ψύχω· θερμαίνω, διατίθημι· Ἐπεὶ οἰκτικά· ὀδύρομαι· κλαίω· θρηνῶ· οἰκτίζω· ἐλεῶ· Ἐπεὶ ἱκετευτικά· ἀντιβολῶ· ἱκετεύω· ἐκλιπαρῶ· λιπαρέω, ἐρωτῶ ἐν ἴσῳ τὸ παρ

νον συχνὸν τὰ γραμματικά. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων καλείσθω δὲ ἐλλειπτικὸν δεύτερον.

Καὶ ἔτι ἕτερόν τι ὁμοίως εἰς ὁποῦν τῶν προθέσεων. διδάσκω σε νῦν. ἢ ἡδέως, ἢ ὡς ἂν ἄλλως κατηγορεῖν πρὸς τὴν χρείαν δοκῇ. καὶ ἀσθενὴς ἦν δι' ἀχρηματίαν. καὶ ὅπως ἄλλως χρῆσθαι προθέσει κατὰ λόγον ἂν ᾖ. καλείσθω δὲ τῷ μὲν προσρηματικόν. τῷ δὲ ἐντελές. τὸ σύνολον δέ τοι συγκατηγορηματικόν. Τὸ δ' ἐλλειπὲς ἢ πληρέστερον τῆς συντάξεως πρὸς τὸ δοκοῦν ἱκανῶς ἂν ἔχειν ἔσται ἐκ τῶν εἰρημένων. οἷον διδάσκω σε διαλέγεσθαι. διδάσκω σε τὰ γραμματικὰ διαλέγεσθαι εὖ. ἐπεὶ καὶ εἰς ἓν συλλαμβάνοντι τὰ συγκείμενα προστιθέναι ἑκάστῳ τῶν αἰτιῶν εἴη ἄν. οἷον δίδωμί σοι χρυσίον τῆς χρείας χειρὶ τῇ ἐμαυτοῦ πρίασθαι ὧν ἂν δέῃ. φράζειν μέντοι ἐπὶ τὸ σαφέστερον δεῖ ἐπεντιθέντας ἢ σύνδεσμον. ἢ πρόθεσιν. ἢ ἐπίρρημα. ἢ ὡς ἂν ἄλλως εὖ ἔχῃ ἑλληνισμοῦ. οἷον δίδωμί σοι χρυσίον τῆς παρούσης ἕνεκα χρείας, ὅπως πριάμενος ὧν ἂν δέῃ ἔχῃς. ἢ ὥς τι πρίασθαι ὧν ἂν δέῃ.

Ἐπιβατικά.

Εἰλήφθω δὲ καὶ τὸ μάχομαι μάχην. καὶ ζῶ ζωήν. καὶ δουλεύω δουλείαν. καὶ πάντα τὰ τοιαῦτα ὡς ἐπιβατικά. καλῶ γὰρ ἐπιβατικόν, τὸ τοῦ διαβατικοῦ ἐλλειπτικόν. οἷον διδάσκω σε γραμματικά.

Τὸ περὶ τοῦ πρώτου.

Τὸ περὶ δὲ τοῦ μὲν πρώτου, τὰ ὁπωσοῦν ἐνεργητικά. εἰ-

πτικόν· ὡς φασαν ἡ πληθύς· καὶ ἐσκίδναντο ἕκαστος. Ἐνδέχονται μὲν οὖν ἅπαντα τὰ ῥήματα μεταβατικῶς· οἷς ἀμεταβάτως ἡ εὐθεῖα συντάσσεται.

Εἴδη τῶν μεταβατικῶν προσωπικῶν.

Εἴδη δὲ τῆς καθ᾽ ἕκαστα μεταβάσεως τῶν προσωπικῶν ὑποκείσθωσαν καθόλου τι καὶ ἅπαντα τρία. Πρῶτον μὲν εἰς αἰτιατικὴν τῶν κατ᾽ ἐκπομπὴν θεωρουμένων· οἷον διδάσκω σε· καὶ διδάσκω γραμματικά. Δεύτερον δὲ εἰς γενικὴν τῶν κατ᾽ εἰσπομπήν· οἷον δέομαί σου. Τρίτον δὲ εἰς δοτικὴν τῶν κατὰ περιποίησιν· οἷον δίδωμί σοι. Τέταρτον δὲ συγκείμενα ἁπλᾶ καὶ τῶν εἰρημένων κοινά· τὸ μὲν, εἰς αἰτιατικὴν οἷον διδάσκω σε, τὰ γραμματικά· δέομαί σου τὰ δίκαια· δίδωμί σοι χρυσόν· καλείσθω δὲ διαβατικόν. Τὸ δὲ εἰς γενικήν· οἷον διδάσκω σε τοῦ καλοῦ· δέομαί σου τῆς χρείας· μεταδίδωμί σοι τῆς ἐνδείας· καλείσθω δὲ ἀπολογικόν· ἢ ἐλλειπτικόν. Τὸ δὲ εἰς δοτικήν· οἷον διδάσκω σε τύχῃ ἀγαθῇ· δέομαί σου ὅλῃ ψυχῇ· δίδωμί σοι χειρί· καλείσθω δὲ ὀργανικόν.

Τὸ δὲ εἰς ἀπαρέμφατον διχῶς δέ, ἢ γάρ τοι ὡς εἰς τέλος, ἢ ὡς εἰς εἶδος· ὅθεν δὴ καὶ τῷ μὲν τελικὸν τῷ δὲ εἰδικὸν καλείσθω· διδάσκω σε διαλέγεσθαι· δέομαί σου βοηθῆσαι· δίδωμί σοι πρίασθαι.

Λέγω Σωκράτην γεγονέναι σοφόν· οἶμαί σε πάντας ὁμολογήσειν. Προσκείσθω δὲ καὶ ἕτερόν τι εἰς αἰτιατικὴν κοινότερον· διδάσκω σε χρόνον συχνόν

προσίεται τὸ παράπαν.

Μέσων καὶ αὐτοενεργητικῶν.

Ἀνάπαλιν δὲ τὰ μέσα καὶ αὐτοενεργητικά. τούτοις γὰρ ἀπαράδεκτον τὸ λῆγον εἰς ω. βιάζομαι. μάχομαι. δῆλον οὖν ὅτι παντὸς παθητικοῦ εἰς μαι λήγοντος ἐνεργητικόν ἐστι παραδέξασθαι, ἐὰν μὲν τὰ τῆς λέξεως καὶ τὰ τῆς συντάξεώς τε καὶ διανοίας σώζηται. οἷον φιλῶ σε, ὅτι φιλοῦμαι. ἔχει δὲ ἄρα ἅπαντα πλῶσιν προϋφισταμένην. ἐκ πρώτου ὀρθήν. ἢ καὶ συμφέρεται ἤτοι λεγομένη ἢ νοουμένη ἀπὸ πάσης κλίσεως καὶ ἀριθμοῦ καὶ προσώπου καὶ χρόνου. πλὴν τῶν ἀπαρεμφάτων. ταῦτα γὰρ αἰτιατικὴν περιέχει.

Συμπλοκὴ λόγου.

Ἡ γοῦν ἐν συντάττεται ἑνί. οἷον Σωκράτης. φιλοσοφεῖ. ἢ ἐν δυοῖν. Σωκράτης καὶ Πλάτων φιλοσοφεῖ.

Τοῦτο δὲ ἤτοι φύσει ἢ σχήματι. φύσει μὲν ἐὰν τὸ ῥῆμα προτάττηται ἢ μεσοσυλλαβεῖ ἑνικῶς. οἷον φιλοσοφεῖ Σωκράτης καὶ Πλάτων. Σωκράτης φιλοσοφεῖ καὶ Πλάτων.

Σχήματι προεπιζευκτικῷ.

Σχήματι δὲ προεπιζευκτικῷ, ἐὰν πληθυντικῶς. φιλοσοφοῦσι Σωκράτης καὶ Πλάτων. Σωκράτης φιλοσοφοῦσι καὶ Πλάτων. ἔτι φύσει ἐὰν ὑποτάττηται πληθυντικῶς Σωκράτης καὶ Πλάτων φιλοσοφοῦσι.

Σχήματι ὑποζευκτικῷ.

Σχήματι δὲ ὑποζευκτικῷ, ἐὰν ἑνικῶς. Σωκράτης καὶ Πλάτων φιλοσοφεῖ. ὡς ἀπαιτεῖταί πως τὸ πολλά

κεῖ. τὸ δὲ, ὡς παθητικὸν· οἷον λέγεται. Συμπάντων δὲ τῶν ῥημάτων τὰ μὲν, κατ' εἰς τομὴν θεωρεῖσθω ἔξωθέν τι λαμβάνοντα. τὰ δὲ κατὰ ἐκτομὴν οἴκοθεν προσλαμβάνοντά τι. τὰ δὲ καὶ παρέκτασίν τε καὶ ὑπουργίαν. καὶ τὰ μὲν, ἀμεταβάτως. τὰ δὲ μεταβατικῶς. καὶ τὰ μὲν τελείως. τὰ δὲ ἁπλῶς. Σύνταξις δὲ τῶν ἐνεργητικῶν, ὥς τε τὴν ἐνέργειαν ἐπί τι διαβιβάζεσθαι ὑποκείμενον. οἷον τέμνω τὸν λίθον. καὶ ἰατρεύω τὸν νοσοῦντα. οἷς δὴ καὶ τὸ παθητικὸν ἐκ προϋφισταμένης διαθέσεως ἐνεργητικῆς ἐπιφέρεται. ἰατρεύεται. ὁ νοσῶν. τέμνεται ὁ λίθος.

Οὐδετέρων.

Θ ὐκ ἔτι δὲ καὶ τὰ οὐδέτερα ὁμοίως τοῖς ἐνεργητικοῖς. τὸ γὰρ ὑπάρχω. καὶ ζῶ. καὶ φρονῶ. καὶ πλουτῶ. καὶ ὑγιαίνω. καὶ τῶν τοιούτων. ἡ παθητικὴ διάθεσις κεχωρισμένη ἐστίν. ἐπεὶ οὐ διὰ τῆς ὁριστικῆς τούτων ἐγκλίσεως ἐνεργοῦντα ἅπα καὶ πρὸς διατιθέντα παρίσταται. ὡς τ' εἴ τις τὰ τοιαῦτα κλίνει εἰς παθητικὰς προφορὰς, μελέτημα φωνῆς οὐ φυσικήν τινα καὶ συστατικὴν κλίσιν ποιεῖται οἷον εἰ καὶ ἀρσενικὸν τὸ γαλουχήσασα. καὶ ἐκτρόσασα λέγοι ἢ ἑτέρου τούτων κατὰ φωνὴν μὲν συμπιπτόντων ἐν παραδοχῇ δὲ λόγου μὴ δυναμένων. τὰ μὲν οὖν οὐδέτερα αὐτὸ μόνον ἐμφαίνει ὁριστικῶς τοῦ εἶναι τὸ σημαινόμενον. οἷον τὸ ζῆν. ἢ φρονεῖν, ἢ γηρᾶν. καὶ τὴν εἰς μαι κατάληξιν οὐ

εἰς ἕξ. ὁ μὲν ἐνεστὼς, τὸ ἐνιστάμενον σημαίνει καὶ ἀτελές. Ὁ δὲ παρατατικὸς, τὸ παρατεταμένον καὶ ἀτελὲς τοῦ παρῳχημένου. Ὁ δὲ μέλλων τὸ μήπω γεγονός. Ὁ δὲ ἀόριστος, τὸ παρεληλυθὸς μὲν καὶ τέλειον, οὐχ ὡρισμένον δὲ τὰ περὶ τὴν ἐνέργειαν ἢ τὸ πάθος. Ὁ δὲ παρακείμενος, τὸ παρεληλυθὸς ἄρτι καὶ ἐντελὲς τοῦ ἐνεστῶτος.

Ὁ δ᾽ ὑπερσυντέλικος, τὸ παρεληλυθὸς ἄρτι καὶ ἐντελὲς τοῦ παρακειμένου.

Διαίρεσις ῥήματος.

Διαιρείσθω δὲ τὸ ῥῆμα καὶ αὖθις πλέον ὡδί. τὸ μὲν γάρ τοι προσωπικόν. οἷον λέγω. τὸ δ᾽ ἀπρόσωπον. οἷον χρή. προσωπικοῦ δ᾽ αὖ τὸ, μὲν, ἐνεργητικόν. τὸ δὲ, παθητικόν. τὸ δὲ, οὐδέτερον. οἷον ζῶ. καὶ τὸ μὲν, μέσον. οἷον, βιάζομαι. τὸ δὲ, αὐτοενεργητικὸν μάχομαι. τὸ δὲ, αὐτοπαθητικὸν, πάσχω. καλείσθω δὲ καὶ ἕτερόν τι ὁλοενεργητικὸν ἐν τοῖς οὐδετέροις. οἷον τὸ ἀναβαίνω. καὶ τρίτον αὐτοουδέτερον. οἷον τὸ πλουτῶ ὥσπερ αὖ πάλιν καὶ ὁλοπαθὲς ἕτερόν τι τῷ αὐτοενεργητικῷ ἀντιδιαιρούμενον κατὰ γένος τὸ ἐπίμεσον ἢ ἐπίκοινον. καλῶ γὰρ ἐπίμεσον καὶ ἐπίκοινον, τὸ παθητικὸν μὲν ἀεὶ ἔχον φωνὴν, σημασίαν δὲ, τῇ μὲν ἐνεργητικὴν, οἷον μάχομαι. τῇ δὲ παθητικὴν, οἷον γίγνομαι.

Ἔτι τῶν οὐδετέρων. τὸ μὲν, ὑπαρκτικόν. τὸ δὲ, οὔ. καὶ τὸ μὲν, τέλειον. τὸ δὲ, ἀτελές. Ἔστι δὲ καὶ τοῦ ἀπροσώπου τὸ μὲν, ὡς ἐνεργητικόν. οἷον, προσή-

Κλητική.

Η δὲ κλητική, ἀπὸ τὸ καλεῖν τινα καὶ ἐπιστρέφειν, ἀμεταβάτως τοῖς δευτέροις τῶν ῥημάτων προσώποις συντασσομένη. ὦ πολύαιν' Ὀδυσσεῦ μέγα κῦδος ἀχαιῶν.

Ἀνθυπαλλαγή.

Ἀναμερισθέντων δὴ τῶν ὀνομάτων εἰς τὰς πέντε πτώσεις τὰς ἀνθυπαλλαγὰς τῶν πτώσεων, ἢ παραδεχόμεθα ὡς σχήματα ἀπὸ διαλέκτου τινὸς συνηθέστερον τὸ τοιοῦτο ἐνδειξαμένης, ἢ ἀπαραδέκτους ποιούμεθα ὡς ἀκαταλλήλους. ἀττικῶν μὲν γὰρ τὸ τὴν εὐθεῖαν λαμβάνειν ἀντὶ κλητικῆς. μακεδονικὸν δὲ ἢ θεσσαλονικὸν τὸ ἀνάπαλιν. αὐτὰρ ὁ αὖτε θυέστ' ἀγαμέμνονι λεῖπε φορῆναι, πολλῇσιν νήσοισι καὶ ἄργεϊ παντὶ ἀνάσσειν. ἔνθα γε μὴν ἡ κλητικὴ καὶ εὐθεῖα συνεμπίπτει, οὐδετέραν εἰς ἔλεγχον τοῦ σχήματος ἔστι λαμβάνειν, ὡς εἴρηται.

Περὶ ῥήματος.

Τὸ δὲ ῥῆμα. ἔστι μὲν λόγου μέρος προσώπων τε διακριτικὸν καὶ χρόνων διαφόρων, προσσημαντικὸν κατὰ διαφόρους μετασχηματισμούς. τί δὲ ἐστιν ὁ χρόνος, πλέον ἂν εἴη κατὰ γραμματικὴν θεωρῆσαί τε καὶ ὁρίσασθαι. λαβεῖν οὖν καὶ τὸν χρόνον ὡς καὶ ἄλλα πολλὰ συγκεχυμένως χρῆναι φαμέν. ἀλλὰ μὴ περιεργάζεσθαι τὸν τῆς κινήσεως ἀριθμὸν κατὰ τὸ πρότερόν τε καὶ ὕστερον. πλέον γάρ τοι οὐδὲν εἰς τὸ παρὸν ἡ τοῦ διωρισμένου γνῶσις ἡμῖν συμβαλεῖται. Διῃρημένου δ' ἄρα τοῦ χρόνου

δὲ καὶ ἀπαρέμφατον τάπε κυρίως ἐπίθετα. καὶ τὰ διαφορικά. οἷος. καλὸς τὸ εἶδος. καὶ καλὸς ἰδεῖν. καὶ οἷος εἰπεῖν καὶ ἀκοῦσαι. Καὶ νομοθετοῦντες οὖν λέγομεν ἢ παραθετικῶς. ἢ διαφορικῶς. ἢ καθ' ὑπεροχὴν καὶ ὑποταγὴν. καὶ ἰσότητα τῶν πρός τι. ἢ συνεκδοχικῶς. Σύνταξις μὲν τοίνυν τῶν ὀνομάτων τοιαύτη πρὸς ἄλληλα.

Περὶ πτώσεως.

Πτῶσις δὲ, μεταβολὴ μὲν εἰς αὐτῆς ὀνόματος ἢ ὀνοματικοῦ τοῦ κατὰ τὸ τέλος. πέντε δὲ ἀριθμουμένων πτώσεων, ἡ πρώτη καὶ ὀρθὴ καταχρηστικώτερον λέγεται πτῶσις. τοῦτο γὰρ τὸ ὀρθὸν εἶναι καὶ πεπτωκὸς ἅμα οὐχ οἷόν τε. ὀνομάζεται δ' ἡ αὐτὴ καὶ εὐθεῖα καὶ ὀνομαστική. ἁρμόζει τε τῷ ὀρθῷ καὶ ἀποφαντικῷ λόγῳ. Γενική.

Τῶν δὲ τεσσάρων πλαγίων. ἡ μὲν γενική, γενεαλογίαις καὶ κτηματολογίαις συντέτακται. παῖδα γὰρ Σωκράτους εἶναι φαμέν. καὶ οἶκον Ἀριστοτέλους. ὅθεν εἴ τις καὶ κτητικὴν ταύτην καλεῖ οὐκ ἂν ἁμαρτάνοι. Δοτική.

Ἡ δὲ δοτικὴ τὴν τοῦ δίδοναι καὶ χαρίζεσθαι καὶ ἐπιστέλλειν καὶ καθόλου τὴν τοῦ περιποιεῖσθαι εἴληχε τάξιν. γλαῦκος Διομήδει ὅπλα ἐδεδώκει χρυσᾶ. φέρεκλος Ἀλεξάνδρῳ ἐναυπήγει.

Αἰτιατική.

Ἡ δ' αἰτιατική, αἰτιολογοῦσι μάλιστα ἥκει εἰς χρῆσιν. οἷον Σωκράτης ἀξιοῖ ἐπαινεῖσθαι δι' ἀρετήν.

καὶ ὁμοιοπτώτως φησὶ τὰ ἐπίθετα σύνταξιν ὁμοίαν ἔχει ὡς εἴρηται. ὅσα δὲ ἐπίθετα, δῆλον ὡς ταύτῃ καὶ τὴν συνθετικὴν λαμβάνοι ἂν σύνταξιν πρὸς τὰ κύριά τε καὶ προσηγορικά.

Ἔτι περὶ τῆς ἰδίων ὀνομάτων συν
ταξεως συνοπτικώτερον.

Εἰ δ᾽ ἂν καὶ εἰς τρία διελόντι τὸ ὄνομα. κύριον καὶ προσηγορικὸν καὶ ἐπίθετον. περὶ τῆς κατ᾽ αὐτὸ συντάξεως θεωρεῖν. πάντα γὰρ τἄλλα συντάσσοιτ᾽ ἂν συνθετικῶς τοῖς ὡς κυρίοις ἢ προσηγορικοῖς ὑποτιθεμένοις. καὶ κοινὸν μὲν ἂν εἴη τὸ ὁμογενῶς καὶ ὁμοιοπτώτως καὶ ὁμαρίθμως συμφέρεσθαι τοῖς κυρίοις καὶ προσηγορικοῖς.

Ἴδιον δὲ, τῶν μὴ ἀπολύτως, ἀλλὰ πρὸς ἕτερον λεγομένων τὸ, ἢ εἰς γενικήν. ἢ εἰς δοτικήν. ἢ εἰς αἰτιατικήν. ἢ εἰς ἀπαρέμφατον. τετραχῶς οὖν. ὧδε δέ. τὰ μὲν συγκριτικὰ καὶ ὑπερθετικὰ πάντα εἰς γενικήν. διαφέρει δὲ τῷ ὁμοιογενεῖ τε καὶ ἑτερογενεῖ. καὶ τῷ ἀριθμῷ ὡς εἴρηται. καὶ ἤδη τὸ μὲν ὑπερθετικὸν, καὶ χωρὶς γενικῆς. τὸ δὲ συγκριτικὸν, οὔ.

Ἔτι τε τὰ διαφορικὰ εἰς γενικήν. οἷον τὸ ἕτερον καὶ διάφορον. καὶ ἄλλο. καὶ ἴδιον πρός τι τὰ καθ᾽ ὑπεροχὴν καὶ ὑποταγήν. Καὶ τὰ στερητικά. πένης. ὀρφανός. ἐνδεής. Καὶ τὰ πληρωματικά. πλούσιος. εὔπορος. πλήρης. Καὶ τὰ ὡς κτητικὰ θεωρούμενα ὅλως. Τὰ δ᾽ ἐξ ἴσου τῶν πρός τι εἰς δοτικήν. φίλος. γείτων ἴσος. ὅμοιος. Εἰς αἰτιατικὴν

οἷον ἕσπερος ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται. ἀστήρ. τὸ γοῦν ἀστὴρ, ἀντὶ τοῦ ἀστέρων κατὰ μετάληψιν. Ἐπειδ' ἂν καὶ ἀπολύτως λεγόμενα ὑπερθετικῆς τυγχάνει συντάξεως, δι' ὑπεροχὴν ἐγκαταφέρουσαν ἀναφέρειν. οἷον τὸ δῖα. καὶ ἔξοχος, καὶ κορυφαῖος, καὶ μόνος. δῖα γὰρ θεάων, καὶ μόνος ἁπάντων, καὶ κορυφαῖος, καὶ ἔξοχος πάντων. Ἀνάπαλιν δ' ἐνίοτε τοῖς συγκριτικοῖς ἀντὶ ἀπλῶν θετικῶν ἐστι χρήσασθαι. καίτοι καὶ τοῦ θετικοῦ μετριώτερον βούλεσθαι ὁ λέγων δοκεῖ. Ὡς μὲν οὖν ὅλως εἰπεῖν, ἡ σύγκρισις ἐπὶ δυοῖν. ἐμφαίνεταί γε μὴν ἤτοι πρόσωπα μόνον, ἢ μετὰ τῶν προσώπων καὶ πρᾶγμα. εἰ μὲν γὰρ λέγοι τὶς ὅδε μοι γνωριμώτερος ἢ σὺ, τρία τὰ πρόσωπα. εἰ δὲ ὅδε ἐμοῦ ἰσχυρότερος, δύο μὲν τὰ πρόσωπα. ἐν δὲ τὸ πρᾶγμα ἡ ἰσχύς. ὥστε καλείσθω τὸ μὲν τῆς συγκριτικῆς συντάξεως, προσωπικόν. τὸ δὲ, πραγματικὸν διὰ ταῦτα.

Ὑποκοριστικά.

Τὰ δὲ ὑποκοριστικὰ, ἀπόλυτον ἔχει τὸ σχῆμα καὶ σημαινόμενον. μείωσιν γὰρ συγκρίτως δηλοῦντα τοῦ πρωτοτύπου. σύνταξιν δὲ τὴν αὐτὴν τοῖς κυρίοις καὶ προσηγορικοῖς πρὸς τὰ ἐπίθετα ἔχει. ὁμοιογενῶς γὰρ καὶ ὁμοιοπτώτως.

Παρώνυμα καὶ ῥηματικά.

Τῶν δὲ παρωνύμων καὶ ῥηματικῶν ἴδια ὀνομασθέντων, ὡς ἀπὸ ὀνόματος ἢ ῥήματος ἐσχηματισμένων, ὅσα μὴ ἐστι κύρια ἢ προσηγορικὰ, ὁμοιογενῶς

ὑπερθετικόν. ὡς ἂν εἰ λέγοι τις, ἄριστα τῶν ἄλλων ἑ-
αυτοῦ λέξεων. Καὶ τὰ μὲν, οὐ μόνον πρὸς ὁμοφυ-
ἐς ἢ ὁμότεχνον ἢ συγγενές· ἀλλὰ καὶ πρὸς ἑτερο-
γενές. Διονύσιος εὐφυέστερος Δίωνος. Ὅμηρος
Ὀρφέως σοφώτερος. Δημοσθένης αἰσχίνου δεινό-
τερος. Διομήδης ἥττων ἀχιλλέως. αἴας ἰσχυρότε-
ρος τρώων. Τὰ δ᾽ ὑπερθετικὰ πρός τι τῶν ὁμοί-
ων καὶ συγγενῶν ἀεί. Ἕκτωρ ἀνδρειότατος τρώ-
ων. τὸ δ᾽ ὁμήρου πρώτιστος καὶ τρίτατος σχῆμα μό-
νον ὑπερθετικοῦ ἔχει. Καὶ τὰ μὲν συγκριτικά,
καὶ τοῦ ἢ μεσοσυλλαβοῦντος, καὶ μετ᾽ αὐτὸ ἁπλῶ-
σεως ἧς καὶ τὸ συγκριτικὸν ἦν, ἐπαγομένης συν-
τάσσεται. οἷον ἀρείοσιν ἠέπερ ὑμῖν ὡμίλησα, καὶ
ἔτι μᾶλλον τὸ ἢ τῆς κατὰ σὺν αἰτιατικῇ προσκειμέ-
νης. πλέον ἢ κατὰ ἄνθρωπον. καὶ μᾶλλον τὸ ὡς ἔσθ᾽ ὅτε
οἷον ὡς κατὰ ἄνθρωπον. καὶ μὴν πρὸς ἀπαρέμ-
φατον λέγεται μεσοσυλλαβοῦντος ὅτε μὲν τοῦ ἢ
καὶ ἅμα τοῦ ὥστε ἀποστατικοῦ, ὅτε δὲ τοῦ ἢ μόνου.
οἷον τὸ νόσημα μεῖζον ἢ φέρειν, καὶ ἢ ὥστε δύνα-
σθαι φέρειν. Ἔτι τὰ μὲν ὑπερθετικὰ μεγίστην ἐπί-
τασιν ἔχοντα. οὐδὲν τῶν ἐπιτακτικῶν δέχεται ἐπιρ-
ρημάτων. οἷον λίαν, ἢ μάλιστα, ἢ τοιοῦτό τι. τὰ δὲ συγ-
κριτικὰ ἅτε μὴ τὴν πλείστην ἐπίτασιν ἔχον-
τα, ἔσθ᾽ ὅτε δευτέραν ἐπιρρηματικὴν προσλαμ-
βάνει ἐπίτασιν. οἷον τὸ ὁμήρου. πολὺ παυρότεροι
καὶ ῥηΐτεροι δὴ μᾶλλον ἔσεσθε. Ἔτι τοῦ ὑπερθετικοῦ
ἐστὶν ὅτι καὶ πρὸς οὐδεμίαν ἀποδίδοται γενικήν.

τῶν κυρίων ἢ προσηγορικῶν. συντάσσεται δὲ καὶ ταῦτα ὡς τὰ ἐπίθετα ὁμοιοπτώτως καὶ ὁμοιογενῶς τοῖς κυρίοις καὶ προσηγορικοῖς τήν τε σύνταξιν τοῦ ἄρθρου, ὁμοίως ἕξει τοῖς ἐπιθέτοις. ἡ ἰωνικὴ στολή. ἡ στολὴ ἰωνική. καὶ μεταλαμβανόντι τὸ ἰωνικὸν τῆς στολῆς. ἀνάλυσίς τε εἰς τὴν τοῦ πρωτοτύπου γενικήν. τελαμώνιος υἱός. Τελαμῶνος υἱός. τὸν ἐμὸν φίλον. τὸν φίλον μου. πλατωνικὴ δόξα. Πλάτωνος δόξα.

Συγκριτικὰ καὶ ὑπερθετικά.

Τ τὰ δὲ συγκριτικά τε καὶ ὑπερθετικὰ κοινῇ μὲν πρὸς τὰ ὑποκείμενα προσηγορικά τε καὶ κύρια ὧν κατηγορεῖται, συντάσσεται ὡς τὰ ἐπίθετα ὁμοιογενῶς καὶ ὁμοιοπτώτως. πρὸς ἃ δὲ ἔχει τὴν σύγκρισιν γενικὴν ἀπαιτεῖ. ἀχιλλεὺς ἰσχυρότερος Αἴαντος, καὶ ἰσχυρότατος ἑλλήνων. Διαφέρει δὲ ἢ τὰ μὲν, οὐ μόνον ἑνικοῦ ἀλλὰ καὶ πληθυντικοῦ εἴληχε γενικήν. τὰ δ' ὑπερθετικὰ, πληθυντικοῦ μόνον. συγκριτικὸν μὲν γὰρ τὸ κατ' ἐπίτασιν ἢ πρὸς ἐνλαμβανόμενον ἢ πρὸς πλείω. Σωκράτης Μελίσσου σοφώτερος, καὶ ἑτέρων ἐνδόξων.

Υ ὑπερθετικὸν δὲ τὸ κατ' ἐπίτασιν πρὸς πλείω ἀεί. σωκράτης ἑλλήνων σοφώτατος. τὸ δ' ἄριστα ἑαυτοῦ διαλεχθῆναί τινα, λέγεται μέν. οὐ πρὸς τὸ πρόσωπον δὲ οὗ ἡ γενική, ἡ παράθεσις, ἀλλὰ πρὸς τὰς ἄλλας αὐτοῦ διαλέξεις. ὅλως οὖν ἀλλ' ἀπλαὰ εἰ τῶν περὶ τὸ πρόσωπον θεωρητέον. ἐν γὰρ τοῖς τοιούτοις τὸ ὑ/

Τακτικά.

Καὶ τὰ τακτικὰ δέ, οἷον τὰ σημαντικὰ τάξεως, ὁμοιογενῶς τε καὶ ὁμοιοπτώτως τοῖς κυρίοις καὶ προσηγορικοῖς συντάσσεται. ὁ πρῶτος θεός. ἡ πρώτη οὐσία. τὸ πρῶτον εἶδος.

Μετουσιαστικά.

Τὰ δὲ μετέχοντα οὐσίας τινός, καὶ ταύτῃ καλούμενα μετουσιαστικὰ πρὸς τὰ κύρια. καὶ προσηγορικὰ τὴν σύνταξιν καὶ αὐτὰ ἔχει ὡς τὰ ἐπίθετα. ξύλινος πίναξ. ὀστράκινον σκεῦος. ὁμοιογενῆ τε ἐστὶ καὶ ὁμοιόπτωτα τοῖς ὑποκειμένοις. οὕτω μὲν καὶ τὰ κατὰ σημασίαν εἴδη.

Πατρωνυμικά.

Τῶν δὲ κατὰ φωνὴν τὰ μὲν ἀπὸ πατρὸς καὶ προγόνων ἐσχηματισμένα, καὶ πατρωνυμικὰ διὰ τοῦτο καλούμενα, κύριά τε δυνάμει ἐστί. ὅθεν δὴ καὶ σύνταξιν τὴν αὐτὴν τοῖς κυρίοις ἔχει πρὸς τὰ ἐπίθετα. οἷον πηλείδης γενναῖος, καὶ συντάσσειν δὲ τοῖς πατρωνυμικοῖς ἔξεστι τὰ κύρια τῶν παίδων αὐτῶν ὀνόματα τοῦ σαφοῦς χάριν. ἔνθα κοινὸν πλείοσιν ἡ πατρωνυμία. οἷον ἀτρείδης Μενέλαος. ὁ Πριαμίδης ἕκτωρ.

Κτητικά.

Οὐ μὴν δὲ καὶ τὰ ὑποπεπτωκότα τῇ κτήσει ὡσαύτως. ἐμπεριείληπται γὰρ τοῖς τοιούτοις τὸ κεκτημένον. ἀλλ' ἀνάγκη προσυπακούεσθαί τι. εἰ γάρ τις λέγων ἀνθρώπινον, μὴ ἐπιφέροι σῶμα ἢ τοιοῦτό τι, ἀτελὲς ἄν τι φράζοι. δεῖ τοίνυν προστιθέναι τι,

μασία, οὕτω καὶ τῇ φωνῇ, δυϊκοῖς τε καὶ πληθυντικοῖς συντάσσεται ῥήμασιν. τὸ μὲν, διὰ τὴν φυσικὴν σημασίαν, τὸ δὲ, διὰ τὸ ἐμπεριέχεσθαι τῷ πληθυντικῷ ἀριθμῷ τὸ ἓν καὶ τὰ δύο. ἄμφω οὖν τρέχετον λέγομεν. καὶ ἄμφω τρέχουσι. Καὶ μὲν δὴ καὶ περὶ ἅπασαν λέξιν ἐπιδεικτικὴν ἀριθμοῦ χρώμεθα τῷ πληθυντικῷ πολλάκις. ὅταν εἷς λέγοι αὖ ἡμεῖς ἐγράφομεν. ἀλλὰ πάλιν γε μὴν ἑνικοῖς χρῆσθαι ἢ δυϊκοῖς ἀντὶ πληθυντικῶν, φαῦλον. τὸ δ' ὁμήρου, μήπως ὡς ἀψῖσι λίνου ἁλόντε πανάγρου ἀνδράσι δυσμενέεσσιν ἕλωρ καὶ κύρμα γένησθε, σχῆμα ποιητικόν ἐστι καὶ τῷ πεζῷ λόγῳ ἄχρηστον. οὐ μὴν ἀλλ' οὐδὲ δυϊκῷ πρὸς ἑνικὸν χρώμεθα, δυάδος γάρ τοι σημαντικὸν ἀεὶ τὸ δυϊκόν.

Τὰ μὲν δὴ περιληπτικὰ ταῦτα προσηγορικὰ ὄντα, ὁμοιογενῶς τε καὶ ὁμοιοπτώτως σφίσι τὰ ἐπίθετα σχηματίζει. ὁ δυστυχὴς δῆμος. ἡ δυσδαίμων πληθύς.

Ἐπιμεριζόμενα.

Τῶν δ' ἐπιμεριζομένων τετραχῶς σχηματιζομένων τὸ μὲν εἷς ἐκ δύο. ὡς ἕτερος δύο καθ' ἕνα, ὡς ἑκάτερος εἷς ἐκ πολλῶν, ὡς ἄλλος πολλοὶ καθ' ἕνα, ἕκαστος. ἕτερον καὶ ἄλλο ἐπιδέχεται ἄρθρον. τὸ δ' ἑκάτερον καὶ ἕκαστον, οὔ. πάντα δέ τοι πρὸς γενικὴν ἢ κτητικῶς ἢ διαφορικῶς. οἷον ἕκαστον τῶν ζώων. ἕτερον τοῦ λίθου ἐστίν. συνθετικῶς μέντοι καὶ ταῦτα. ὁμοιογενῶς καὶ ὁμοιοπτώτως συντάσσεται τοῖς κυρίοις καὶ προσηγορικοῖς.

Ηγεῖται μὲν δι᾽ ἀλλήλων ἐν τῇ συντάξει καὶ ἀνα/φέρεται ὡς εἴρηται. οἷον αὐτὸς ὅσον ἥσσων εἰμὶ, τό/σον σέο φέρτερος εἰμί. καὶ ἀλλ᾽ οὗτοι οἱ ἦσαν ὅσοι ἑλίκωπες ἀχαιοί. καὶ χωρὶς δὲ ἀναφορικοῦ λαμ/βάνεται τὰ αὐτὰ προθετικὰ ἀπολύτως, ἤτοι ἀποστη/ματικῶς ἢ θαυμαστικῶς. τοίην κεφαλὴν προθέω. πολλῷ δὲ μᾶλλον τὰ ἀναφορικὰ, δίχα τῶν αὐτὰ προθετικῶν. συμφορῶν γὰρ πεπείραται οἵων οὐ/δεὶς φαμέν. καὶ σοφοῖς ἐνέτυχεν οἵοις οὐδείς. καὶ πολέμους διήνυσεν ὅσοις οὐδείς.

Περιληπτικά.

Τὰ δὲ περιληπτικὰ, οἷον τὰ δι᾽ ἑνικοῦ ἀριθμοῦ πλῆ/θος σημαίνοντα, ἑνικοῖς καὶ πληθυντικοῖς συντάσ/σεται ῥήμασιν. ὁ δῆμος εἶπεν. καὶ ὁ δῆμος εἶπον καὶ τοι τἆλλα πάντα τῶν ὀνομάτων ἑνικῶς μὲν προφερόμενα, ἑνικοῖς συντάσσεται ῥήμασι. δυϊ/κῶς δὲ, δυϊκοῖς. πληθυντικῶς δὲ, πληθυντικοῖς. πλὴν τῶν ἀττικῶς συντασσομένων ἑνικοῖς οὐδετέ/ρων πληθυντικῶν. ἀττικοὶ γὰρ τὰς πληθυντικὰς τῶν οὐδετέρων ὀνομάτων εὐθείας ἑνικοῖς συντάσσου/σι ῥήμασι. παίζει τὰ παιδία. Καὶ ἢ δὲ ἄττα τῷ μὲν σχηματισμῷ πληθυντικὰ, τῇ δὲ σημασίᾳ ἑνι/κὰ ἢ δυϊκὰ, ταῦτα τῷ μὲν σημαινομένῳ ῥήμασιν ἑ/νικοῖς ἢ δυϊκοῖς, οὐ χρὴ συντάττειν. τῷ δὲ σχημα/τισμῷ πληθυντικοῖς. ἀθῆναι φιλοσοφίᾳ διέπρε/πον. οὐ διέπρεπε. καὶ ἀμφότεροι γράφουσιν. οὐ γράφετον. τὸ δ᾽ ἄμφω καὶ δύο δυϊκῶς ὡς τῇ ση/

τεῖ. βούλει, εἶπω. Ἀόριστα.

Καὶ τὰ μὴ δηλοῦντα δὲ ὡρισμένως μηδὲν, καὶ διὰ τοῦτο ἀόριστα προσαγορευόμενα, οὐ συντάσσεται ἄρθροις. ὅς τις. ὁποῖος. ὁπότερος. τὶς ἐγκλινόμενον. τὸ δ' ἐν τούτοις ἀρκτικὸν ὄν, οὐκ ἄρθρον, ἀλλὰ λέξεως μέρος.

Ἀναφορικά.

Τὰ δὲ ἀναφορικὰ, καὶ αὐτὰ ὡς τὰ πευστικὰ καὶ ἀόριστα ἐπί τε ποσοῦ καὶ ποιοῦ λέγεται τοῖς τε κυρίοις καὶ προσηγορικοῖς συντάσσεται. ὁμοιογενῶς καὶ ὁμοιοτρόπως, καὶ ὁμοιώσεως ἢ δείξεως ἕνεκα.

Ἐστὶ δ' ὅτε καὶ θαυμαστικῶς προφερόμενα. καλεῖται δ' οὕτω διὰ τὸ τὴν διάνοιαν ἐπὶ τι ἀναφέρεσθαι τῶν προεγνωσμένων. συμβαίνει γὰρ τὸ τοιοῦτο ὅταν τις λέγῃ τοιοῦτος ἦν ἀχιλλεὺς, οἷος αἴας.

Ταῦτα μὲν οὖν εἴη ἂν ἀνταπολιτικά του τῶν προεγνωσμένων, καὶ ὁμοιωματικά.

Δεικτικά. ἀνταποδοτικά.

Ἐξέστω δέ τοι ταυτὰ καὶ δεικτικὰ καὶ ἀνταποδοτικὰ ὀνομάζειν. ὅτι πολλάκις χρώμεθα τοῖς τοιούτοις δεικνύομεν ὁρῶντες τὶ ὅμοιον. καὶ ὅτι πρὸς ἄλληλα ἀνταποδίδοται ἡγούμενα καὶ ἑπόμενα.

Κυρίως δ' ἀνταποδοτικὰ, τὰ ἔχοντα τὸ τ ἀρκτικόν. τοιοῦτος. τηλίκος. τόσος. ἃ δὴ καὶ τῷ δὲ ἐπεκτείνεται. τοιός δε. καὶ ἄρθροις συντάσσεται. τάγε μὴν ἀπὸ φωνήεντος ἀρχόμενα, οὐ συντάσσεται ἄρθροις. οὐ γὰρ ὁ οἷος λέγομεν. οὐδὲ ὁ ὅσος.

Ὡς πρός τι.

Τὰ δὲ ὡς πρός τι. οἷον τὰ ἀμέσως ἀντικείμενα, διεζευγμένως ἀλλήλοις συντάσσεται. ἤτοι ἡμέρα ἐστὶν ἢ νύξ. ἢ φῶς, ἢ σκότος, ἢ ζωὴ, ἢ θάνατος, ἢ νόσος, ἢ ὑγίεια.

Πευστικά.

Τὰ δὲ πευστικά. οἷον τὰ ἀπόκρισιν ὡρισμένως ἐκζητοῦντα, ἥκιστα ἄρθροις συντάσσεται ἐπ' ἐρωτήσει ἀρκτικῇ λόγου. ὅτι τὸ μὲν πύσμα ἀγνοοῦντος. τὸ δὲ ἄρθρον ἀναφέροντος. τίς. ποῖος. πότερος. πόσος. πόσος. πηλίκος. ποδαπός. πόσαιος. ἐπ' ἀντιρωτήσει δέ τοι τοῦ εἰρημένου καὶ ἐνάρθρως ἔσθ' ὅτε. οἷον τὰ ποῖα λέγεις; τὸν τίνα; καὶ ὁ τίς ἐρωτᾷς; συντάσσεται δὲ τὰ ἐρωτηματικὰ ταῦτα καὶ μάλιστα τὸ τίς, τῶν ῥημάτων τοῖς ὑπαρκτικοῖς τε καὶ κλητικοῖς, ἐπαγομένου τε ὀνόματος, καὶ εἰ αὐτωνυμία ἐκ τρίτου πρόσκειται. τίς ἐστιν οὗτος; ἢ τίς οὗτος καλεῖται; ὅτι Σωκράτης, καὶ ἐλλειπτικῶς τοῦ ὑπαρκτικοῦ. τίς οὗτος; εἴγε μὴν τὸ τίς τάττηται μόνον, παντὶ ῥήματι συντάσσεσθαι δυνατὸν ἂν εἴη. τίς βαδίζει; τίς διαλέγεται; καὶ εἰ μὲν αὐτωνυμία ἀποδοθείη, ἥκιστ' ἂν ἐπερωτήσεως δέοι. οἷον τίς γράφει; ἐγώ. εἰ δ' ὄνομα, ἔτι δεῖ ἐρωτήσεως ἑτέρας διὰ τὸ τοῦ ὀνόματος ὁμώνυμον καὶ ἄλλως πολύσημον. τίς γράφει; Ησαΐας. τίς Ησαΐας; ὁ Νικολάου. Διαπορητικῶς δὲ ἐρωτῶν, πρὸς ὑποτακτικὸν συντάξεται. πότερον σιωπῶ; τί λέγω; ὅλως τε ἡ ἐρώτησις, ὑποτακτικὸν τοῦ ῥήματος ἀπαι-

τὰ ἴχθυ. Συμπαρειλήφθω δὲ τούτοις καὶ τὰ ὁμώνυμα ὧν ὄνομα μὲν κοινόν· ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας διάφορος. Καὶ τὰ συνώνυμα· ὧν τό, τε ὄνομα καὶ ὁ λόγος κοινόν. Καὶ τὰ ἔθνους δηλωτικά. Καὶ τὰ περιεκτικὰ οἷον τὰ ἅμα δηλοῦντα τὸ περιέχον καὶ τὸ περιεχόμενον· οἷον δαφνών· κοιτών. Καὶ τὰ μιμητικὰ πρὸς τὰς τῶν ἤχων ἰδιότητας πεποιημένα. Καὶ πρὸς τούτοις τὰ γένους ἢ εἴδους σημαντικά. Καὶ τὰ ἀπολελυμένα. οἷον τὰ καθ' ἑαυτὰ νοούμενα. θεός. λόγος.

Περὶ δὲ τῶν λοιπῶν κατὰ σημασίαν εἰδῶν ἥν τινα σύνταξιν ἔχει· λέγωμεν. Τὰ μὲν οὖν πρὸς ἕτερον ἀεὶ θεωρούμενα, καὶ διὰ τὴν τοιαύτην σχέσιν ὀνομαζόμενα πρός τι, καθ' ὑπεροχὴν μὲν ὄντα ἢ καθ' ὑποταγήν, ἀπ' εὐθείας εἰς γενικήν, τῶν πρὸς ἃ ἡ σχέσις ἀποδίδοται. οἷον πατήρ, υἱοῦ. δοῦλος, δεσπότου. διπλάσιον ὑποδιπλασίου. Ὡσαύτως δὲ καὶ κατὰ διαφορὰν λεγόμενα. οἷον ἄλλο. ἕτερον. διάφορον. καλείσθω δὲ διαφορικά. ἐξ ἴσου δὲ ὄντα, ἀπ' εὐθείας πρὸς δοτικήν. ὡς τὸ φίλος τῷ δεῖνι. καὶ ἴσος. καὶ γείτων. καὶ ὅμοιος. καὶ ὁ αὐτός. καὶ ὁ ἐναντίος. καὶ ὅσα ἐκ τοῦ ὁμοῦ ἢ τῆς σὺν τυγχάνει συγκείμενα. οἷον ὁμοούσιος. ὁμοφυής. σύμψηφος. σύνεδρος. Τὸ δὲ πρὸς γενικὴν ταῦτα συντάσσειν κτητικοῦ ἂν εἴη, οὐ τοῦ πρός τι ἐτύμου. ὡσαύτως δὲ καὶ τὰ ἀπὸ τοῦ ὁμοίου καὶ ἴσου. καὶ τῶν τοιούτων. οἷον ὁμοιοσχήμων. ἰσοπαλής.

Ἐπίθετον.

Ἐπίθετον δέ, τὸ κατὰ κυρίων ἢ προσηγορικῶν λεγόμενον. οἷον ἀνδρεῖος. ταχύς.

Σύνταξις ἐπιθέτου.

Τοιοῦτο δ' ὂν τὸ ἐπίθετον, οὐ μόνον ὁμογενῶς τε καὶ ὁμοπτώτως καὶ ὁμοαρίθμως τοῖς κυρίοις καὶ προσηγορικοῖς πρόσκειται· ἀλλὰ καὶ πλαγίως συντάσσεται ὀνομάτων ἑτέρων αἰτιατικῇ. ἡ γὰρ τῆς δοτικῆς χρῆσις οὐ πάνυ τοι ἀκριβής. ὑγιὴς οὖν τὸ σῶμα καὶ λευκὸς τὴν τρίχα. καὶ πυρὸς τοὺς ὀφθαλμούς.

Ἐνάρθρως.

Καὶ τὰ μέν, ἐνάρθρως. τὰ δέ, ἀνάρθρως. ἐνάρθρως μέν, ἔνθα ἡ τοῦ ὑπαρκτικοῦ μετοχὴ ἀπαιτοῦσα. οἷον ἀγαθὸς Σωκράτης φιλοσοφεῖ. ὁ Σωκράτης ὁ ὢν ἀγαθός. ὥστε εἰ καὶ τὸ κύριόν γε προτάττοιτο, οὐδ' οὕτως ἄνευ ἄρθρου τὸ ἐπίθετον λέγοιτ' ἄν, ὁ Σωκράτης γάρ τοι ὁ ἀγαθὸς φαμέν, ἑκατέρῳ τῶν ὀνομάτων ἄρθρον συντάττοντες. οὕτω γὰρ συμβαίνειν ἀνάγκη προηγουμένου τοῦ κυρίου ἢ προσηγορικοῦ. Ἀνάρθρως δ' ἔτι προφέρεται, ἔνθα τὸ ὑπαρκτικὸν αὐτὸ ῥῆμα μόνον, ἢ λεγόμενον, ἢ νοούμενον Σωκράτης ἀνὴρ ἀγαθός. Ἀριστοτέλης σοφός. ταῦτα γε μὴν καὶ εἰς ἔναρθρον γενικὴν πληθυντικοῦ μεταβάλλειν οὐδὲν ἂν κωλύοι. Σωκράτης τῶν ἀγαθῶν ἦν. Ἀριστοτέλης τῶν σοφῶν.

Τὰ μὲν οὖν κύριά τε καὶ προσηγορικὰ ὁμοιογενῶς τε καὶ ὁμοιοπτώτως καὶ ὁμοιαρίθμως σφίσι τὰ ἐπίθετα ἔχει.

καθ᾽ ἕκαστα ἔσται δῆλον. Τὶ τὸ δεῖ συντάττειν.

Δ ἴσως καὶ εἴη ἂν τὸ δεῖ συντάττειν, καταλλήλως ἐπιπλέκειν πρὸς ἄλληλα τὰ τοῦ λόγου μέρη. ὡς ὁ λόγος ὁ ὀρθὸς λέγει, καὶ τοὐναντίον τὸ σολοικίζειν. ἁμαρτία γὰρ περὶ σύνταξίν τι καὶ φράσιν ὁ σολοικισμός. τὸ δὲ ὀρθὸν ἐν τοῖς παρ᾽ ἐνδοξοτέροις τῶν λογίων ὡς ἐπὶ τὸ πολὺ λεγομένοις. ἐκ τούτου γὰρ καὶ περὶ τούτου ἡ γραμματικὴ θεωρία καὶ μέθοδος.

Περὶ ὀνόματος.

Τ ῶν δὲ τοῦ λόγου μερῶν τὰ πρωτεῖα εἴληχε τοὔνομα καὶ ῥῆμα. τῶν μὲν γὰρ ἄλλων χωρὶς γίγνοιτ᾽ ἂν λόγος τέλειος. ἄνευ δὲ τουτωνὶ οὐκ ἂν γίγνοιτο. διαφερέτω δὲ μηδὲν ὄνομα λαβεῖν ἢ ἀντωνυμίαν.

Ορος ὀνόματος.

Ε στὶ δὲ τοὔνομα μέρος λόγου πτωτικὸν σημαντικὸν ἄνευ χρόνου. εἴδη δὲ τούτου τὰ μὲν, κατὰ φωνήν. τὰ δὲ, κατὰ σημασίαν. κατὰ μὲν φωνὴν πρωτότυπον καὶ παράγωγον. κατὰ δὲ σημασίαν, κύριον. προσηγορικόν. ἐπίθετον. καὶ ὅσα εἴρηται πρότερον. διῄρηται δὲ καὶ τὰ τοῦ παραγώγου. εἰς πατρωνυμικόν. κτητικόν. συγκριτικόν. ὑπερθετικόν. ὑποκοριστικὸν παρώνυμον, καὶ ῥηματικόν. Κύριον.

Ε στὶ δὲ κύριον τὸ τῆς πρώτης καὶ κατὰ μέρος οὐσίας σημαντικόν. οἷον Σωκράτης, Πλάτων.

Προσηγορικόν.

Π ροσηγορικὸν δὲ, τὸ τῆς δευτέρας καὶ καθόλου οὐσίας. οἷον ἄνθρωπος. ἵππος.

νος ἢ καθόπου οὖν ἀφίσασθαι τοῦ ἀκαταλλήλου. οἷον σοφὸς ἡ θεὸς, καὶ ὅλως τὰ τριγενῆ. τὸ μὲν θεὸς, σαφὲς καὶ πρὸς θηλυκὸν τάσσεται. τὸ δὲ κλυτὸς καὶ ἄγριος οὔ. ὅθεν ἐναλλαγὴ τὸ κλυτὸς ἱπποδάμεια.

Μετοχή.

Ὁμόλογον δὲ καὶ τὸ, τὸ γράφων συντάττεσθαι παρατατικῷ. ἢ δῆλον ὅτι συνέμφασιν παρατατικοῦ ἐπιδέχεται γράφων ἔχαιρον.

Απαρέμφατον.

Καὶ τὸ ἀπαρέμφατον δὲ γράφειν, μεταληφθὲν ἐξ ἐνεστῶτος καὶ παρατατικοῦ, κατάλληλον ἀποτελεῖ λόγον ἐν συντάξει τῶν τοιούτων ἐπιῤῥημάτων. συνέβη χθὲς γράφειν Σωκράτη. συμβαίνει σήμερον γράφειν Σωκράτη.

Διάθεσις.

Δῆλον δ' ἔτι καὶ τῇ διαθέσεως. τὰ γὰρ καλούμενα μεσότητος ῥήματα συνέμφασιν αἰεὶ δεχόμενα ἐνεργείας καὶ πάθους οὐδὲν παρὰ τὰς διαθέσεις ἁμαρτάνεται.

Πρόσωπον.

Καὶ τῇ συμφώσεως δὲ προσώπου δῆλον ταυτό. τὸ γὰρ νικῶ, κατάλληλον μὲν τῷ πρώτου ὁριστικοῦ καὶ τρίτου εὐκτικοῦ. ὡς ἔχει τὸ παρὰ Ἀλκμᾶνι νικῷ δ' ὁ κάῤῥων. ἀκατάλληλον δὲ τῷ δευτέρου ὁριστικοῦ. ἢ δεύτερον τὸ νικᾷς. Τὸ μὲν οὖν κατάλληλόν τι καὶ μὴ, τῆς συντάξεως οὕτω πως ληπτέον, καὶ ἔτι τὸ μεταβατικὸν, καὶ ὅλως τὸ πρὸς ἕτερον τῶν μερῶν, πρὸς γὰρ τὰς διαφόρους τούτου δυνάμεις, διάφορα καὶ τὰ τῆς συντάξεως ὡς ἐν τοῖς

γὰρ ὑπὸ τοῦ ἐμαυτοῖς διελέγξεται. τὸ ἑαυτὸν δ' ἴσως ἔστι γὰρ καὶ τὸ ἐμαυτὸν, οὔτι μὴν τὸ σύ. ἢ ἐγὼ τῶν διαφόρων γενῶν φαύλως οὐ γάρτοι διακριτικὸν γένοις. σὺ οὖν αὐτός. σὺ αὐτὴ ἐγὼ αὐτός. ἐγὼ αὐτή.

Ῥήματα.

Ο αὐτὸς δὲ καὶ ὁ τῶν ῥημάτων λόγος. αἱ γοῦν κυρίως ἐγκλίσεις εἰς πρόσωπα καὶ ἀριθμοὺς μεριαθεῖσαι, τὸ ἀκατάλληλον διελέγχουσι δι' ἀριθμῶν καὶ προσώπων. ἡ δ' ἀπαρέμφατος ἀμοιρήσασα τούτων, πάντα πρόσωπα. καὶ πάντας ἀριθμοὺς συμβάλλει. γράφειν ἐμέ. ὑμᾶς. σέ. ἡμᾶς χρόνου γε μὴν καὶ διαθέσεως οὐκ ἀμοιροῦσα, παρὰ τὴν τούτων ἐναλλαγὴν τὸ ἀκατάλληλον ἐμφανίζει.

Μετοχαί.

Δῆλον ταὐτὸ τοῦτο καὶ ἐκ τῶν μετοχῶν. αἷς μετουσία γένους καὶ πτώσεως καὶ ἀριθμοῦ. οὐ μὴν δὲ καὶ προσωπικῆς διακρίσεως καὶ ψυχικοῦ τοῦ βουλήματος διὸ δὴ καὶ περὶ τὰ μὴ προσόντα ταῦτα οὐδὲν φαῦλον συμβαίνει. γράψας αἰτήσην, αἰτήσης. αἰτήσῃ. αἰάσηθι αἰάσαίμην.

Ῥήματα.

Ε τι τὸ ἔλεγον καὶ τὰ ὅμοια ἑνικὰ ὄντα διὰ τὸ συμπίπτειν τῷ τρίτῳ πληθυντικῷ καταλλήλως σώζεται τῷ πληθυντικῷ. ἔλεγον ἐκεῖνοι. ὑπεξαιρείσθω τὰ δωρικά. ἡ γὰρ ἐν αὐτοῖς καταβιβαζομένη ὀξεῖα ἀφίστησι τὴν πρὸς τὸ ἑνικὸν σύμπτωσιν.

Ὀνόματα.

Ο μόλογον δὲ καὶ τὸ τὰ συμπίπτοντα ἤτοι κατὰ γέ-

ται ἐγκλίσεως. οἷον εἴθε ἄγε. ἡ γὰρ προστακτική. ἀεὶ ἐπίτροχος τῇ εὐκτικῇ. τἄλλα δὲ σημασίας ἀμοιροῦντα τοιαύτης ἀκώλυτον ἔχει ἐπὶ πασῶν τῶν ἐγκλίσεων τὴν σύνταξιν.

Κατὰ σύνδεσμον.

Καὶ οἱ σύνδεσμοι δὲ οὐδὲν τῶν εἰρημένων τεμνόμενοι ἀδιαφόρως τὰς συνδέσεις ποιοῦνται πρὸς διάφορα γένη ἢ πτώσεις ἢ πρόσωπα. εἴγε μὴν καὶ ἐπ᾽ αὐτῶν γένηταί τις ἐν μορφῇ διαφορά, καὶ τὰ περὶ τὴν σύνταξιν σώζοιτο. οἷον ὁ ἂν ὅτι τὰ μὴ γεγονότα ἀπόρων θέλει παριστᾶν αὐτὰ εἰς τὸ δύνασθαι. ὅθεν ἄρα καὶ δυνητικὸς εἴρηται. διὰ τοῦτο παρῳχημένοις συντάσσεται πλὴν τοῦ παρακειμένου. εἰ οὖν τις λέγοι γράψω ἄν, ἀκαταλλήλως συντάττει.

Κατὰ ἀντωνυμίαν.

Ἔτι ἐπὶ τῶν ἀντωνυμιῶν. τὸ ἐμοὶ ἐπὶ τρίτου οὐ τίθεται, ὡς διαλεγχόμενον αὐτὸ τοῦ συζύγου τοῦ οἷ. δῆλον δ᾽ ὅτι οὐδὲ τὸ οἷ ἐπὶ πρώτου διὰ τὸν αὐτὸν λόγον. ἥγε μὴν αὐτὸς τρίτου οὖσα, καὶ πρώτῳ καὶ δευτέρῳ συντάττεται. ὅτι οὐδὲν ἀκόλουθον πρόσωπον κα… τὰ συζυγίαν ὑπάρχει, ὃ ἂν τἀλλότριον … ἐλέγξειεν. αὐ… τὸς οὖν ἐγώ. αὐτὸς σύ.

Εσω… τῆς.

Ὅλως γὰρ οὐδὲν συμβαίνει ἁμάρτημα περὶ τὰ ἐν ἀκολουθήσει ὡρισμένην μὴ ὄντα, γινόμενά γε μὴν ἐκ τοῦ ἀκόλουθα. οὐκ ἔτι παρὰ τὸ δέον συνοισθήσεται. οὔκουν τὸ ἑαυτοῖς ἐπὶ πρώτου ἐν κακῇ. οὐ

προσώπου ἀδιαφορήσει καὶ κατὰ γένος, καὶ κατὰ ἀριθμόν. τύπτοις γυνὴ ὑβριστήν.

Κατὰ πρόσωπον.

Καὶ ἐπὶ προσώπου. ἐκεῖνος πατὴρ ὢν ἐπιμελήσεται τοῦ παιδός. ἀλλὰ δὴ καὶ σοῦ, καὶ ἐμοῦ. εἰ γὰρ οὕτω μὴ ἐπισυμβαίνῃ τῇ λέξει τὸ τὴν διάκρισιν δυνάμενον φανερῶς ποιεῖσθαι, ἀδιαφορήσει τὸ ἐπιπλέκεσθαι διαφόροις τῷ γένει, ἢ τῇ πτώσει ἢ τῷ ἀριθμῷ, ἢ τῷ προσώπῳ, ἢ τοιούτῳ τινί. ἀνέλεγκτα γὰρ οὕτω καὶ τοῦ μετασχηματισμοῦ γίνεται καλῶς γράφω. γράφεις, ἔγραψα. δῆλον γὰρ ὅτι κατάλληλος παντὴ ἡ σύνταξις. ἡ γὰρ τοῦ ἐπιρρήματος σύνοδος μὴ οὖσα δεικτικὴ ἀριθμῶν. ἢ προσώπων ἢ πτώσεων, ἢ χρόνων, ὧν παραδέχεται τὸ ῥῆμα ἀκώλυτον τὴν ἐπιπλοκὴν ἴσχει καὶ ἥκιστα ἐκ τοῦ ἐλεγχομένην ὁμοειδοῦς. οὐκ ἔτι δὲ ταὐτὸ συμβαίνει καὶ ἐπὶ τοῦ καλός. προσώπου γὰρ τρίτου ἀριθμοῦ ἑνικοῦ τοῦτο. ὅθεν καὶ πρὸς ἑνικὸν τὸ γράφει ἡ σύνταξις. καλὸς γράφει, καὶ αὖ πάλιν ἐπεὶ τὸ καλῶς οὐ παρέμφασιν χρόνου σημαίνει ἀδιαφορεῖ χρόνοις συντασσόμενον διαφόροις. καλῶς γράφει. ἔγραψε. γράψει.

Κατὰ ἐπίρρημα.

Ἔτι τῶν ἐπιρρημάτων τὰ εἰς διαφόρους ἀναμεριζόμενα χρόνους, προσώποις μὲν διαφόροις καὶ ἀριθμοῖς συντάσσεται. χρόνοις δ' οὔ. κατέβην χθές. κατέβης. κατέβη. καταβαίνει δὲ ἢ καταβήσομαι οὔ. ὡσαύτως δὲ καὶ ὅσα σημαινόμενον ἐπιδέχε-

ὁπωσοῦν παρεμπίπτοντα εἰς οὐκ ἐπιβάλλουσαν θέσιν ἐλέγχονται διὰ τῆς παρ' ἑαυτῶν ἀκολουθίας.

Τῶν τοίνυν τοῦ λόγου μερῶν, ἃ μὲν εἰς ἀριθμοὺς καὶ γένη καὶ πτώσεις μετασχηματιζόμενα, ἃ δὲ εἰς πρόσωπα καὶ ἀριθμούς, ἃ δὲ μηδὲν ἐπιδεχόμενα τοιοῦτό τι· ἀλλὰ καθ' ἕνα μόνον σχηματισμὸν ἐκφερόμενα. ταῦτα δὴ μεταληφθέντα ἐξ ἰδίων μετασχηματισμῶν εἰς τὰς δεούσας ἀκολουθίας ἀριθμῶν ἢ προσώπων ἢ γενῶν τῇ τοῦ λόγου συντάξει, ἀλλὰ μεμόρισται εἰς ἐπιπλοκὴν τοῦ πρὸς ὃ φέρεσθαι ἕκαστον δεῖ. οἷον εἰ οὕτω τύχῃ πληθυντικὸν πρὸς πληθυντικόν· κατὰ τὴν τοῦ αὐτοῦ προσώπου παρέμπτωσιν· γράφομεν ἡμεῖς. μανθάνουσιν ἄνθρωποι. τὸ γάρ τοι ἐν μεταβάσει τοῦ προσώπου οὐ πάντως ἀπαιτήσει τὸν αὐτὸν ἀριθμόν. ἔστι γὰρ φάναι καὶ τύπτουσι τὸν ἄνθρωπον, καὶ τύπτουσι τοὺς ἀνθρώπους.

Κατὰ πτῶσιν.

Ὁ αὐτὸς δὲ λόγος κἀπὶ τῶν κατὰ γένος ἢ πτῶσιν ἢ πρόσωπον λαμβανομένων. ἔτι γὰρ καὶ τὸ ἐν μεταβάσει ἀδιαφορεῖ. ἡμῶν αὐτὸς ἀκροᾶται. ἡμῶν αὐτοὶ ἀκροῶνται. καὶ οὖν εἰ συνέλθῃ κατὰ τὴν αὐτὴν πτῶσιν, ὑποπεσεῖται εἰς τὸ αὐτὸ πρόσωπον. ἡμῶν. αὐτῶν ἀκροῶνται. εἰ μὴ παρέμπτωσις συνδέσμου καὶ τὸ πρόσωπον διαστήσει. ἡμῶν καὶ αὐτῶν ἀκροῶνται.

Κατὰ γένος.

Ὡσαύτως δὲ κἀπὶ τῶν γενῶν. οὗτοι οἱ ἄνδρες. τούτοις τοῖς ἄνδρασι. πάλιν γὰρ τὸ ἐν μεταβάσει τοῦ

ρον. Χρόνον δὲ, ἐγὼ δ' ἄγω βρισηΐδα ἀντὶ τοῦ ἄξω. Περὶ ἐπιρρήματα δὲ σολοικισμὸς ἐξ ἀναλλαγῆς. εἴσω δόρπον ἐκόσμει. ἀντὶ τοῦ ἐντὸς, καὶ ἐγγύθεν ἱσταμένη, ἀντὶ τοῦ ἐγγύς. Περὶ δὲ προθέσεις εἰς ἀγαμέμνονα δῖον. ἀντὶ τοῦ πρὸς ἀγαμέμνονα. καὶ ὑπὸ ἴλιον. ἦλθον ἀντὶ τοῦ ἐπὶ ἴλιον.

Περὶ δὲ συνδέσμοις αὐτὸς μὲν ἐγὼ μενέω, ἀλλ' ἑταῖρον πέμψω, ἀντὶ τοῦ ἑταῖρον δὲ, καὶ κρατεροὺ δ' ἐπὶ μῦθον ἔτελλεν. ἀντὶ τοῦ κρατεροὺ γάρ.

Μετάθεσις.

Σολοικισμὸς δ' ἐκ μεταθέσεως. ὡς τὸ μηναίδρου θυγάτριον ἡ νῦν ἡμέρα δίδωσί μοι, ἢ δόξαν, ἤτοι διαβολήν. τὸ γάρ τοι ὀρθῶς ἔχον, ἤτοι δόξαν, ἢ διαβολήν. ταῦτα γε μὴν πάντα εἰ καὶ τοῖς ποιηταῖς σχήματ' ἄττα ἐστὶν, ἡμῖν μέντοι ὡς ὑποδείγματα κείσθω τοῦ περὶ τὸν πεζὸν λόγον σολοικισμοῦ.

Ἐπεὶ δὲ περὶ λόγου συντάξεως καταλλήλου θεωροῦμεν, περὶ αὐτοῦ πρότερον τοῦ καταλλήλου ῥητέον κοινῇ. εἶτα περὶ ἕκαστα τῶν μερῶν ἰδίᾳ θεωρητέον τὸ ὀρθόν τε καὶ μή. Ἔστι μὲν οὖν οὐκ ἐν τοῖς ὑποκειμένοις τὸ ἀκατάλληλον καὶ μὴ, ἀλλ' ἐν τῇ συντάξει τῶν λέξεων, αἷς παρέπεται τὸ μεταποιεῖσθαι εἰς τὸ δέον. εἰ οὖν ὑπὸ τυχούσης θηλείας λέγοιτις αὕτη μὲ ἔτυψαν. σολοικίζει. καὶ ἀληθεύει τῷ γένει. εἰ μὲν τοιοῦτός με ἔτυψεν, οὐδὲν, ἁμαρτάνει. ἔχει γὰρ τὸ τοῦ καταλλήλου δέον ὁ λόγος. ὡς τι ἂν λέξεις ἀναμεμερισμέναι εἰς θέσεις ἰδίας, τὰ

Καὶ περὶ χρόνον τε καὶ γραφήν. ὑγιὸς τῷ ἰδέου τηρεῖ. περὶ ὧν ἄρα καὶ εἴρηται πρότερον τὸ ὀρθόν.

Σολοικισμός.

Ὁμοίως δέ τοι καὶ ὁ σολοικισμός. ἢ γὰρ ἐνδείᾳ. ὀρχοῦνται πεδίοιο. ἐνδεῖ γὰρ ἡ διά. Ἢ πλεονασμῷ. ἐξ οὐρανόθεν. πλεονάζει γὰρ ἡ ἐξ. Ἢ ἐναλλαγῇ. τόξων εὖ εἰδώς. ἀντὶ τοῦ τοξεύειν. νέον δ᾽ ἐσαγείρατο θυμόν. ἀντὶ τοῦ νεωστί. ἀκλίνεσιν ἐοικότες, ἀντὶ τοῦ ἐοίκασιν. τῷ τοι προφρονέως ὀρέω. ἀντὶ τοῦ δι᾽ ὅ. εἶσω ἁλὸς εὐρέα κόλπον. ἀντὶ τοῦ εἰς εὐρέα κόλπον. τοιοῦτο δὲ καὶ τὸ τὰ παρεπόμενα τοῖς τοῦ λόγου μόρεσιν. οἷον εἶδος. γένος. ἀριθμόν. σχῆμα. πτῶσιν. Ἢ ἐπιρρήματα, ἢ προθέσεις, ἢ τάξιν συνδέσμων, καὶ συνδέσμοις αὐτοῖς ἐναλλάσσειν.

Εἶδος.

Εἶδος μέν. δῖα γυναικῶν καὶ μελάντερον ἠΰτε πίσσα. Γένος δέ, αὐτὴ θῆλυς ἐοῦσα, καὶ οὐχ αἱ ἐφ᾽ ἡμετέρων ὀχέων πληγέντες ἀντὶ τοῦ πληγεῖσαι. ἀριθμὸν δέ. θέσπιαι γραῖαί τε. ἀντὶ τοῦ θεσπιαί.

Σχῆμα δέ, αὐτὰρ ἐγὼν ἐμὲ λύσομαι. ἀντὶ τοῦ ἐμαυτόν. πτῶσιν δέ, νεστορίδα δ᾽ ὁ μὲν οὔτασεν. ἀντὶ τοῦ νεστοριδῶν, καὶ ἀστράπτων ἐπιδέξια. ἀντὶ τοῦ ἀστράπτοντα, καὶ δοιοὺς δ᾽ ἄρ᾽ ὑπήλυθε θάμνοις ἐξομόθεν πεφυῶτας. ὁ μὲν φυλίης. ὁ δ᾽ ἐλαίης. Διάθεσιν δέ, ὁρῶμαι. ἀντὶ τοῦ ὁρῶ. Πρόσωπον δέ, ὅσοι θεοὶ εἰς ἐν ὀλύμπῳ σοί τ᾽ ἐπιπείθονται καὶ δεδμήμεθα, καὶ σφέτερον πατέρ᾽ ὑμνείουσαι, ἀντὶ τοῦ ὑμέτε-

Ἔτι ὃν τρόπον τῶν στοιχείων τὰ μὲν φωνήεντα τὰ δὲ σύμφωνα, ταύτῃ καὶ τῶν λέξεων, τὰς μὲν οἷόν τε προφέρεσθαι καθ' αὑτάς· οἷον τὰ προστακτικὰ τῶν ῥημάτων, καὶ τὰς κλητικὰς τῶν ὀνομάτων καὶ ἀντωνυμιῶν ἔσθ' ὅτε, τὰς δὲ οὐκ ἔστιν ἄλλου ἑτέρου τοῦ προενεχθῆναι κατὰ διάνοιαν ἐντελῆ· οἷον προθέσεις τε καὶ συνδέσμους. αἱ γὰρ τοιαῦται λέξεις ἀεὶ συσσημαίνουσι προσκείμεναι δηλονότι ἑτέροις. ὅθεν δὴ αἱ σημασίαι τούτων μεταπίπτουσιν. ᾗ μὲν οὖν ἀλλήλοις ὅμοια στοιχεῖον καὶ συλλαβὴ καὶ λέξις καὶ λόγος, εἰρήσθω ἐπὶ τοσοῦτον.

Ἀνάλογον.

Κοινὸν δ' ἀνάλογον λέξεως καὶ λόγου, τὸ τὸν μὲν λόγον παρὰ τὴν ποιὰν τῶν λέξεων σύνθεσιν ὀρθῶς ἔχειν καὶ μή· τὴν δὲ λέξιν παρὰ τὴν τῶν συλλαβῶν καὶ στοιχείων. ὅ,τι γὰρ βαρβαρισμὸς ἁμάρτημα περὶ λέξιν ἐστίν· ὅ,τε σολοικισμὸς ἁμάρτημα περὶ λόγον.

Βαρβαρισμός.

Καὶ τετραχῶς μὲν ὁ βαρβαρισμός, τοσαχῶς δὲ καὶ ὁ σολοικισμός· ἢ γὰρ ἐνδείᾳ βαρβαρίζων τις ἐλέγχεται· δημοσθένους, δημοσθένου· γεγράφασιν, γέγραφαν. Ἢ πλεονασμῷ· ἀρχίνου, ἀρχίνοις· κοιμᾶ, κοιμᾶσαι. τοιοῦτο δέ, καὶ τὸ διαιρούμενον φαύλως· κοῖλον, κοΐλον. Ἢ μεταθέσει· κρόταφον, κόρταφον· δίφρον, δρίφον. Ἢ ἐναλλαγῇ· φιάλη, φιέλη· ὕαλον, ὕελον· ἀγνείου, ἀγνεία. Καὶ περὶ προσῳδίας· φίλος, φιλός· μισθωτὸς, μίσθωτος.

θεῖν. ἐνδεῖ γὰρ τὸ διεῖχεν. ὅμοιον δ᾽ αὖ ἂν καὶ τὸ, τὸν ἅπαξ ῥηθέντα λόγον δὶς καὶ τρὶς καὶ πολλάκις λαμβάνοντα ἀπὸ κοινοῦ ἐννοεῖν. οἷον κόσμος ἀνθρώπῳ φρόνησις. σωφροσύνη. δικαιοσύνη. ἀνδρεία. πᾶσι γάρ τοι προσυπακούεται τὸ κόσμος ἐστί.

Ὑποτακτικὴ θέσις.

Ἔτι ὡς ἐπὶ τῶν συλλαβῶν ἔστιν ἃς ὑποτασσομένας μὲν, μηδέποτε προτασσομένας εὑρεῖν, οὕτω τοι καὶ ἐπὶ τῶν λέξεων. τὰ γὰρ ὑποτακτικὰ τῶν ἄρθρων καὶ αἱ ἐπιταγματικαὶ ἀντωνυμίαι, καὶ τὰ ὑποτακτικὰ τῶν ῥημάτων τοιάδε. ταὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τοῦ λόγου. τοιοῦτο γάρ τοι συνημμένον. εἰ περιπατεῖ σωκράτης, κινεῖται.

Διάλυσις καὶ συναίρεσις.

Ἔτι ὡς τὰ στοιχεῖα διάλυσιν καὶ συναίρεσιν πάσχει, οὕτω καὶ συλλαβή. πηλείδου, πηλείδαο. ἑρμέας, ἑρμῆς καὶ λέξις κατὰ ταὐτὸν ἔδηδ᾽ ὡς βαρυστενάχων, καὶ δακρυχέων, καὶ λόγος. συντίθενται μὲν γὰρ συνδεδεμένοι ἀλλήλοις οἱ λόγοι, διῄρηνται δὲ ἀσύνδετοι ὄντες.

Μετάθεσις.

Καὶ μὲν δὴ καὶ συλλαβαὶ μετατίθενται τοῖς στοιχείοις ὁμοίως. κελάρυζα. λακέρυζα. κρυπτοκέφαλος, κεπτοκρύφαλος, καὶ λέξις. οἷον εἴ τις θεὰς σεμνὰς τὰς σεμνὰς θεὰς λέγοι. καὶ ἄπυρον θεῖον τὸ θεῖον ἄπυρον. ἔνθα μὲν γὰρ τὸ σεμνάς. ἔνθα δὲ τὸ θεῖον προτάττειν σύνηθες, καὶ λόγος. οἷον τὸ καλούμενον πρωθύστερον. οἱ δ᾽ ὤϊξάν τε πύλας καὶ ἀπῶσαν ὀχῆας.

Δύναμις.

Πλεονασμός.

Ἔτι καθ᾽ ἄπερ στοιχεῖον ἐστὶν οὗ πλεονάζει οὐ τὸ αὐτό. στάχυς, ἄσταχυς. πνοή, πνοιή. τοῦτον, τουτονί. οὕτω καὶ συλλαβή. λοιπῶν, προλοιπῶν. ἔτυμος, ἐπίτυμος. ἔφης, ἔφησθα. Καὶ λέξις. τοῦτο μὲν ἐν συνθέσει. τοῦτο δὲ ἐν παραθέσει. βοῶν συμβουκόλος ἀνήρ. χρυσοῦ δὲ στήσας ὀδυσσεὺς δέκα πάντα τάλαντα. καὶ ἡ μάλα δὴ τέθνηκε μενοιτίου ἄλκιμος υἱός. ἔνθα μὲν γὰρ τὸ πάντα, ἔνθα δὲ τὸ μάλα πλεονάζον. τοιοῦτο δὲ καὶ τὸ ὀφθαλμοῖσιν ἴδωμαι. καὶ οἱ παραπληρωματικοὶ δὲ οὐθὲν πολλάκις εἰς ἔννοιαν συντελοῦσι. καὶ λόγος. ἔοικέ τοι οὔτοι ἀεικές. τὸ γὰρ οὔτοι ἀεικὲς παρέλκον. καὶ ὅσσα οἱ αἶσα γινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκε μήτηρ. πλεονάζει γὰρ ὅτε μιν τέκε μήτηρ.

Ἔλλειψις.

Ἔτι στοιχείου μὲν ἔλλειψις. γαῖα, αἶα. ἑκατέρωθεν, ἑκάτερθεν. πολλάκις, πολλάκι. συλλαβῆς δέ, ἀστράπτει, στράπτει. ἀμφιφορεύς, ἀμφορεύς. ἀπόλλωνα, ἀπόλλω. λέξεως δέ, εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης. ἐνδεῖ γὰρ τὸ ἐστίν. καὶ τὸ Θεοκρίτου ὁ δέ μοι τὸ λαγωβόλον ἡδὺ γελάσας ὡς πάρος ἐκ μοισᾶν ξυνήιον ὤπασεν εἶμεν. ἐνδεῖ τὸ ὑπέσχετο. λόγου δὲ ἔλλειψις. κἄπειτ᾽ ἀπὸ ταροῦ τοὺς θεοὺς ὑπερφρονεῖς. ἀλλ᾽ οὐκ ἀπὸ γῆς εἴπερ. ἐλλείπει τὸ ἠβούλου. τοιοῦτο καὶ τό, εἰ μὲν κατίδυσάν τινα. εἰ δὲ μὴ ἀνεκρούοντο πρὶν ἐς χεῖρας ἐλ-

Καὶ πάθη συμβαίνει τοιαῦθ' ἅττα· τὸ μὲν μακρὸν εἰς βραχέα διαλύεσθαι· ἦγε, ἔαγε· καὶ ἀνάπαλιν συναιρεῖσθαι· ἱερόν, ἱρόν· δίϊος, δῖος, ταῦτα γε μὴν ἑτέρας ἂν θεωρίας εἴη.

Ὅρος συλλαβῆς.

Οὕτω μὲν οὖν τὰ στοιχεῖα πρὸς ἄλληλα ἔχοντα συντίθησι διαφόρως τὴν συλλαβήν, σύλληψιν οὖσαν στοιχείων εὐαρμόστως συντεταγμένων.

Ὃν δὲ τρόπον ἡ τῶν στοιχείων συμπλοκὴ οὐδὲν ἄτακτον ἔχει, οὕτω καὶ αἱ συλλαβαὶ κατὰ λόγον ἀλλήλαις συνιοῦσαι τὴν λέξιν ποιοῦσι· καὶ αὖ πάλιν αἱ λέξεις τὸν λόγον. Ὅρος λόγου.

Ἔστι γάρ τοι ὁ λόγος, σύνταξις λέξεων εὐαρμόστως συντιθεμένων διάνοιαν ἔχουσα αὐτοτελῆ.

Ὅρος λέξεως.

Λέξις δὲ μέρος ἐλάχιστον τῆς κατὰ σύνταξιν λόγου.

Καὶ μέντοι καὶ πολλαχῇ ὁμοιότητα ἐπί τε τῶν στοιχείων καὶ ἐπὶ τῶν λέξεων· καὶ ἐπὶ τῶν λόγων ἔστι θεωρεῖν.

Διπλασιάζεται γὰρ οὐ μόνον στοιχεῖον· ἵππος· ἄλλος· ἀλλὰ καὶ συλλαβή· ἀλαλάζω· μεμένηκα· προπροκυλινδόμενος· καὶ λέξις· ἆρες, ἄρες· τὸ Ὁμήρου· καὶ ὦ κύκλωψ· κύκλωψ, τὸ Θεοκρίτου· καὶ ἰού· ἰού· Ἀριστοφάνους· καὶ λόγος· τοῦ δ' ἐγὼ αὐτός εἰμι· καὶ εἰ πυρὶ χεῖρας ἔοικεν· εἰ πυρὶ χεῖρας ἔοικε· μένος δ' αἴθωνι σιδήρῳ, τὸ Ὁμήρου καὶ βωκολιάσδεο δάφνι τὺ δ' ᾠδάς ἄρχεο πρᾶτος ᾠδάς ἄρχεο πρᾶτος· τὸ Θεοκρίτου.

λως οἷόν τε ὄντος συνάπτεσθαι. Καθόλου δὲ πᾶν σύμφωνον μεταξὺ ὂν δυοῖν φωνηέντοιν περὶ μίαν λέξιν, τῷ δευτέρῳ συλλαβιστέον· ἄγω· φέρω· καὶ ἐὰν μὴ ᾖ δὲ μία λέξις ἀλλὰ δύο· πάθη δὲ ἔκθλιψιν ἡ πρώτη, τὸ πρὸ τῆς ἀποστρόφου σύμφωνον τῷ ἑπομένῳ φωνήεντι συνταπτέον· κατὰ ἐκείνου, κατ᾽ ἐκείνου.

Ε πεὰν τύχῃ, κατ᾽ ἀρχὴν λέξεως σύμφωνον συμφώνου ἡγησάμενον ἐν συλλήψει, οὐδ᾽ ἐν μέσῳ λέξεως συνθέτου χωρίζεται.

Κ αὶ ὅλως τὰ κατ᾽ ἀρχὴν λέξεως πρὸ ἑτέρων τῷ εἴδει συμφώνων πεφυκότα συντάττεσθαι, ταῦτα δὴ καὶ ἐν μέσῳ λέξεως εὑρίσκοιτ᾽ ἂν ἐν συλλήψει. οἷον ὕβρις· ὅτι καὶ βρέχω· ἀγρός, ὅτι καὶ γράφω· ὅπλον, ὅτι καὶ πλέω· ὕμνος· ὅτι καὶ μνεία· ὅσα δὲ μή, ἐν διαστάσει κεῖται ἀεί. οὔκουν τὸ ἐσθλόν, ἐν συλλήψει. ὅτι οὐδὲ λέξις ἀπὸ τοῦ σ̄. θ̄. λ̄, τυγχάνει τις ἀρχομένη· οὐδὲ τὸ ὄγδοον, ὅτι οὐκ ἀπὸ τοῦ γ̄ δ̄ ἀρχή· οὐδὲ τὸ ὄγκος ὅτι οὐκ ἀπὸ τοῦ γ̄ κ̄.

Ε τι τὰ αὐτὰ σύμφωνα οὐδέποτε ἐν συλλήψει· ἐκκόπτω οὕτω· καὶ ἔδδεισε καὶ κάββαλε. καὶ τὰ τοιαῦτα ἐν διαστάσει. Ἔτι πᾶσα συλλαβὴ εἰς σύμφωνον λήγουσα καὶ τὴν ἑξῆς ἔχει ἀπὸ συμφώνου ἀρχομένην. Ἔτι οὐκ ἔστιν εὑρεῖν τρία σύμφωνα ἀμέσως κείμενα, ὧν τὰ δύο ταυτοδυναμεῖ.

Μετάθεσις.

Γ ίνεται δὲ καὶ μετάθεσις τῶν στοιχείων· κραδία, καρδία· ἀτραπὸς, ἀταρπὸς· σφάγανον· φάσγανον· ὀλίγος, λοιγός.

ἐπὶ τοῦ μνεία· ἀμνός· ἀνάπαλιν δὲ τὸ σ· οὐδ' ἔστι γὰρ ὑποτακτικὸν τοῦ μ ἐπὶ τῆς αὐτῆς. καίτοι τοῦ λ, καὶ ν· σπανίως μέντοι. ὡς ἐπὶ τοῦ ἅλς· καὶ πέρυνς· καὶ ἕλμινς. Τοῦ δὲ ρ, οὐ μάλα· πόῤῥω, πυρσός· διὰ τὸ φωνήεντος δύναμιν ἔχειν τὸ ρ· αὐτὸ δ' ἐπὶ ρ οὐκ ἔστιν ὅπου προτάσσοιτ' ἂν συνταττόμενον.

Ἐπὶ τῶν δασέων τὸ θ καὶ χ· συζευγνύμενα τῷ μ ἀποτελεῖ συλλαβὴν ὑποτακτικήν· προτακτικὴν δ' οὔ. ἀριθμός· αἰχμός. Ὡσαύτως δὲ καὶ τῶν ψιλῶν, τὸ κ· καὶ τῶν μέσων· τὸ γ· ἀκμή· ὄγμος.

Ταυτὸ δὲ τοῦτο συμβαίνει καὶ περὶ τοῦ δ τῷ γ· ὄγδοος· καὶ τῷ φ καὶ τ περὶ τοῦ ν· ἔτνος· ἀφνειός.

Ἐπὶ τὸ θ· καὶ χ· τῷ μὲν λ· καὶ ν· καὶ ρ, τῶν ἀμεταβόλων, συντάσσεται προτιθέμενα εἰς τε προτακτικὴν εἰς τε ὑποτακτικήν· τῷ δὲ μ, εἰς ὑποτακτικὴν μόνον ὡς εἴρηται. Τὸ δὲ φ, ὁμοίως μὲν καὶ τὰ σύστοιχα πρὸς τὸ λ· καὶ ρ· εἰς μόνην δὲ ὑποτακτικὴν πρὸς τὸ ν· ἄφνω· ἀσυλλήπτως δὲ πρὸς τὸ μ ἔχει παντάπασι. Καὶ τὰ ψιλὰ δὲ καὶ μέσα τοῖς ἀμεταβόλοις συντάσσεται· ὡς τὸ θ· καὶ χ· πλὴν τοῦ π ἀσυμβάτως ἔχοντος πρὸς τὸ μ. Καὶ πλὴν τοῦ τ· ἀσύντακτοι μὲν τῷ ν εἰς προτακτικὴν συλλαβήν· τὸ μ δὲ προσλαμβάνοντος ὑποτακτικὸν ἐπ' ἄμφω· τμῆμα· ἀτμίς. Καὶ πλὴν τοῦ β· ἀσυντάκτως πρὸς τὸ μ καὶ ν, ἔχοντος ὅλως.

Καὶ πλὴν τοῦ δ· τῷ μὲν μ, καὶ ἐπιτεταγμένου· καὶ προτεταγμένου δ' ὅμως· ἄδμητος· τῷ δὲ λ μηδ' ὅ

τελοῦντα φωνήν. οἷον τὰ φωνήεντα καλούμενα. τὰ δὲ ψόφον. οἷον τὰ σύμφωνα πάντα. φωνὴν δ' οὔ, ἄνευ τῆς τῶν φωνηέντων ἐπιπλοκῆς. Τούτων δ' αὖ πάλιν τὰ μὲν ψοφεῖ ἀτελέστερον. οἷον τὰ ἄφωνα. τὰ δὲ, τελεώτερον. οἷον τὰ ἡμίφωνα.

Συμπάντων δὲ, τὰ μὲν προτακτικά. τὰ δὲ ὑποτακτικά. τῶν μὲν γὰρ φωνηέντων προτακτικὰ, ὡς ἐπὶ τῶν διφθόγγων τὰ α. ε. ο, ὑποτακτικὰ δὲ, τὰ ι. υ. προτακτικόν γε μὴν καὶ αὐτὸ τὸ υ, τοῦ ι. ὡς ἐπὶ τοῦ μυῖα. καὶ υἱός. καὶ ἅρπυια. καὶ ἑτέρων πλειόνων.

Τῶν δὲ συμφώνων προτακτικὰ μὲν, ὡς οὐδαμοῦ ἐπὶ τέλει τασσόμενα λέξεως. τὰ δασέα καὶ ψιλὰ καὶ μέσα. τῶν ἀμεταβόλων τὸ λ. καὶ μ. καὶ τῶν διπλῶν τὸ ζ. Καὶ τῶν μὲν δασέων, τὸ φ καὶ χ, ἐπιδέχεται τὸ θ. ἐχθρός. φθορά. ἀλλὰ πάλιν δ' οὔ. τούτοις δ' ὁμοίως καὶ τὰ ψιλά τε καὶ μέσα ἔχει. ἀκτίς. ἄπτω. ὄγδοον. βδέλλω. ὅτι μὴ ἡ τοῦ γ δ σύνταξις ἐπὶ ὑποτακτικῆς συλλαβῆς μόνον.

Ἔτι τε τὰ δασέα τοῖς ψιλοῖς τε καὶ μέσοις οὐδέποτε συμφέρεται προταττόμενα. ὑποταττόμενα δὲ τοῖς ψιλοῖς. καὶ ἐν διαστάσει. ἀτθίς. Σαπφώ. Ἴακχος. οὐκ ἔτι δὲ καὶ τοῖς μέσοις.

Ἀμετάβολα.

Τῶν δὲ ἀμεταβόλων τὸ μὲν ν πρὸ τοῦ μ, κεῖσθαι οὐ πέφυκεν ἐπὶ τῆς αὐτῆς λέξεως. διὸ καὶ ἐπὶ τοῦ κέκλιμαι. καὶ κέκριμαι, τὸ πρὸ τοῦ μ συμβαῖνον ν, ἀποβάλλεται. ἐπικεῖσθαι μήν τοι κατ' ἄμφω. ὡς

ΘΕΟΔΩΡΟΥ ΓΡΑΜΜΑΤΙΚΗΣ ΕΙΣΑΓΩΓΗΣ ΤΩΝ ΕΙΣ ΤΕΣΣΑΡΑ ΤΟ Δ'.



οιπὸν δὲ περὶ συντάξεως τῶν τοῦ λόγου μερῶν εἰπεῖν. γραμματικοῦ γὰρ καὶ ἡ περὶ ταῦτα θεωρία, καὶ τῆς γε τοιαύτης συντάξεως καὶ τοῦ λόγου ἕνεκα πραγματεύεται, ὁ περὶ ἑκάστου τῶν ὀκτὼ τοῦ λόγου μερῶν σκεπτόμενος, ὡς ἔχει ἢ προσῳδίας, ἢ ὀρθογραφίας. καθάπερ καὶ ὁ διαλεκτικὸς τοῦ συλλογιστικοῦ λόγου ἕνεκα περὶ ὀνόματος καὶ ῥήματος καὶ προτάσεως θεωρεῖ. λεκτέον τοίνυν καὶ ὅπως αὐτὰ τοῦ λόγου μέρη ἀλλήλοις ὀρθῶς συντατόμενα ἀποτελοίη τὸν λόγον, ἵνα τέλος ἡ εἰσαγωγὴ ἔχῃ. καὶ διαιρετέον ἀκριβέστερον ἕκαστα καὶ ὁριστέον ἐνταῦθα.

Ορασις στοιχείου.

Ἀρκτέον δ' ἴσως ἀπὸ τοῦ πρώτου, οἷον τῶν στοιχείων. ταῦτα γὰρ ἡ πρώτη καὶ ἀμερὴς ἐστὶ τ' ἀνθρώπου φωνή. οὐ γὰρ ὡς ἔτυχεν συμπλέκεται ἀλλήλοις εἰς σύστασιν συλλαβῆς, ἀλλ' ὡς καὶ τοὔνομα δηλοῖ, στείχει τε καὶ εὐτάκτως κινούμενά πως συντάσσεται κατὰ λόγον.

Διαίρεσις τῶν στοιχείων.

Τῶν οὖν στοιχείων τὰ μὲν ἀφ' ἑαυτῶν τυγχάνει ἀπο

τελοῦντα

τ̄ · γλῶσσα · γλῶττα · διασσόν, διττόν · ὀρύσσω ὀρύτ-
τω. Εὐλογώτερον μέντοι ἐπὶ τοῦ ὀρύττω, καὶ τῶν
ὁμοίων, τὸ γράφειν · ὀρύγτω, καθάπερ καὶ τοῖς
παλαιοτέροις τῶν ἀντιγράφων ὁρῶμεν. Οὐκ ἔξω
δὲ καὶ τούτων οὐδὲ οἱ τῶν ποιητῶν διὰ τὸ μέτρον
διπλασιασμοί. τὰ γὰρ ἀπὸ τοῦ δ̄, ἢ σ̄ · ἢ, τοῦ τ̄ ἀμετα-
βόλων ἀρχόμενα · ῥήματα διπλασιάζουσι κλινόμε-
να εἰς παρατατικὸν καὶ ἀόριστον. οἷον, ἔδδεισεν.
ἔσσυτο. ἔλλαχεν. ἔμμορεν. ἔνναιεν · τὸ δ' ἔῤῥεεν, κοι-
νόν. Καὶ ἐπὶ τῶν ὀνομάτων δὲ τά τε ἀμετάβολα
καὶ τὸ σ̄ · ἀλλήκτον. ἐννοσίγαιος. παῤῥαλίη. μέσ-
σον. Καὶ μὴν ἐπὶ τῶν τριτοζύγων μελλόντων καὶ
ἀορίστων · οἷον σβέσσω, ἔσβεσσα. γελάσσω, ἐγέλασ-
σα. τὸ δὲ κάββαλεν. καὶ κάππεσεν, καὶ τὰ τοιαῦ-
τα, οὐκ ἕνεκα μέτρου διπλασιάζεται. ἀλλὰ τοῦ τ̄
μεταβάλλοντος εἰς τὸ ἑπόμενον σύμφωνον, δι' εὐ-
φωνίαν ἀποκοπέντος τοῦ ᾱ. καταβαλεν, κάβ-
βαλεν. κατὰ δὲ, καδδέ. Ἔτι τὸ δ̄, καὶ π̄, ἐν τοῖς
ἐπιῤῥήμασιν · ἄδδην. ὁππότε, καὶ τὸ τ̄, ἐν τῷ ὅττι.
Δ δῆλον δ' ἄρα κἀντεῦθεν ὅτι βραχυντικὸν ἡ παραγω-
γή. ἐννέα μὲν γὰρ τῷ διπλῷ, ἔνατον δὲ τῷ ἁπλῷ, καὶ
τέτταρα μὲν, τέταρτον δὲ, καὶ θάλλω μὲν, θαλερὸν
δέ. Ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Ἀλλὰ περὶ
μὲν προσῳδίας τι καὶ ὀρθογραφίας ἀποχρώντως
σχεδόν τι εἴρηται.

ΤΕΛΟΣ ΤΟΥ ΤΡΙΤΟΥ.

Τό, τε γ̄ διπλασιάζεσθαι συμβαίνει, καὶ τὸ μ̄, καὶ ν̄, καὶ ρ̄, καὶ σ̄. αὐτὸ δὲ τὸ ν̄, ἔν τε τῇ συνθέσει συμβαίνει διπλασιάζεσθαι, τῆς συλλαβῆς ἀπὸ τοῦ αὐτοῦ ἀρχομένης. ἔννοια. σύννους. Καὶ ἄλλως ἐπὶ τῶν εἰς ύω παραγομένων ἀπὸ τῶν εἰς νω καθαρῶν ῥημάτων. τίνω, τιννύω. κἀντεῦθεν καὶ ἐπὶ τῶν εἰς μι, φυλασσομένων τίνυμι. Τοὐναντίον δὲ συμβαίνει ἐκλείπειν ν̄, ἐν ταῖς συνθέσεσι παντελῶς. ἐφ' ὧν στ ἕπεται. συστέλλω. σύστημα. συστοιχία. Τὸ δὲ λ̄ διπλοῦν καὶ ἐπὶ τῶν τεταρτοζύγων μὴ μακρᾷ φύσει παραληγόντων. οἷον βάλλω. ποικίλλω, βδύλλω, ἀνατέλλω, ὄλλω. πλὴν τοῦ θέλω, καὶ πέλω. Τὸ δὲ μ̄, καὶ μεταβολῇ τοῦ β̄ διπλασιάζεται. οἷον ἐπὶ τῶν πρωτοζύγων. γέγραμμαι. τέτυμμαι. Τὸ δὲ ρ̄ καὶ μεταβολῇ τοῦ σ̄, διπλασιάζεται διὰ τὸ συγγενές. δῆλον ὅτι καὶ τοῦτο πυρσόν. πυῤῥόν. πόρσω. πόῤῥω. καθόλου δὲ καὶ ὅταν ἀρχομένου λέξεως συντεθῇ, τοῖς λήγουσιν εἰς φωνῆεν. ῥῆμα. ἐπίῤῥημα. ῥῆσις, ἀνάῤῥησις. ῥωστός. ἄῤῥωστος. οἷον πως καὶ τὸ αὐξήσει γινόμενον συλλαβικῇ. ῥίπτω, ἔῤῥιπτον. Ἐξαιρείσθω τὰ ἐκ τῆς εὖ. εὔρωστος. τὸ δὲ ἀμφίρυτον καὶ ἄρεκτον. διὰ μέτρον οὐκ ἀπείληφε τὸ διπλοῦν. τὸ δὲ σ̄ διπλοῦν καὶ ἐπὶ τῶν εἰς σσα θηλυκῶν ἐθνικῶν. κίλισσα. λίβυσσα. θρᾷσσα. μάγνησσα. Καὶ ἐπὶ τῆς ἰωνικῆς δοτικῆς τῶν περιπλοκλίτων. πάντεσσι. θήρεσσι. καὶ τῶν τοῖς ἀττικοῖς, εἰς τὸ διπλοῦν μεταποιουμένων

Ἡ ψε, τῷ ε· πλὴν τοῦ ψαίρειν. Ἡ ψι, πρὸ μὲν τοῦ α καὶ θ, τῷ ι· ψίαθος· ψιθυρίζειν· πλὴν τοῦ ψοίδης τῇ οι· μέσον τὸ υ· ψιθύρισμα. Ἐπὶ πρὸ τοῦ λ, ψιλός· πλὴν τοῦ ψηλαφᾶν, τῷ η, καὶ ψύλλα· τῷ υ.

Ἐπὶ πρὸ τοῦ ν· ψινάς· πλὴν τοῦ ψήν· τῷ η. Πρὸ δὲ τοῦ γ, τῷ η· ψύγειν· ὅθεν τὸ ψῆγμα, καὶ ψήκτρον.

Ἐπὶ πρὸ τοῦ φ· ψῆφος. Πρὸ δὲ τοῦ κ, ἢ χ, τῷ υ· ψυκτήρ, ψυχρόν. Ἡ ψο, τῷ μακρῷ· ψολόεις· πλὴν τοῦ ψώθιον· ψωλός· ψωμός· ψώρα· ψώχω.

Καὶ τῆς ψα δὲ, μέσον τὸ υ, ψαθυρόν. Καὶ τῆς α δὲ μέσον τὸ ε· ἀετός· ἀέλλη· ἄρτεμας· πλὴν τῶν ἀραιός· ἀκραιφνής· ἀσπαίρω· ἀχαιός· ἀσκαίρα.

Καὶ τὸ η, ἐν βδε, ἄβδηρα. Ἐπὶ ἐν βλη· ἀβληχρόν.

Ἐπὶ ἐν θη· ἀθηνᾶ· πλὴν τοῦ ἀθύρω· τῷ υ. Ἐπὶ ἐν δη, ἀδημονῶ. Ἐπὶ ἐν θερ, ἀθερήνη· πλὴν τῶν ἀθειβής· τῷ ι· καὶ ἀθροίζω, τῇ οι. Ἐπὶ ἐν λη, ἀλήτης· πλὴν τοῦ ἀλείφω τῇ ει, καὶ ἀλύω, ἀλύσσω τῷ υ. Ἐπὶ ἐν πη ἀπηνής. Ἐπὶ ἐν σκλη, ἀσκληπιός. Ἐπὶ ἐν τη, ἀτήλας. Ἐπὶ ἐν χη, ἀχηδών. Ἐπὶ ἐν γη ἀλγηδών, πλὴν τοῦ ἀλγύνω, τῷ υ καὶ ἀλγεινός, τῇ ει. Ἐν δὲ ἄρβηλα, τῷ η. Ἐν βρι, τῷ ι ἀμβρικές· πλὴν τοῦ ἀβρύνω, τῷ υ. Ἐπὶ ἐν γι, ἅγιον· πλὴν τοῦ ἀγήλω, τῷ η καὶ ἀγυιά, τῇ υι καὶ ἀγύρτης· ἄργυρος τῷ υ, καὶ ἀγείρω, τῇ ει. Ἐπὶ ἐν γυι, εἰ μὴ ἀπὸ τοῦ δύω.

Ἐπὶ ἐν γρι, ἄγριον· πλὴν τῶν ἀγρείφνη, τῇ ει, καὶ ἀγροίλη· ἀγροιώτης· τῇ οι. Ἐπὶ ἐν δρι ἀδρίας· πλὴν τῶν ἀδρύνω, τῷ υ, καὶ ἀδρεῖος τῇ ει.

ριασμός. μέσον τὸ ι. πλὴν τοῦ φορυτός. ἐπὶ φρυγανίων τῷ υ. Η φρι. πρὸ μὲν τοῦ ν, φρὴν τῷ η φρῦνος. τῷ υ. μέσον τὸ ι. φρύνιχος. πρὸ δὲ τοῦ κ. μονοσυμφώνως τῷ ι. φρίκη. Επὶ πρὸ τοῦ μ, καὶ σ, καὶ τ, φριμάσσεσθαι, φρίσσειν. Τὰ δὲ λοιπά, τῷ υ φρύγανον, φρυκτός. μέσον τὸ ι, φρυγίλος.
Η φρο, τῷ μικρῷ, φρόνιμος. Τῆς δὲ φα, μέσον τὸ ε φαέθων. φανερόν. Η χε, τῷ ε. πλὴν τοῦ χαίρειν, καὶ χαίτη. μέσον τὸ ι. χελιδών, πλὴν τοῦ χελώνη, καὶ τὸ μέγα χαιρώνεια, χελώνη. Η χι, πρὸ μὲν τοῦ α, τῇ ει. χεια. Επὶ πρὸ τοῦ λ. πλὴν τοῦ χηλή, τῷ η. καὶ χυλός, τῷ υ. καὶ χιλός, καὶ χίλια τῷ ι. Επὶ πρὸ τοῦ μ. πλὴν τοῦ χίμετλα τῷ ι.
Πρὸ δὲ τοῦ δ, τῷ υ. χύδην. Πρὸ δὲ τοῦ τ, μονοσυμφώνως μὲν τῷ ι, χιτών. δισυμφώνως δὲ τῷ υ. χύτρα. χύτλον. Η χθε, τῷ ε, χθές. Η χθο, τῷ μεγάλῳ μὲν ἐπ' εὐθείας. χθών. τῷ μικρῷ δὲ ἐπὶ γενικῆς. χθονός. ὅθεν τὸ χθόνιος. Η χλι, τῷ ι. χλίδος. Η χλο, τῷ μικρῷ. πλὴν τοῦ χλωρόν.
Επὶ ἡ χνο, τῷ μικρῷ, χνόη. Επὶ, ἡ χο, τῷ μικρῷ. πλὴν τοῦ χωλός, χώρα. χῶμα. Η χρε τῷ ε. χρέπτεσθαι. Η χρη μόνη τῷ η χρή. Πρὸ δὲ τοῦ α. χρεία τῇ ει χροιὰ ὀξυτόνως τῇ οι. Πρὸ δ' ἑτέρου φωνήεντος τῷ ι, χρίω. ὅθεν τὸ χριστός. πρὸ δὲ τοῦ μ, καὶ σ. τῷ η. πλὴν τοῦ χρυσός τῷ υ.
Η χρο, τῷ μικρῷ. πλὴν τοῦ χρῶμα, καὶ χρώς. Τῆς δὲ χα, μέσον ι, χαλινός. πλὴν τοῦ χάρυβδις. τῷ υ.

Ε τι πρὸ τοῦ χ̄· τρίχος· πλὴν τοῦ τρύχειν· τῷ ῡ·

Ε τι πρὸ τοῦ γ, ἢ ζ, ἢ μ̄, ἢ φ̄, τῷ ῡ· τρυγῶ· τρύζω· τρυμός· τρυφή· Προ δὲ τοῦ ρ̄ ἢ τ̄, τῷ η̄· πλὴν τοῦ τρίτον τῷ ῑ· Προ δὲ τοῦ σ̄, τρὶς, τῷ ῑ· τρεῖς τῇ ει· Η τρο, τῷ μικρῷ· πλὴν τοῦ τρώγειν· τρώγλη· μέσον τὸ ῑ, τροχιλιά· Τῆς δὲ τα, καὶ τρα, μέσον τὸ ῑ, τάριχος· πλὴν τοῦ τράχηλος· τῷ η̄· καὶ ταμίας τῷ ῑ· καὶ ταπεινός· τῇ ει· Η φε, τῷ ε̄· πλὴν τοῦ φαιόν· φαιδρόν· φαίνω· Η φι, πρὸ μὲν φωνήεντος τῷ υ· φύω· ὅθεν τὸ φῦμα· πλὴν τοῦ φιάλη τῷ ῑ· Ετι πρὸ τοῦ γ· πλὴν τοῦ φηγὸς τῷ η· Ετι πρὸ τοῦ κ· φύκος· Ετι πρὸ τοῦ λ πλὴν τοῦ φίλος, καὶ φίλυρα· τῷ ῑ· Ετι πρὸ τοῦ ρ, φύρειν·

Ε τι πρὸ τοῦ σ· φύσις· φυσᾶν· Προ δὲ τοῦ β, τῇ οι· φοῖβος· πλὴν τοῦ φιβάλις· Ετι πρὸ τοῦ ν, φοῖνιξ·

Π ρὸ δὲ τοῦ δ, τῇ ει· φείδομαι Προ δὲ τοῦ μ, τῷ η, φήμη· πλὴν τοῦ φιμός· Προ δὲ τοῦ τ, φυτὸν, τῷ υ· ὅθεν τὸ φυτεύειν, καὶ φοιτᾶν, τῇ οι· ὅθεν τὸ φοιτητής· Τὰ δὲ λοιπὰ, τῷ ι· φιτρός· φιτύω

Η φθι, πρὸ μὲν φωνήεντος, τῷ ι· φθία· Ετι πρὸ τοῦ ν· φθίνω· πρὸ δὲ τοῦ ρ, τῇ ει· φθείρω· Η φθο, τῷ μικρῷ· φθορά· Η φλε· τῷ ε· φλέγω· Η φλι, πρὸ μὲν φωνήεντος, τῷ υ· πλὴν τοῦ φλιά· τῷ ι, καὶ φλοιὸς, τῇ οι· Ετι πρὸ τοῦ κ· φλυκταινα· πρὸ δὲ τοῦ η, τῷ η· φλήναφος· Προ δὲ τοῦ σ, τῇ οι· φλοῖσβος· Η φλο, τῷ μικρῷ· φλόξ· Ετι ἡ φο, τῷ μικρῷ· πλὴν τοῦ φῶς· φώκη· φωλεός· φωνή· φώρ· φω/

Πρὸ δὲ τοῦ μ, τῷ η, σχῆμα. Πρὸ δὲ τοῦ ν, σχῖνος. τῷ ι. σχοῖνος, τῇ οι. Της δὲ σα. καὶ σκα, καὶ σφα. μέσον τὸ ι, σάρισσα. πλὴν τοῦ σάπφειρος. τῇ ει, καὶ σκαληνὸν τῷ η, καὶ τὸ ε, σφάκελος. καὶ τὸ μακρὸν σαυρωτὴς, πλὴν τοῦ σκαμμωνία. Η τε, τῷ ε. πλὴν τοῦ ταυγία. καὶ ταίναρον. μέσον τὸ ε, καὶ ι. τέρμινθος. τρετίζειν. πλὴν τοῦ τερηδὼν τῷ η. Η τι, πρὸ μὲν φωνήεντος, τῷ ι. τίω. Επι πρὸ τοῦ γ. πλὴν τοῦ τήγανον. τῷ η. Επι πρὸ τοῦ θ. τιθή. μέσον ἐν τιθηνὸς, τῷ η. ἐν τιθύμαλος. τὸ υ. Επι πρὸ τοῦ μ. πλὴν τοῦ τημελὲς, τῷ η. καὶ τύμπανον τὸ υ μέσον τὸ ε.

Επι πρὸ τοῦ ν καὶ τ. πλὴν τοῦ τητῶμαι. τῷ η, καὶ τυτθὸν, τῷ υ. Πρὸ δὲ τοῦ β, καὶ κ, καὶ λ, τῷ η. τήβεννος. τηκεδών. τήλεφος. πλὴν τοῦ τίλλω, τῷ ι. μέσον τὸ ε. Πρὸ δὲ τοῦ π, τῷ υ τύπος. Επι πρὸ τοῦ ρ. πλὴν τοῦ τηρεῖν. τῷ η, καὶ τείρειν, τῇ ει. μέσον τὸ ι. τηριδάτης. φυλάττεσθαι δέ τοι τῶν εἰς ι νος ὀξυτόνων, ὁ σχηματισμός. Επι πρὸ τοῦ φ. πλὴν τοῦ τῖφη. τῷ ι. Πρὸ δὲ τοῦ χ, τεῖχος, τῇ ει, τοῖχος ἀρσενικογενῶς, τῇ οι. τύχη, τῷ υ. ὅθεν τὸ τυγχάνω. Η τλη, καὶ τμη, τῷ η, τλήμων. τμητόν.

Η τμω, τῷ μεγάλῳ. τμῶλος. Η το, τῷ μικρῷ. πλὴν τοῦ τωθάζειν. μέσον τὸ υ. τολύπη, καὶ τὸ μικρὸν, τοξότης. Η τρε, τῷ ε. τρέχω. Η τρι, πρὸ μὲν φωνήεντος τῷ ι. τριάς. μέσον ἢ αυ τρίαινα. καὶ τὸ η τριήρης. Επι πρὸ του β, τρίβω. ὅθεν τὸ τρίμμα. πλὴν τοῦ τρυβλίον. τῷ υ.

κρόν· σμίλη. πλὴν τοῦ σμηκίθης· τῷ η. οὗ μέσον τὸ ι. Πρὸ δὲ τοῦ ν, τῷ η. σμῆνος πλὴν τοῦ σμινύε. τῷ ι. Πρὸ δὲ τοῦ χ, σμήχειν. τῷ η. σμύχειν, τῷ υ.

Η σμω. τῷ μεγάλῳ. σμῶδιξ. Ἡ σο. τῷ μικρῷ. σορὸς, πλὴν τοῦ σώζειν. σῶμα. σωρός. μέσον τὸ υ, σόλυμα. εἰ μή τι τῶν προτέρων εἰρημένων κωλύοι.

Η σπε, τῇ αι. σπαίρειν. Η σπι, πρὸ μὲν τοῦ θ. καὶ ν, τῷ ι. πλὴν τοῦ σπήλαιον τῷ η. Πρὸ δὲ τοῦ ρ. ἢ σ, τῷ ει. πλὴν τοῦ σπυρίς. τῷ υ. Η σπο, τῷ μικρῷ. σπόρος. Η στε, τῷ ε. πλὴν τοῦ στάς. μέσον τὸ ε, στέλεχος. Η στι, πρὸ μὲν τοῦ β. στείβειν, τῇ ει. στοιβή, τῇ οι. στιβάς, τῷ ι. Η στο. τῷ μικρῷ. πλὴν τοῦ στωϊκός. στωμύλος. καὶ στωβύσσω. ὧν μέσον τὸ υ.

Ε τι πρὸ τοῦ χ. στείχειν, τῇ ει. στοιχεῖον τῇ οι. στίχος, τῷ ι. Πρὸ δὲ τοῦ γ. ἢ ξ. ἢ π. ἢ ρ. τῷ υ. στυγῶ. στύξ. στυπεῖον. στύραξ. Πρὸ δὲ τοῦ ζ, τῷ ι. στίζειν. ὅθεν τὸ στίγμα. Ἔτι πρὸ τοῦ λβ. δισυμφώνου. στίλβειν. Ἔτι πρὸ τοῦ φ, στίφος. πλὴν τοῦ στυφελίξαι. καὶ στύφειν, τῷ υ. Πρὸ δὲ τοῦ λ, τῷ η. στήλη, πλὴν τοῦ στύλος, τῷ υ. Η στρι τῷ υ. στρυφνόν. Η στρε, τῷ ε. μέσον τὸ αὐτό. στρεπλέγλα. Η στρο, τῷ μικρῷ. μέσον τὸ υ, στρογγύλον. Η σφι, πρὸ μὲν τοῦ γ τῷ ι. σφίγγω. Πρὸ δὲ τοῦ ζ, τῷ υ. σφύζω. ὅθεν τὸ σφυγμός. Ἔτι πρὸ τοῦ ρ. σφύρα. Πρὸ δὲ τοῦ υ. γ. καὶ ξ τῷ η. σφήν. σφήξ. Η σφε, τῷ ε. πλὴν τοῦ σφαῖρα. μέσον τὸ μικρόν. Η σφρι, τῷ υ. σφρυγᾶν.

Η χε. τῷ ε, χέδιον. Η χι, πρὸ μὲν τοῦ ζ, τῷ ι, χίζειν

πλὴν τ͂ σελήνη· τῷ η. Ησι. πρὸ μὲν φωνήεντος, τῷ ι. πλὴν τοῦ σείω. ὅθεν τὸ σεισμός. μέσον τὸ ε, σίελος. Πρὸ δὲ τοῦ β, τῷ υ. πλὴν τοῦ σιβύλλα. τῷ ι. ἧς μέσον τὸ υ. Ετι πρὸ τοῦ κ. πλὴν τοῦ σηκός, τῷ η. καὶ σικελός. σίκυα τῷ ι. οὗ μέσον τὸ ε. Ετι πρὸ τοῦ π. πλὴν τοῦ σίπυλος. τῷ ι. ἧς μέσον τὸ υ. Ετι πρὸ τοῦ λ. πλὴν τοῦ σιληνός. καὶ σίλφιον, τὸ ι. μέσον τὸ η, σιληνός. εἰ μή τι εἰς ιον. Ετι πρὸ τοῦ ν, πλὴν τοῦ. σῖνος. σινδών, τῷ ι. Πρὸ δὲ τοῦ δ, τῷ ι. σίδηρος. μέσον τὸ η εἰ μή τι εἰς ιον. Ετι πρὸ τοῦ ρ. πλὴν τοῦ σιρός, τῷ ι. καὶ σειρά, τῇ ει. Ετι πρὸ τοῦ σ. πλὴν τοῦ σήσαμον τῷ η. καὶ σίσυφος. καὶ σισύρα, τῷ ι. ὧν μέσον τὸ υ. Πρὸ δὲ τοῦ μ, τῷ ο. σιμός. πλὴν τοῦ σημεῖον, τῷ η. οὗ μέσον ἡ ει. Ησκε, τῷ ε. πλὴν τοῦ σκαιόν. καὶ σκαίρειν. Ησκι, πρὸ μὲν φωνήεντος, τῷ ι, σκιά. Ετι πρὸ τοῦ ρ, σκίρωσις. μέσον τὸ μέγα σκιρωνίς. Πρὸ δὲ τοῦ ζ. καὶ θ, τῷ υ. σκύζομαι σκύθης. Ετι πρὸ τοῦ λ. πλὴν τοῦ σκίλλα τῷ ῖ. Ετι πρὸ τοῦ μ. πλὴν τοῦ σκίμπους. τῷ ῖ. Ετι πρὸ τοῦ τ. σκύτος.

Πρὸ δὲ τοῦ π, τῷ η. σκήπτρον. σκηπτός. Ετι πρὸ τοῦ ν, σκηνή. Ησκλῖ, τῷ η. σκληρόν.

Ησκνῖ, τῷ ῖ. σκνιπός. Ησκο, τῷ μακρῷ. πλὴν τ͂ σκῶλος. σκώπτω. σκωρία. μέσον τὸ ῖ. καὶ ε, πλὴν τῶν σκόλυθρον. σκομβρύζειν, τῷ ῦ. καὶ τὸ μακρόν. σκόροδον. Ησμι πρὸ μὲν τοῦ κ. ἢ λ, τῷ ῖ. σμι

πόλεμος. πολιός. πλὴν τοῦ πόδηρις, τὸ η. καὶ τὸ μα-
κρὸν πομφόλυξ. Η πρε, τῷ ε. ἑλληνικῶν ὄν-
των. Η πρι, πρὸ μὲν φωνήεντος τῷ ι, πρίασθαι.
Πρὸ δὲ τοῦ λ. καὶ μ. καὶ τ, τῷ υ, πρύμνη. πρύλις.
πρύτανις. Πρὸ δὲ τοῦ ν. καὶ σ, τῷ η. πρηνής. πρησ-
τήρ. πλὴν τοῦ πρῖνος καὶ πρὶν τῷ ι. Πρὸ δὲ τοῦ
ξ, τῇ οι. προῖξ. Η πλε, τῷ ε. πλὴν τοῦ πλαίειν.
ὅθεν τὸ πλαῦσμα. Η πλι, πρὸ μὲν φωνήεντος, τῷ
υ. πλύον, πλοία δὲ τῇ οι. Πρὸ δὲ τοῦ λ, τῷ ι. πίλον.
Πρὸ δὲ τοῦ σ, πλισσαίη, τῷ ι. πλύσσομαι τὸ αὐτοενερ-
γητικόν. τῷ υ. Η πλο, τῷ μεγάλῳ. πλὴν τοῦ πλόρ-
θος. Τῆς δὲ πα, μέσον τὸ ι. καὶ ε, πάρμεσος.
παρθένος. πλὴν τοῦ παλαίω. παλαιόν.
Η ρε, τῷ ε. πλὴν τοῦ ῥαιβός. ῥαίνειν. ῥαιστήρ.
Η ρι, πρὸ μὲν τοῦ α, τῇ οι. ῥοία. πλὴν τοῦ ῥύαξ. τῷ υ.
Ἐπὶ πρὸ τοῦ β. ῥοῖβδος. Πρὸ δὲ φωνήεντος ἑτέρου,
τῷ υ. ῥύαμαι. Ἐπὶ πρὸ τοῦ γ. χ. ῥύγχος.
Ἐπὶ πρὸ τοῦ θ ῥυθμός. Ἐπὶ πρὸ τοῦ κ καὶ μ. καὶ
π, πλὴν τοῦ ῥιπή, τῷ ι. Πρὸ δὲ τοῦ γ. μονοσυμ-
φώνως. ἢ ζ. ἢ ν, τῷ ι ῥῖγος. ῥίζα. ῥίνη. καὶ ῥοῖζος,
τῇ οι. Πρὸ δὲ τοῦ σ καὶ τ, τῷ η. πλὴν τοῦ ῥυ-
τίς. τῷ υ. μέσον τὸ ι, ῥητίνη. Η ρο, τῷ μικρῷ.
πλὴν τοῦ ῥώμη. ῥωγμός. ῥὼψ μέσον ἐν ῥοδωνιᾷ
τὸ μέγα ἐν ῥοδῶνι, τὸ μικρόν. Τῆς δὲ ρα μέ-
σον τὸ ι καὶ μέγα. ῥαδινός. ῥαστώνη. πλὴν τοῦ ῥα-
θυμός. τὸ υ Η σβε τῷ ε. σβεννύω. Η σε, τῷ
ε. πλὴν τοῦ σαίνειν σαίρειν. μέσον τὸ ι σέλινον.

τοῦ γ. τῷ η. πηγή. πλὴν τοῦ πυγή, τῷ υ. μέσον τὸ η, πηγίδιον. πλὴν τοῦ πηγυλίς. τῷ υ. Ἔτι πρὸ τοῦ δ. πλὴν τοῦ πίδαξ, τῷ ι. καὶ πύδνα, τῷ υ. Ἔτι πρὸ τοῦ λ. πλὴν τοῦ πύμη, τῷ υ. καὶ πῖλος, τῷ ι.

Ἔτι πρὸ τοῦ χ. οἷον. πῆχυς. Πρὸ δὲ τοῦ ν, τῷ ι. πλὴν τοῦ ποινὴ τῇ, οι. καὶ πυνθάνομαι. καὶ πυκινὸς, τῷ υ. καὶ πεῖνα τῇ ει καὶ πήνη τῷ η. Ἔτι πρὸ τοῦ σ, καὶ τ, πίστις. πίτυς. πλὴν τοῦ πήσσω. ὅθεν τὸ πητύα, τῷ η. καὶ πύστις, τῷ υ. μέσον τὸ υ, πητύα. Πρὸ δὲ τοῦ θ, τῷ υ. πύθω, πυθία. πυθμήν. πλὴν τοῦ πείθω. τῇ ει. καὶ πιθανὸν, πίθηκος. πίθος. τῷ ι. μέσον τοῦ ι τὸ η. πίθηκος. Ἔτι πρὸ τοῦ κ. πλὴν τοῦ ποικίλον. τῇ οι. καὶ πικρὸν τῷ ι, μέσον τὸ ι ποικίλον. Ἔτι πρὸ τοῦ ξ πύξ. Πρὸ δὲ τοῦ ρ, τῇ ει. πείρω. πεῖρα. πλὴν τοῦ πήρα τῷ η. καὶ πῦρ, τῷ υ. μέσον η αι, πειραιεύς. καὶ ἐν μὲν πυρήνη, τὸ η ἐν δὲ πυρίνθω, τὸ ι. Ἡ πλε, τῷ ε. πλὴν τοῦ πλαίσιον. Ἡ πλι, πρὸ μὲν φωνήεντος, τῇ οι. πλοῖον Πρὸ δὲ τοῦ θ, ἢ μ. ἢ ρ τῷ η. πλῆθος. πλημμελεῖν πλήρες. μέσον τὸ ε. καὶ υ. πλημμέλημα. πλημυρίς. Πρὸ δὲ τοῦ ν μονοσυμφώνως μὲν τῷ υ πλύνω. μετὰ δὲ τοῦ θ, τῷ ι. πλίνθος.

Ἡ πλο, τῷ μικρῷ. πλὴν τῶν ἀπὸ τοῦ πέπλομαι. καὶ πέπλοται. οἷον πλώϊμον. πλωτός. Ἡ πνι, πρὸ μὲν τοῦ γ, τῷ ι. πνιγός. Πρὸ δὲ τοῦ ξ. τῷ υ. πνύξ.

Ἡ πο, τῷ μικρῷ. πόρος. πόλος. πλὴν τοῦ πώγων. πῶλος. πῶρος. πῶς. πῶϋ. πῶ. μέσον τὸ ε καὶ ι,

Πρὸ δὲ τοῦ φ̄, τῷ ῑ· ξίφος. τὰ λοιπὰ δὲ πάντα τῷ
ῡ· ξύειν· ξύλον· ξυστίς. Ο Ηο̄, τῷ μακρῷ. πλὴν
τοῦ ω ἐπιρρηματικοῦ· ὠόν· ὠγύγιον· ὧδε. ὠδή. ὠ-
δίς· ὠλένη· ὠμόν· ὦμος μορίου· ὠνή· ὥρα· ὠρίων· ὠ-
ρότρος ὠς· ὠτός· ὤειθμα· ὠρείτης· ὠρύεσθαι· ὠφε- Ξ
λεῖν· ὠχρόν· ὤψ τοῦ ὀφθαλμοῦ· μέσον τὸ ε̄· ὀβε-
λός· ὠλένη· καὶ τὸ μικρὸν ὀβολός· πλὴν τοῦ ὠρω-
πός· καὶ τὸ μὲν ῑ, ἐν κρῑ, τῷ μακρῷ· ὀκρίβας. καὶ
μῑ· πλὴν τοῦ ὅμηρος, τῷ η̄· καὶ ὁμοῖος τῇ οῑ· καὶ
πῑ, ὀπίσω· πλὴν τοῦ ὀπήγιον, τῷ η̄ καὶ ὀπύειν, τῷ
ῡ· καὶ πῑ, ὀπίτης· καὶ ρῑ, ὀρίγανον· πλὴν τῶν ὀρύσ-
σω· ὀρυγμαδός τῷ ῡ· καὶ ἔτυμον ἀπὸ τοῦ ὄρεος· ἐν δὲ
κῡ, τὸ ῡ· ὀγκύλον· καὶ δῑ, ὀδύνη, πλὴν τῶν ὀδί-
της· ὀδίων, τῷ ῑ· καὶ ὀδήμας· ὀδήσασος, τῷ η̄· καὶ
θρῑ· ὀθρυονδίς· καὶ λῑ· ὀλύρα· πλὴν τοῦ ὀλίγον, τὸ
ῑ· καὶ ἐν μνῑ· ὀμνύω· καὶ ξῑ· ὀξύνω· καὶ τρῑ ὀτρύ-
νω· καὶ χῑ ὀχυρόν. εἰ μή τι ἀπὸ τοῦ δύω· ἐν δὲ ν̄· ῑ καὶ
φῑ, τῇ εῑ· ὄνειρον· ὀφείλω· καὶ τῷ μεγάλῳ δὲ, με-
σον τὸ ῑ· πλὴν τοῦ ὠγυγίη· ὠρύεσθαι τῷ ῡ, καὶ ὀρείθυια
ὠρείτης· καὶ εἴ τι ποιητικὸν, τῇ εῑ. Π. Η πε̄, τῷ
ε̄· πλὴν τοῦ παιαί· παίειν· παῖς· παίζειν ὅθεν τὸ παί-
γνιον· παίπαλιν παιφάσσειν· μέσον τὸ ῑ· πέδιλον·
Η πῑ μόνη ἐπιρρηματικῶς· ἡ μὲν, ἐπιστάσεως· οἱ δὲ, Η
ἐπὶ κινήσεως· πῆ, πῶ· πρῑ, βῶ. Πρὸ δὲ φωνήεντος,
τῇ οῑ· ποιῶ, ποῖον· πλὴν τοῦ πίον, τῷ ῑ· ὅθεν τὸ πιε-
ρία· πύρος, καὶ πύον, καὶ πύελος, τῷ ῡ, καὶ πιέζειν, Π
τῷ ῑ· μέσον τὸ ε̄ πύελος· πλὴν τοῦ πιαίνειν· πρὸ δὲ

Προ δὲ τοῦ ζ, ἢ θ, ἢ στ, ἢ σ, ἢ δύο ττ, ἢ ρ, δισυμφώνως· ἢ φωνήεντος πλὴν τοῦ α καὶ ο, τῷ υ· μυζᾶν, μῦθος, μυστήριον· μῦς, μυσκέλεθρον, ἢ τούτου κόπρος· μυσσα· μυττωτὸς, μύρτος, μύειν, μύοψ· πλὴν τοῦ μασεῖν, μαστύλλω· οὗ μέσον τὸ ο.

Πρό γε μὴν τοῦ μακροῦ, τῇ ει· μεῖον. Η μνι πρὸ φωνήεντος μὲν μνίον τῷ ι· μνεία τῇ ει.

Πρὸ δὲ τοῦ μ καὶ σ τῷ η· μνήμη, μνηστήρ.

Η μο, τῷ μικρῷ πλὴν τοῦ μῶκος, μῶμος, μωρός, μέσον τὸ υ μόλυβδον· καὶ τὸ μικρὸν, μολόχη.

Της δὲ μα· μέσον τὸ ε· μακεδών· πλὴν τοῦ μάκαιρα· καὶ ἐν μὲν γνι, τῷ η· μαγνῆτις· ἐν δὲ ρι· τῷ ι.

Η νε, τῷ ε· πλὴν τοῦ ναι· καὶ ναίειν· μέσον τὸ ε, καὶ τὸ μικρὸν, νεφέλη· νεοττός. Η νη μόνη ἐπιρρηματικῶς μὲν, τῷ η· νη· συνδεσμικῶς δὲ, τῷ υ.

Πρὸ δὲ φωνήεντος, τῇ ει· νειός. Ετι πρὸ τοῦ ν νεῖλος. Προ δὲ τοῦ ζ, τῷ ι· νίζω. Ετι πρὸ τοῦ κ· πλὴν τοῦ νεῖκος. Ετι πρὸ τοῦ π· νίπτω.

Πρὸ δὲ τοῦ ρ, τῷ η· νηδύς· μέσον τῷ ι· νήριον.

Ετι πρὸ τοῦ σ· πλὴν τοῦ νίσσα πόλις, τῷ ι· καὶ νύσσειν, τῷ υ. Ετι πρὸ τοῦ φ, τῷ η· νήφειν· ὅθεν νῆψις· πλὴν τοῦ νίφειν· ὅθεν τὸ νιφετός· καὶ νείφειν τῇ ει· πλὴν τοῦ νίτρον τῷ ι. Προ δὲ τοῦ μ καὶ ν καὶ ξ, τῷ υ· νύξ· νύμφη· νῦν· πλὴν τοῦ νίνος· καὶ νιν, αὐτῶν μικρῶς· τῷ ι. Η νο, τῷ μικρῷ· πλὴν τοῦ νῶ· καὶ νῶιν καὶ νῶτα. Ξ Η ξε, τῷ ε· πλὴν τοῦ ξαίνειν. Η ξι· πρὸ μὲν τοῦ ρ, ξηρόν· τῷ η· ξηρὸς, τῷ υ.

ον, λωφᾶν. Τῆς δὲ λα, μέσον τὸ ε, λακέρυζα. καὶ τὸ υ. λάφυρα. πλὴν τῶν λαλιὰ, λαπίθης, τῷ ι. καὶ λαμπηδών. τῷ η. Η με, τῷ ε. πλὴν τῶν μαῖα, μαιμᾶν, μαίνεσθαι, μαιῶτις. μέσον τὸ ε. πλὴν τοῦ μεγαίρων, καὶ μέλαινα. καὶ τὸ υ. μέθυσος. πλὴν τοῦ μέδιμνον, τὸ ι. καὶ τὸ μέγα μαιῶτις.

Η μη. μόνη, τῷ η. Πρὸ δὲ τοῦ α, τῷ ι. μιαρόν.

Επὶ πρὸ τοῦ γ, μιγνύω. Επὶ πρὸ τοῦ κρ ἢ τρ, μικρὸν, μίτρα, πλὴν τοῦ μήτρα, τῷ η. Επὶ πρὸ τοῦ μ, μιμεῖσθαι. Επὶ πρὸ τοῦ σ μονοσυμφώνως. ἢ μετὰ τοῦ θ, μῖσος, μισθός. πλὴν τοῦ μῦσος τῷ υ. μέσον. ἢ αι, μίθαικος. Πρὸ δὲ τοῦ δ καὶ θ, τῷ η. πλὴν τοῦ μειδιᾶν, τῇ ει. καὶ μυδᾶν. καὶ μύδρος, τῷ υ. μέσον ἐγδι, τῷ ι. μειδιῶ. ἐγθυ τῷ υ μυθύμνη.

Επὶ πρὸ τοῦ κ μονοσυμφώνως. πλὴν τοῦ μυκᾶσθαι, μυκῆναι, μύκης, τῷ υ, καὶ μίκυλλος τῷ ι. οὐ μέσον, τῷ υ. Επὶ πρὸ τοῦ λ. πλὴν τοῦ μίλαξ. καὶ μίλτος, τῷ ι, καὶ μύλη, τῷ υ. καὶ μειλίσσεσθαι τῇ ει. μέσον τὸ ι. μείλιχον. καὶ τὸ μέγα. μήλωθρον.

Επὶ πρὸ τοῦ ν. πλὴν τοῦ μίνθη. μίνως. μινύθειν, τῷ ι. μέσον τὸ υ. πλὴν τοῦ μηνύειν. ἐπ' ὀργῆς τὸ ι.

Επὶ πρὸ τοῦ ρ. μονοσυμφώνως. πλὴν τοῦ μύρον. καὶ μυρία. καὶ μύρμηξ, τῷ υ. καὶ μοῖρα τῇ οι. καὶ μειράκιον τῇ ει. μέσον τὸ ι μήριγθος, πλὴν τοῦ μυρύω τῷ υ. Επὶ πρὸ τοῦ τ μονοσυμφώνως. πλὴν τοῦ μίτος τὸ ι. μέσον τὸ υ. μιτυλήνη. Επὶ πρὸ τοῦ χ. πλὴν τοῦ μοιχὸς, τῇ οι. καὶ μυχὸς τῷ υ.

λαψ· καὶ ἐφ' ὧν τὸ φ ἢ ψ ἕπεται λαῦφος· λαιψηρόν· μέσον τὸ υ, λέπυρον. Ηλι· πρὸ μὲν φωνήεντος τῇ ει· λεῖον· πλὴν τοῦ λίαν· καὶ λιαρὸν τῷ ι· καὶ λήιον· ὅθεν τὸ ληΐζεσθαι· ἀφ' οὗ τὸ ληστής· τῷ η· καὶ λύω, ὅθεν λύσις· καὶ λυτὸν, τῷ υ. Επι πρὸ τοῦ π, λείπω ὅθεν τὸ λοιπόν· τῇ οι· πλὴν τοῦ λίπος, τῷ ι· καὶ λύπη, λυπηρόν· τῷ υ. Επι πρὸ τοῦ τ· λειτουργός· πλὴν τοῦ λιτὸν, τῷ ι. Πρὸ δὲ τοῦ β, τῷ ι· πλὴν τοῦ λείβειν, τῇ ει· ὅθεν λοιβὴ τῇ οι· μέσον τὸ υ· λιβύη. Επι πρὸ τοῦ κ καὶ λ πλὴν τοῦ λεῖχνον, τῇ ει· καὶ λήκυθος τῷ η· καὶ λύκος ἢ λυκάμβη· καὶ λυκάβας· τῷ υ μέσον ἢ αι, λιλαίομαι· καὶ τὸ υ λικύθιον. Επι πρὸ τοῦ μ· πλὴν τοῦ λεῖμαξ· καὶ λειμὼν τῇ ει καὶ λῦμνος, λῆμμα· τῷ η· καὶ λυμαίνεσθαι, τῷ υ· καὶ λοιμὸς, νόσος τῇ οι.

Επι πρὸ τοῦ ν· πλὴν τοῦ ληνὸς τῷ η. Επι πρὸ τοῦ χ πλὴν τοῦ λύχνος φωτός· τῷ υ. Επι πρὸ δύο σσ· οἷον λίσσομαι· ὅθεν τὸ λιτή· ἀφ' οὗ τὸ λιτανεύειν· πλὴν τοῦ λύσσα τῷ υ. Πρὸ δὲ τοῦ γ τῷ η· πλὴν τοῦ λιγὺς καὶ λιγνὺς τῷ ι καὶ λυγὴ, λύγξ, λύγος τῷ υ καὶ λοιγός· τῇ οι.

Επι πρὸ τοῦ θ μονοσυμφώνως· πλὴν τοῦ λίθος τῷ ι· ἔπι πρὸ τοῦ ξ, ἢ ρ πλὴν τοῦ λιρός· τῷ ι, καὶ λύρα· τῷ υ, καὶ λείριον τῇ ει. Πρὸ δὲ τοῦ δ ἢ σθ, τῇ οι, λοιδορία· λοῖσθος· πλὴν τοῦ λυδὸς, τῷ υ· μέσον τὸ μακρόν· πρὸ δὲ τοῦ ζ, ἢ θρ, τῷ υ· λύζειν, λύθρος. Η λο τῷ μακρῷ· πλὴν τοῦ λώβη· λώπιον, λω

κόμμιχος· κωτίλλω, τῷ ι· καὶ κορησσός τῷ η· καὶ κολοιός· κόροιβος, τῇ οι· καὶ κώνειον τῇ ει· καὶ τὸ μακρὸν, κολοκύντη· πλὴν τῶν κολώνη· κορώνη· κολωός· κομμωτική. Η κρε τῷ ε· πλὴν ἐφ' ὧν ν ἢ π ἕπεται· κραίνειν, κραιπάλη.

Η κρι πρὸ μὲν φωνήεντος, τῷ ι· πλὴν τοῦ κρυός, τῷ υ· καὶ κρείων, τῇ ει. Ετι πρὸ τοῦ β· καὶ δ καὶ κ· κρίβανον, κριτὴ, κρίκος. Ετι πρὸ τοῦ ν· πλὴν τοῦ κρήνη, τῷ η. Ετι πρὸ τοῦ σ· καὶ τ· πλὴν τοῦ κρής· καὶ κρηστωνία, τῷ η· καὶ κροῖσος· τῇ οι· μέσον τὸ μέγα. Πρὸ δὲ τοῦ γ, ἢ δ, ἢ μ, ἢ π· μονοσυμφώνως, τῷ η· κρήγυον, κρήδεμνον, κρημνός, κρηπίς· πλὴν τοῦ κρυμὸς, τῷ υ. Πρὸ δὲ πτ, τῷ υ· κρύπτω ὅθεν τὸ κρύβδην. Η κρο τῷ μακρῷ· πλὴν ἐφ' ὧν β ἢ ζ ἕπεται· κρώβυλος· κρώζειν· μέσον τὸ υ· κρόμμυον. Η κτε, τῷ ε· κτερίζω.

Η κτι, πρὸ μὲν τοῦ δ, ἢ μ, ἢ ν, τῷ η· κτηδὼν, κτῆμα κτῆνος· πλὴν τοῦ κτείνω τῇ ει· ὅθεν τὸ κρινγύω, τῷ ι. Πρὸ δὲ τοῦ ζ καὶ λ, τῷ η· κτίζω, κτίλος. Πρὸ δὲ τοῦ π, τῷ υ· κτυπῶ. Πρὸ δὲ τοῦ σ, τῇ ει· κτείς· τὸ γάρ τοι κτίσις τῷ ι· καὶ κτῆσις τῷ η, δῆλον ὅτι ἀπὸ τοῦ ἐκτίσθαι, καὶ κεκτῆσθαι γενόμενα· ἐκεῖθεν καὶ τὸ αὐτόστοιχον ἴσχει. Τῆς δὲ κα, τὸ μέσον ε· Καρνεάδης· καὶ τὸ υ καλύπτω· πλὴν τῶν κάπηλος, κάμηλος· καντήλιον· καρχηδὼν, τῷ η· καὶ κάμανος, τῷ ι· καὶ τὸ μέγα· καλλωπίζω· πλὴν τοῦ κάρδοπος. Η λε τῷ ε· πλὴν τοῦ λαιμὸς, λαιὸς, λαί-

Πρὸ δὲ τοῦ δ μονοσυμφώνως, τῷ η. πλὴν τοῦ κύδος, τῷ υ. Ἔτι πρὸ τοῦ π. πλὴν τοῦ κύπειρον τῷ υ. Πρὸ δὲ τοῦ ν, τῷ ι. πλὴν τοῦ κοινὸν τῇ οι. μέσον τὸ υ. κινύρα. καὶ τὸ μέγα, κοινωνός.

Ἔτι πρὸ σ ἢ τ ὁπωσοῦν. πλὴν τοῦ κῆτος τῷ η. καὶ κοίτη τῇ οι. μέσον τὸ η, ἐν τῷ κίστηρις. τὸ ι, ἐν τῷ κίσσιρος. τὸ υ ἐν τῷ κισσύβιον. τὸ μέγα ἐν τῷ κύτωρις. Ἡ κλε, τῷ ε κλέως. Ἡ κλι πρὸ μὲν φωνήεντος ἢ θ τῇ ει. κλεῖθρον. κλείω. ὅθεν τὸ κλοιός, τῇ οι. καὶ πλὴν τοῦ κλύω τῷ υ.

Πρὸ δὲ τοῦ β τῷ ι κλίβανος. Ἔτι πρὸ τοῦ μ καὶ ν. πλὴν τοῦ κλῆμα ἀμπέλου, τῷ η. καὶ κλεινός τῇ ει. Πρὸ δὲ τοῦ δ καὶ ζ τῷ υ κλύδων, κλύζω.

Πρὸ δὲ τοῦ ρ καὶ τοῦ σ καὶ τ, τῷ η. πλὴν τοῦ ἀπὸ τοῦ κρίνω, κλίσις, τῷ ι. Ἡ κλω μετὰ μὲν τοῦ θ τῷ μεγάλῳ, κλώθω. Ἔτι πρὸ τοῦ ψ κλώψ.

Πρὸ δὲ τοῦ ν καὶ π τῷ μικρῷ. πλὴν τοῦ κλών.

Ἡ κνε τῇ αι. πλὴν τοῦ κνέφας. Ἡ κνι πρὸ μὲν τοῦ δ καὶ κ καὶ σ τῷ ι κνίδη, κνίκος, κνίσσα. πρὸ δὲ τοῦ ζ τῷ υ. κνυζᾶσθαι. Πρὸ δὲ τοῦ μ, τῷ η. κνήμη.

Ἡ κνω, τῷ μεγάλῳ. κνώδαλον. Ἡ κο τῷ μικρῷ. πλὴν ἔνθα τὸ β ἢ δ ἢ φ ἕπεται, κωβιός κώδων. κωφός. καὶ πλὴν τῶν κώθων. κωκυτός. κωλύω. κῶλον. κῶμος. κώμη τῆς συνοικήσεως. κῶνος. κώνωψ. κώπη. κῶς. κωτίλλειν. κωχεύειν. μέσον τὸ ε καὶ υ, κολεός κόνδυλος. πλὴν τῶν κοχλίας. κωβιός. κόρινθος. κόρινος. κότινος. κόσκινον.

θρωσμὸς τῷ μεγάλῳ. Τῆς δὲ θα, μέσον ἐν λι, τὸ υ. θαλύσιον. ἐν μι, τὸ ι. θαμιναί. πλὴν τοῦ θάμυρος, τὸ υ. ἐν γη. ἠγρυμμένου ρ. τὸ η. θαργηλιών.

Η κε τῷ ε. κενόν. πλὴν τοῦ και, καιρός. καινόν, τὸ νέον. καιάς. μέσον τὸ ε, κελεός. πλὴν τοῦ κελαινόν. καὶ τὸ υ. κέλυφος. πλὴν τοῦ κεγχρίνης ι.

Η κι, πρὸ φωνήεντος μὲν τῷ υ. πλὴν τοῦ κίων, λίθος, τῷ ι. καὶ κοίας τῇ οι. Ετι πρὸ τοῦ β. πλὴν τοῦ κιβωτὸς καὶ κίβδηλον. τῷ ι. μέσον τὸ ε κυβέλη. καὶ τὸ η. κίβδηλον. καὶ τὸ μέγα κιβωτός.

Ετι πρὸ τοῦ θ πλὴν τοῦ κιθάρα, καὶ κιθαιρὼν τὸ ι. μέσον τὸ η. καὶ ε. κύθηρα. κυθήρεια. πλὴν τοῦ κιθαιρών. Ετι πρὸ τοῦ κ πλὴν τοῦ κίκυς τῷ ι. μέσον τὸ ε κυκεών. Ετι πρὸ τοῦ λ, πλὴν τοῦ κυλῶ. καὶ κηλήτης. καὶ κηλίς, τῷ η. καὶ κιλικία τῷ ι. καὶ κοῖλον, τῇ οι. μέσον τὸ ι κύλινδρος. πλὴν τοῦ κηλήτης, καὶ κηλήνη, τῷ η. καὶ τὸ μακρὸν, εἰ μὴ ἀπὸ κλίσεως, ἢ κατὰ σύνθεσιν, τὸ μέγα.

Ετι πρὸ τοῦ μ. πλὴν τοῦ κοιμᾶσθαι τῇ οι. καὶ κίμων. τῷ ι. μέσον τὸ ι. κύμινον. Ετι πρὸ τοῦ ρ. πλὴν τῶν κηρός. κήριθος, κήρυλος, τῷ η. καὶ κιρνῶ, κίρκη. κίῤῥα τῷ ι. καὶ κοίρανος τῇ οι. καὶ κείρειν τῇ ει. μέσον τὸ ι. κήριθος. πλὴν τοῦ κηρήνη. καὶ κυρήβια τῷ η. καὶ κηρύλλιον. τῷ υ.

Ετι πρὸ τοῦ φ πλὴν τοῦ κηφήν. καὶ κηφισσὸς τῷ η. μέσον τὸ ι. Ετι πρὸ δισυμφώνου. πλὴν τοῦ κιγκλίς. κίστη. κίχλα, τῷ ι. μέσον τὸ ε κυψέλη.

ἥρως, ἠρέμα, ἠρίον τῷ η· καὶ ἶρις τῷ ι· καὶ ὕρξα ὑρ-
χανοὶ ὕρτιον τῷ υ· μέσον τὸ ε ἠρέμα. Τὸ δὲ ἠραι-
ον, τῶν διὰ τοῦ αιον ἐστί· καὶ τὸ η· εἰρήνη, καὶ τὸ μέ-
γα· εἰρωνεία. Ἔτι πρὸ τοῦ χ πλὴν τοῦ ἦχος, τῷ
η, καὶ αἴχεσθαι τῇ οι. Πρὸ δὲ τοῦ ψ, τῷ υ· πλὴν
τοῦ ἴψ τῷ ι. Ἡ θε, τῷ ε· θεός· θέμις· μέσον τὸ ι· θε-
ρινόν· καὶ τὸ μέγα θεωρῶ. Ἡ θι, πρὸ μὲν φωνή-
εντος, τῇ ει· πλὴν τοῦ θύω· ὅθεν θυσία, τῷ υ· καὶ θία-
σος τῷ ι· καὶ θηεῖσθαι τῷ η. Πρὸ δὲ τοῦ β, τῷ η·
θῆβαι. Ἔτι πρὸ τοῦ γ· πλὴν τοῦ θίγω, θιγγάνω, τῷ
ι· καὶ θυγάτηρ τῷ υ. Ἔτι πρὸ τοῦ κ· θήκη.
Ἔτι πρὸ τοῦ λ· πλὴν τοῦ θύλαξ τῷ υ. Ἔτι πρὸ τοῦ ρ·
πλὴν τοῦ θύρα· θύρσος τῷ υ. Ἔτι πρὸ τοῦ σ· πλὴν
τοῦ θύσανος τῷ υ. Πρὸ δὲ τοῦ μ· τῷ υ· πλὴν τοῦ
θημών, τῷ η. Ἔτι πρὸ τοῦ ν θῦνος πλὴν τοῦ θοί-
νη τῇ οι, καὶ θείνω τῇ ει. Ἡ θλι τῷ ι, θλίβω.
Ἡ θνη τῷ η θνήσκειν. Ἡ θω πρὸ μὲν φωνήεντος ἢ
πρὸ τοῦ κ καὶ μ καὶ ν καὶ σ καὶ ψ, τῷ μεγά-
λῳ· θωή, θῶκος, θωμὸς, θὼν, θὼς, θώψ. Πρὸ δὲ τοῦ
λ ἢ ρ, τῷ μικρῷ πλὴν τοῦ θώραξ· μέσον τὸ υ, θό-
ρυβος· πλὴν τοῦ θωρήσσω τῷ η, καὶ θωρικὸς τὸ ι.
Ἡ θρε, τῷ ε· θρέμμα. Ἡ θρι πρὸ μὲν φωνήεντος
τῷ ι· πλὴν τοῦ θρυαλλίς· καὶ θρύον, τῷ υ.
Ἔτι πρὸ τοῦ δ ἢ δισυμφώνου· θριδακίνη· θριγγός·
θρίξ· θρύψ· πλὴν τοῦ θρύπτεσθαι. Πρὸ δὲ τοῦ ν καὶ
σ τῷ η θρῆνος· θρησκεύειν. Πρὸ δὲ τοῦ λ τῷ υ·
θρύλλος. Ἡ θρο τῷ μικρῷ· πλὴν τοῦ θρώσκω,

ὑσμίνη. ὑστεραῖον. ὕσσωπος. ὕστριξ. ὕσπληξ. ὕσσος. ὗς
τῷ υ. καὶ οἶστρος. οἰσύπη. οἶς, τῇ οι. καὶ εἷς.
τῇ ει, καὶ ἥσυχον. καὶ ἧσις. τῷ η. μέσον τὸ υ,
ἥσυχος, καὶ τὸ μέγα. ὕσσωπος. Ἐπὶ πρὸ τοῦ ν.
πλὴν τοῦ ἠνία. ἦνις, ἤνυστρον, τῷ η. καὶ οἶνος τῇ οι.
μέσον τῷ ι ἡνία. πλὴν τοῦ ἤνυστρον τῷ υ.

Ἐπὶ πρὸ τοῦ ξ ἰξός. μέσον τὸ ι, ἰξίων. Ἐπὶ πρὸ τοῦ
π. πλὴν τοῦ ἤπειρος, ἤπιον, ἠπύω. ἠπίαλος τῷ
η. καὶ ὑπὸ, ὑπὲρ, ὕπατος, ὑπήνη τῷ υ. μέσον τὸ ι.
πλὴν τοῦ ἠπύω, τὸ υ. καὶ ὑπήνη τῷ η. Πρὸ δὲ τοῦ
β ἢ γ τῷ η. πλὴν τοῦ ὕβος, ὕβρις, ὑγρὸν, ὑγιαί-
νω, τῷ υ. καὶ ἴδηρ τῷ ι. μέσον τὸ ε, καὶ ι, ἡγεμὼν
ὑγιαίνω. Ἐπὶ πρὸ τοῦ θ. πλὴν τοῦ ἰθύ. ἰθάκη. ἰθώ-
μη, τῷ ι. μέσον τὸ μέγα. ἰθώμη. πλὴν τοῦ ἴθορος.

Ἐπὶ πρὸ τοῦ λ, πλὴν τοῦ εἰλικρινές. εἰλῶ. εἵλως τῇ ει.
καὶ ἵλεως. ἰλλυριὸς, ἱλαρὸς, ἴλιον, ἰλὺς, ἰλιὸς,
ἴλαος, ἴλιγξ τῷ ι. καὶ ὕλη, ὑλακτεῖν τῷ υ. μέσον
τὸ ε καὶ ι, πλὴν τοῦ εἰλέω καὶ ἠλύσιον, τὸ υ. ἰλλυρι-
ὸς τῷ υ. Ἐπὶ πρὸ τοῦ μ. πλὴν τοῦ ἱμάτιον, ἵμερος
ἱμὰς, ἱμῶν τῷ ι. καὶ ὑμῖν, ὑμηττὸς, ὕμνος τῷ υ.
καὶ εἷμα τῇ ει, καὶ οἶμος τῇ οι. μέσον τὸ ε καὶ η,
ἡμιπλὸς, ἡμόρα. Ἐπὶ πρὸ τοῦ τ. πλὴν τοῦ ἴτης
ἰτρίον τῷ ι. καὶ οἶτος τῇ οι. Ἐπὶ πρὸ τοῦ φ, ἥφαι-
στος, μέσον ἡφαι, ἡφαιστίων. Πρὸ δὲ τοῦ κ, τῇ ει.
πλὴν τοῦ ἥκω, ἥκιστα τῷ η, καὶ ἱκάνω, ἱκέτης, ἰκρί-
ον, ἴκτις τῷ ι, καὶ οἶκος, τῇ οι. μέσον τὸ ι. εἴκε-
λος. πλὴν τοῦ εἰκαίως. Ἐπὶ πρὸ τοῦ ρ. πλὴν τοῦ ἦρα,

τῇ ει. Ἔτι πρὸ τοῦ σ. πλὴν τοῦ ἀΐσθω, αἴσθω, αἰσχύνη. ἀΐσσω, πρός. αἶσα. μέσον γὰρ ῑ, ἐσθίω. πλὴν τοῦ αἰσχύνω. καὶ αἴσυλον, τῷ ῡ. Ἔτι πρὸ τοῦ τ. πλὴν τοῦ αἰτεῖν, αἰτία. Τὸ μέντοι αἴτνη, τοῦ αἴθω παράγωγον. μέσον γὰρ ε. πλὴν τοῦ ἑταῖρος. καὶ ἐτησίας δὲ τῷ η. ἔτυμος τῷ υ, ἕτοιμος, τῇ οι.

Ἔτι πρὸ τοῦ χ. πλὴν τοῦ αἰχμή. μέσον γὰρ ε, ἔγχελυς. καὶ γὰρ ι. ἔχιδνα. πλὴν τοῦ ἐχυρὸν τῷ υ.

Ἔτι πρὸ τοῦ ψ, πλὴν τοῦ αἶψα. Πρὸ δὲ τοῦ γ, τῇ αι. αἰγείρας. πλὴν τοῦ ἐγώ, καὶ ἐγείρω. μέσον ἢ γὰρ μόνου γ ἑτέρου, γὰρ ῡ. ἐγγυῶμαι. Ἡ ζε, τῷ ε. ζέφυρος. Ἡ ζει πρὸ μὲν φωνήεντος, τῇ ει. ζειά. ὅθεν γὰρ ζείδωρος ἄρουρα. Πρὸ δὲ τοῦ θ, τῷ ῡ. ζῦθος. Πρὸ δὲ τοῦ λ, τῷ η. ζῆλος. Ἔτι πρὸ τοῦ μ. πλὴν τοῦ ζύμη τῷ υ. Ἔτι πρὸ τοῦ ν καὶ τ. ζήναχων, ζητεῖν. Ἡ ζω τῷ μεγάλῳ. πλὴν τοῦ ζόφος.

Ἡ ῑ μόνη ἀρθρικῶς μὲν καὶ ἐπιρρηματικῶς, τῷ η. ἡ. ᾗ. ἣ. τῇ οι, οἱ οἷ. συνδεσμικῶς δέ, εἰ μὲν διαζευκτικῶς, τῷ η· εἰ δὲ συναπτικῶς τῇ ει. Πρὸ δὲ φωνήεντος, τῷ ι. πλὴν τοῦ ἠὸς, καὶ ἠΰς. τῷ η, καὶ εἶα, τῇ ει. καὶ ὑάκινθος. ὕει, ὑάδες. ὕαινα, τῷ υ. καὶ υἱὸς τῇ υι. καὶ οἴαξ, οἴω, οἰωνὸς, ὄρνις, τῇ οι. μέσον γὰρ ε, ἱερεύς. καὶ γὰρ μέγα, ἰωή, οἰωνός. πλὴν τοῦ ἰόνιον πέλαγος. καὶ ἰονία. Ἔτι πρὸ τοῦ δ. πλὴν τοῦ ἡδύ. ἦδος τῷ η, καὶ ὕδωρ. ὕδνον τῷ υ. καὶ οἰδῶ. ὅθεν γὰρ οἴδημα. τῇ οι. καὶ εἶδος τῇ ει. μέσον τὸ ῑ, ἱδρύω. καὶ τὸ μέγα εἴδωλον. Ἔτι πρὸ τοῦ σ. πλὴν τοῦ

Τοῦ δὲ δα, μέσον ἐγκτι, καὶ κρι, τὸ υ. δάκτυλος. δάκρυον, Τὰ δ' ἄλλα ι. δαψιλής, δαπανός εἰ μὴ τὰ προειρημένα κωλύοι. καὶ τὸ μικρὸν δά/μοσος. Ε. Η ε μόνη αἰτιωνυμικῶς μὲν, τῷ ε. ἐπιῤῥηματικῶς δὲ, τῇ αι ὅθεν τὸ αἰάζειν, καὶ αἴας. Πρὸ δὲ τοῦ α, τῷ ε, πλὴν τοῦ αἶα. Επὶ πρὸ τοῦ ο, ἕωλον πλὴν τοῦ αἰών, αἰόλον. παροξυτόνως, αἰώρα. μέσον περὶ παροξυτόνου, τὸ μέγα. αἴωλον πλὴν τοῦ αἰώρα. Επὶ πρὸ τοῦ β, πλὴν τοῦ αἰβάλη, καὶ αἰβοῖ. Επὶ πρὸ τοῦ δ. πλὴν τοῦ αἰδώς. μέσον τὸ η τοῦ ε, ἐδητύς. Επὶ πρὸ τοῦ θ πλὴν τοῦ αἴθω, αἰθήρ. μέσον η ει ἔθυρα, εἰ μὴ εἰς ι ζω. οἷον, ἐθίζω. μέσον τῆς αι, τὸ ι ἐπὶ τοῦ αἰθίοψ τὸ υ, ἐπὶ τοῦ αἰθύσσω. Επὶ πρὸ τοῦ κ. πλὴν τοῦ αἰκία, αἰκάλη. μέ/σον τὸ η τοῦ ε. ἔκηλος, πλὴν τοῦ ἐκεῖνος, τῇ ει. καὶ ἐκυρός, τῷ υ. Επὶ πρὸ τοῦ λ, πλὴν τοῦ αἴ/λουρος. αἴλιος. μέσον τὸ ε καὶ ι. ἔλεος. ἐλιγύω, πλὴν τοῦ ἐλαία, φυτόν. Επὶ πρὸ τοῦ μ. πλὴν τοῦ αἷμα καὶ αἱμύλος. μέσον τὸ ε. καὶ υ. ἔμετος. αἱ/μύλος. Επὶ πρὸ τοῦ ν, πλὴν τοῦ αἶνος. καὶ αἰνός, καὶ αἰνίττεσθαι, ὅθεν τὸ αἴνιγμα. μέσον τὸ ε καὶ ι. ἐνετός, αἰνίττομαι. πλὴν τοῦ αἰνείας, τῇ ει.

Επὶ πρὸ τοῦ π, πλὴν τοῦ αἰπύ. μέσον η ει. ἐπείγω. πλὴν τοῦ ἔπος. Επὶ πρὸ τοῦ ρ, πλὴν τοῦ αἴρω αἱροῦμαι. αἴρειν. μέσον τὸ ε, ὀρέβονθος, καὶ τὸ ι, ὄριον. πλὴν τῶν ὀρυθρόν. ὀρύκω. ὀρυμνόν, τῷ υ. καὶ ὄρημος, ὀρητύω, τῷ η. καὶ ὀρείπω, ὀρείδω,

Η δη μόνη συνδεσμικῶς μὲν τῷ η. δή, ῥηματικῶς δὲ τῇ ει, δεῖ. πρὸ δὲ φωνήεντος, τῷ ι. πλὴν τοῦ δηνοῦν τῷ η, καὶ δύο τῷ υ. Ἔτι πρὸ τοῦ δ. πλὴν τοῦ δείδω, τῇ ει. καὶ δοίδυξ, τῇ οι. μέσον τὸ υ, δίδυμος. Ἔτι πρὸ τοῦ κ πλὴν τοῦ δήχω. ὅθεν τὸ δῆγμα, η. καὶ δείκω, ὅθεν τὸ δεικνύω. καὶ δεῖγμα, τῇ ει. μέσον τὸ υ δίκτυον. καὶ τὸ μέγα καθαρὸν ὄν. διώκω. μακρὸν δὲ, εἰ μὴ καθαρόν. διπνοή.

Ἔτι πρὸ τοῦ ν, πλὴν τοῦ δεινὸν τῇ ει. καὶ δὴν τῷ η. μέσον τὸ ε, προπαροξυτόνως. δήνεον. Ἢ αὖ ὀξυτόνως. δηναιόν. Ἔτι πρὸ τοῦ σ. πλὴν τοῦ δύς. καὶ δύσις, τῷ υ. Ἔτι πρὸ τοῦ χ, δίχα. Ἔτι πρὸ δισυμφώνου. πλὴν τοῦ δεῖπνον τῇ ει, καθόλου δὲ τὰ ἐκ τοῦ δὺς, σύνθετα τῷ υ. διπλοῦν δίκεφαλον, διφυές. Πρὸ δὲ τοῦ θ καὶ μ τῷ η. δηθὰ δῆρος. μέσον ἐν μη, τὸ η. δήμητρα. ἐνθὺ, τὸ υ. δηθύνω. Ἔτι πρὸ τοῦ λ πλὴν τοῦ δειλὸς. καὶ δείλη, τῇ ει. μέσον ηαι. δείλαιος. Πρὸ δὲ τοῦ ρ, τῇ ει. πλὴν τοῦ δῆρις, καὶ δηρὸν, τῷ η. Ἡ δμω, τῷ μεγάλῳ. δμώς. Ἡ δνο, τῷ μικρῷ. δνοφερόν.

Ἡ δο, πρὸ μὲν τοῦ κ καὶ λ καὶ ν, τῷ μικρῷ. δοκῶ. δόλος. δόναξ. μέσον τὸ ι. δόλιχον. Πρὸ δὲ τοῦ δ ἢ μ ἢ ρ, τῷ μεγάλῳ δωδώνη. δῶμα. δῶρον. πλὴν τοῦ δόμος καὶ δόμα. Ἔτι πρὸ τοῦ σ καὶ τ πλὴν τοῦ δόσιος καὶ δοτήρ. Ἡ δρο πρὸ μὲν τοῦ μ τῷ μικρῷ. δρόμος. Πρὸ δὲ τοῦ π, τῷ μεγάλῳ δρώπαξ. Ἡ δρι τῷ υ. πλὴν τοῦ δριμὺς, τῷ ι.

καὶ κτι, η. βάκηλος. βακτηρία. ἐν δὲ δι καὶ σι, ι
βαδίζω βασιλεύς. Ἐπὶ ἐν βι, ἡγουμένου ρ. βάρ-
βιτον. ἄλλως δὲ ἐπὶ πάντα τῷ υ. βαβυλών. βαύ-
ζει. βακχυλίδης. εἰ μὴ πατρωνυμικόν. ἐν δὲ γω,
τὸ μέγα. βαγώας. Ἡ γε. τῷ ε. πλὴν τοῦ
γαῖα. καὶ γαῖσα. μέσον τοῦ ε, ε, γενεά. πλὴν τοῦ γεν-
ναῖος. καὶ τὸ μέγα. γεωμέτρης. μέσον τῆς αι τὸ
μικρόν. γαιοῦ της ἡ γῆ, μόνη τῷ η. γη. Πρὸ δὲ
φωνήεντος καὶ λ. καὶ μ. καὶ π, τῷ υ. γύης. γύλε-
νος γυμνός γύπανον. ἐξαιρείσθω τὸ γήϊνος, τῷ
η. καὶ γᾶα, τῷ α. μέσον ἐν μυη τῷ η. γυμνήτης.
Πρὸ δὲ τοῦ γ καὶ ν, τὸ ι. γίγας. γίνεσθαι. πλὴν τοῦ
γείνω τῷ ει. καὶ γυνὴ τῷ υ. μέσον τοῦ γιγλυ-
σμός. καὶ τὸ μέγα γινώσκω. Πρὸ δὲ τοῦ θ η ρ,
τῷ η, γήθω, γῆρας. πλὴν τοῦ γῦρος τῷ υ. Ἡ γλι,
τῷ ι. πλὴν τοῦ γλήνη, τῷ η καὶ γλυκύ, γλύφω τῷ υ.
Ἡ γλω καὶ ἡ γνω, τῷ μεγάλῳ, πλὴν τοῦ γνόφος.
Ἡ γο τῷ μικρῷ, πλὴν τοῦ γωνία γωρυτός. γωρτύ-
νη. μέσον τὸ υ. Ἡ γραι, τῷ αι γραικός.
Ἡ γρι μόνη τῷ υ, Πρὸ δὲ τοῦ γ, τῷ η. γρηγόριος.
μέσον τὸ μικρὸν γρηγορῶ. Πρὸ δὲ τοῦ π, τῷ υ.
γρυπός. Πρὸ δὲ τοῦ φ, τῷ ι, γρίφος. Τῆς δὲ γα,
μέσον τὸ ι καὶ ε, γαλεώτης. γαλιφός. γαβριά.
πλὴν γαμήλια. Ἡ δε. τῷ ε. πλὴν τοῦ δαίειν ὅθεν τὸ
δαίμων τὸ δαίδαλος, καὶ δαίς. καὶ δαιτρός. μέσον
τὸ ε, δέλεαρ. πλὴν τοῦ δέραιον καὶ ι, δεξιά. πλὴν τοῦ
δερκύλος. καὶ δαιτυμών, καὶ δερμύλω τῷ υ.

βηρυτὸς, τῷ υ. Πρὸ δὲ τοῦ ᾱ, καὶ ο̄, καὶ κ̄ καὶ ν̄, τῷ ῑ. βία. βίος. βίκος. βιγεῖν. πλὴν τοῦ βύας, τῷ ῡ. μέσον ἢ αι καὶ ο. βίαιον βιοτή. πλὴν τοῦ βιώσιμον.

Πρὸ δὲ τοῦ ω̄ καὶ θ̄ καὶ δισυμφώνου. πλὴν τοῦ τ̄, τῷ ῡ. βύω. βυθός. βύβλος. βύζην. βύσσος. πλὴν τοῦ βῆσσα, τῷ η. καὶ βοιωτία, τῇ οι. μέσον τὸ ι βύβλινον. καὶ τὸ υ ὑποτασσόμενον τὸ ζ. βιζύν.

Η βλε, πρὸ μὲν τοῦ π̄, τῷ ε. βλέπω. Πρὸ δὲ τοῦ σ̄, τῇ αι. βλαισβός. Η βλι, πρὸ μὲν τοῦ ζ̄. τῷ ῡ. βλύζειν. πρὸ δὲ τοῦ τ̄, τῷ ῑ. βλίτον. Πρὸ δὲ τοῦ χ̄. τῷ η. βληχή. μέσον τὸ μέγα. βληχωνία.

Η βλω, τῷ μεγάλῳ. βλωθρός. βλωσυρός. μέσον τὸ ῡ, βλοσυρός. Η βο. πρὸ μὲν φωνήεντος καὶ σ̄ καὶ δισυμφώνου, τῷ μικρῷ. βοή. βόσις. βότρυς. μέσον τὸ ε̄, βορέας. καὶ τὸ μέγα καθαρὸν ὄν. βοώτης. εἰ δὲ μὴ τὸ μικρόν. βόρβορος.

Πρὸ δὲ τοῦ λ̄ καὶ μ̄ προτασσομένων, τῷ μεγάλῳ. βῶλος. βωμός. ἄλλως δὲ, τῷ μικρῷ βόλβιτον, μέσον τὸ ῑ. Η βρε, τῷ ε βρέγμα. μέσον τὸ ῡ ἐν θ̄υ, βρενθύω. ἐν τῇ, τὸ η̄. βρεντήσιον. Η βρι, πρὸ μὲν τοῦ θ̄, καὶ μ̄, τῷ ῑ, βρίθω. βριμάομαι. πρὸ δὲ φωνήεντος καὶ πρὸ τοῦ κ̄, καὶ τ̄, καὶ χ̄, τὸ ῡ. βρύειν, βρύκειν. βρύτειον. βρύχειν. Η βρο, πρὸ μὲν τοῦ τ̄, ἢ δισυμφώνου, τῷ μικρῷ. βροτός βροτή. πρὸ δὲ τοῦ μ̄. καὶ σ̄, τῷ μεγάλῳ. βρωμᾶσθαι. βρῶσις. πλὴν τοῦ βρόμος ὁ τοῦ πυρὸς ἦχος. βρῶμος δὲ τῶν σιτίων. Τῆς δὲ βα, μέσον ἐν μὲν κε,

γεληδὸν. προπαμηδὸν. πλὴν τοῦ ἐμπροσθῶν. πλου-
τῶν. τὰ δὲ εἰς ος τῷ μεγάλῳ. πλὴν τοῦ πάρος.
τῆμος. ἔναγχος. ἐντός. Τὰ δὲ εἰς ω τῷ μεγά-
λῳ. ἄνω. κάτω. πλὴν τοῦ ἄπρο. δ' ὄυρο. ἔτι δὲ καὶ εἰς υ
λήγοντα. πόρσυ. γρῦ.

Παραλήγουσαι δὲ ὁμοίως τοῖς ἀφ' ὧν παράγεται
ἔχει τὰ πολλά. δικαίων, δικαίως. ἄνω, ἄνωθεν. οἶ-
κος, οἴκοθεν. ἀμῶς, ἀμόθεν καὶ οὐδαμόθεν. πλὴν τοῦ
ἑτέρωθεν καὶ ἀμφοτέρωθεν, καὶ κατέρωθεν. διὰ
τὰ πολλὰ ἐφεξῆς βραχέα. τὸ δὲ ἀποτέρω καὶ ἀπο-
τάτω τοῖς εἰς οτερος καὶ οτατος τῶν ὀνομάτων,
ἀκολουθεῖ. Τά γε μὴν θετικὰ τῷ ε ἀναγνωστέων,
πλευστέον. ἀνυστέον, πλὴν τοῦ δυκταῖον, καὶ τὰ εἰς
ικα καὶ εἰς ιον τῷ ι. αὐτίκα. ἔγγιον.

Κοινοὶ τόποι ὀρθογραφικοὶ τῶν τοῦ λόγου μερῶν.

Κοινοὶ δ' ὀνομάτων καὶ ῥημάτων, καὶ ὅλως τῶν τοῦ
λόγου μερῶν τόποι κείσθωσαν ὀρθογραφικοὶ τοι-
οῦτοι. ἀρκτικῶν περὶ καὶ μέσων, ἐκ δ' δευτέρου ἁ-
πλῶν. ἀπαθῶν. ἂν μὴ παρῇ τι τὰ περὶ μέσων ἁπλῶς
εἰρημένα. Η. Βδε. τῷ ε γράφεται, βδέλ-
λα, βδελλυρός. Η βδυ, τῷ υ, βδύλλειν.

Η βε, πρὸ μὲν τοῦ β καὶ λ καὶ ρ τῷ ε. βέβαιον,
βέλος. βέρεθρον. μέσον τὸ ε καὶ η, καὶ ο, βέλε-
μνον. βέβηλον. βελόνη. πλὴν τοῦ βέβαιον. πρὸ δὲ
τοῦ ο, καὶ τ, τῷ αι, βαιόν, βαίτη. Η βι πρὸ
μὲν τοῦ λ καὶ μ καὶ ρ καὶ τ, τῷ η. βηλός. βῆ-
μα. βηρυγὸς, βήτιω, μέσον τὸ ι βηρίνη. πλὴν τοῦ

ἕλω, εἷλον· ἕλκω, εἷλκον· ἕπω, εἷπον· ἕρπω, εἷρπον· ἐθίζω, εἴθιζον· ἔχω, εἶχον· ἕπομαι, εἱπόμην· ἐρύω, εἴρυον· ἑρπύζω, εἵρπυζον· ἐργάζομαι, εἰργαζόμην· ἑστιῶ, εἱστίων· ταῦτα γὰρ τῇ ει· ἡ δὲ περὶ τὰς συναιρέσεις ὀρθογραφία ὡς αἱ συναιρέσεις.

Τόποι ὀρθογραφικοὶ ἐπιρρημάτων.

Τῶν δὲ ἐπιρρημάτων, τὰ μὲν εἰς ε· ἢ εἰς ες τῷ ε λήγει· πλὴν τοῦ πάλαι· βαβαί· ἀππαταί. Τὰ δὲ εἰς ην τῷ η· πρώην· χύδην· συλλήβδην· πλὴν τοῦ πρίν· πάλιν· κατόπιν· τῷ ι· καὶ νῦν τῷ υ. Τὰ δὲ εἰς ις τῷ ι· δίς· δεκάκις· πολλάκις· ἅλις· πλὴν τοῦ ἑξῆς· ἑξείης· ἐξαίφνης· ἐξαπίνης· ἔμπης· ἐπίσης τῷ η. Τὰ δὲ ἐσχατοτονούμενα εἰ μὲν καθαρὸν τὸ ι· ἢ μετὰ τοῦ θ ἢ λ ἢ μ ἢ ξ ἢ χ ἢ ψ τῇ ει· αὐτοβοεί· ἀμοχθεί· ἀσυλεί· πανδημεί· αὐτολεξεί· ἀμαχεί· αὐτοψεί· πλὴν τοῦ πρωΐ· καὶ ἀϊστί· καὶ ἀνωνυμὶ τῷ ι· εἰ δὲ μετ' ἄλλου τοῦ συμφώνου τῷ ι· πλὴν τοῦ ἀθαμβεί· ἀκηρυκτεί· ἀνοικτεί· ἀσπουδεί· πανθοινεί· ἐκεῖ τῇ ει· καὶ ἁμαρτῇ· παγγενῆ· εἰκῆ· ἀκαρῆ τῷ η· καὶ οἴκοι τῇ οι καὶ ὅλως τῶν ὁμοιονομάτων ὀνομασθέντων· κοινῇ· κομιδῇ· μηδαμῇ· τὸ δὲ δεῦρι κατὰ ἔκτασιν ἔχει τὸ ι· ὡς καὶ τὸ ὡδὶ καὶ νυνί· τὰ δὲ ἔχοντα οὕτως ἰῶτα γράφεται· τριχῶς δ' ἡ ἐπέκτασις· ἢ γὰρ τῷ ι μόνῳ ἢ καὶ μετὰ τοῦ φ ἢ τοῦ χ· ναίχι· βίηφι.

Ἔτι τὰ τῷ θ συλλαβιζόμενα βαρυτόνως τῷ ι λήγει· αὐτόθι· ἄλλοθι. Τὰ δὲ εἰς ον τῷ μακρῷ· ἀ-

ἀμθαίματα πρὸς τὰ κύρια, καὶ τὰ εἰς ναι ἀπαρέμφατα ἠ̃ παραγράφεται. πλὴν τοῦ εἶναι. καὶ θεῖναι, καὶ εἶναι. ὅθεν τὸ ἀφεῖναι, καὶ καθεῖναι, καὶ τὰ τοιαῦτα. τῇ ει γὰρ, καὶ πλὴν τοῦ μεῖναι. καὶ ὅλως τῶν τετάρτου συζυγιῶν. τὴν γὰρ τοῦ ὁριστικοῦ σώζοντα γραφὴν κλίνεται ταῦτα. κτείνω, κτεῖναι. κρίνω, κρῖναι. καὶ μηκύνεσθαι. ἀναγκαίου ὄντος τὸ ι προσλαμβάνοντα ἀπὸ διφθογγοῦται. ὡς εἴρηται. πᾶν δ' εὐκτικὸν διφθόγγῳ παραλήγει, καὶ τὰ μὲν εἰς μι, τῇ οι. ἢ τῇ αι. τύποιμι, τύψαιμι. τὰ δὲ εἰς ην ἀμθαίματα τῇ ει, τυφθείην. Τὰ δὲ εἰς ειμην πεμπτόζυγα μὲν ὄντα τῇ ει, τιθείμην. τἄλλα δὲ πάντα τῇ οι. Ιυποίμην. διδοίμην. μεταπεπλασμένα δὲ τὴν ὑπάρχουσαν δίφθογγον σώζει. ποιοῖμι, ποιοίην. βοῷμι, βοώην. γίγνοιτο δ' ἂν καὶ παθητικοῦ παρακειμένου εὐκτικὸν τῇ η. ἢν τὸ μ καθαρὸν ἔχῃ. πεποίημαι πεποιήμην. μέμνημαι μεμνήμην παραπλησίως δὲ καὶ ἐπὶ τοῦ υ πεμπτοζύγων τῇ η. ζεύγνυμι ζευγνύην. ζεύγνυμαι, ζευγνύμην. πᾶν δὲ ὑποτακτικὸν τῷ η. ἢ τῷ ω μεγάλῳ. ἐὰν λέγωμεν. ἐὰν λέγηται. Πᾶν δὲ εἰς μαι, λῆγον ἀπαθὲς ει πρὸ τοῦ μ τὸ ο ἔχει. μακροπαραληκτεῖ. τύπτομαι. ὅλως δὲ τὸ πρὸ τοῦ κλιτικοῦ μ ἀπαθὲς ο μακρόν. πλὴν τῶν ὑποτακτικῶν. ἐφ' ὧν δὲ αὔξησις χρονικῶς τὸ μὲν ο ἀεὶ εἰς ω μεταβάλλει. τὸ δὲ α εἰς η. τὸ δὲ ε εἰς η καὶ αὐτὸ πλὴν τῶν τεσσάρων καὶ δέκα ἐκείνων. ἐῶ, εἴων, ἔω βαρυτόνως. εἶον, ἔθω, εἶθον

γγύζω ἰύζω τῷ υ καὶ ἀθροίζω· τῇ οι. Τῷ. Ε.

Ἔτι τὰ εἰς ἔζω· τῷ ε· πλὴν τοῦ παίζω. Τῷ. Υ.

Τὰ δὲ εἰς ύρω· βαρύτονα τῷ υ, πορφύρω· μορμύρω· πλὴν τοῦ φθείρω σπείρω· τείρω· εἴρω· ἀγείρω· τῇ ει. Τῷ. Ω. Τὰ δὲ εἰς ώζω τῷ ω μεγάλῳ πλὴν τοῦ ἁρμόζω· διασώζω· ὄζω. Ἔτι τὰ εἰς ώσκω καὶ ώσσω· πλὴν τοῦ βόσκω. Ἔτι ὅσα τῶν βαρυτόνων τῷ ε παραλήγει, καὶ ὄνομα αὐτῇ παρακείμενον ἔχει τῷ μικρῷ ο γραφόμενον· ταῦτα μεταποιούμενα εἰς τὸ ὡρισμένον α τὸ μέγα μεταλαμβάνει· οἷον, νέμω, νόμος, νωμῶ· τρέπω, τρόπος, τρωπῶ· στρέφω, στροφή, στρωφῶ. Ὁ δὲ παρατατικὸς, παραλήγουσαν τὴν αὐτὴν ἔχει τῷ ἐνεστῶτι λέγω, ἔλεγον· χαίρω, ἔχαιρον. Ὡσαύτως καὶ ὁ μέλλων· πλὴν τῶν συνῃρημένων· ταῦτα γὰρ, εἰ μὲν τῷ ε ἢ τῷ α παραλήγει· τὸ η ἔχει· ποιήσω· βοήσω· εἰ δὲ τῷ ο τὸ μέγα· στεφανώσω, πλὴν τοῦ ἀρόσω· ὀνόσω· βόσω· Ὁ δὲ πρῶτος ἀόριστος τῷ μέλλοντι ὁμοίως παραλήγει, πλὴν τοῦ τετάρτου κλίτου ὁριστικοῦ πρώτου, ὅδε γὰρ διφθόγγῳ μὲν τῇ ει παραλήγει· εἰ ὁ μέλλων τῷ ε· μενῶ, ἔμεινα· σπερῶ, ἔσπειρα· ἢ δὲ εἰ ὁ μέλλων τῷ α· ψαλῶ, ἔψηλα· ἔτι δὲ καὶ ὁ παρακείμενος καὶ ὑπερσυντέλικος, παραλήγουσαν τὴν αὐτὴν ἔχει τῷ μέλλοντι· πλὴν ἐνίων τετάρτοσυζύγων ἐφ' ὧν δηλονότι τὸ ε ἢ μόνον ἢ μετὰ τοῦ ι· ἐπὶ τούτων γάρ τοι τὸ ε εἰς ο τρέπει ὁ μέσος· φθερῶ, ἔφθορα· σπερῶ, πέπορα· Τὰ δὲ εἰς θι ἢ εἰς τι

κείμενον ὄνομα ἐκ τοῦ ο. οὐκοῦν, θείνω, ὅτι θόγος, καὶ πένω, ὅτι πόνος, καὶ φένω, ὅτι φόνος.

Ἔτι τὰ εἰς αιρω, χαίρω, αἴρω, ἀσπαίρω, σαίρω. πλὴν τοῦ φέρω, καὶ ὅλως τῶν ἐχόντων αὐτὶ παρακείμενον ὄνομα ἐκ τοῦ ο, καὶ δέρω τοίνυν, ὅτι δορὰ, καὶ πείρω ὅτι πόρος.

Ὅσα τῷ η.

Τὰ δὲ εἰς ηγω τῷ η. πλὴν τοῦ σιγῶ, σφριγῶ. μιγῶ, τῷ ι. καὶ ἐπείγω τῇ ει. Ἔτι τὰ εἰς ηθω πλὴν τοῦ βρίθω, τῷ ι, καὶ πείθω, τῇ ει καὶ πύθω, τῷ υ.

Ἔτι τὰ εἰς ηπω. σήπω. πλὴν τοῦ λείπω καὶ ἐρείπω τῇ ει.

Ὅσα τῇ ει

Ἔτι τὰ εἰς ειω ἐφετικὰ τῇ ει. γελασείω. πολεμησείω. Ἔτι τὰ εἰς ειδω. πλὴν τοῦ ἥδω. μήδω. κήδω. πηδῶ φιληδῶ. τῷ η. Ἔτι ὅσα ἐπὶ τοῦ μέλλοντος ἔχει τὸ ε καὶ ἐπὶ τοῦ ἐνεστῶτος ἔχει. κερῶ, κείρω· κλενῶ, κλείνω. τῇ ει ἄρα. Ἔτι ὅσα κινούμενα παρέχει τὸ ο. τὸ ε προεῖχε. ἀμοιβὴ, ἀμείβω. μοῖρα, μείρω. κουρὰ, κείρω. λοιβὴ, λείβω. λοιπὸς, λείπω. στοιβὴ, στείβω. τῇ ει ἄρα.

Ἔτι τὰ εἰς εινω ὑπερδισύλλαβα, ἐρεείνω. φαείνω. πλὴν τοῦ ὀρίνω, ὠδίνω, τῷ ι. καὶ ὀτρύνω, τῷ υ.

Τῶν γε μὴν δισυλλάβων εἰς πω, οὐδὲν παραλήγει διφθόγγῳ. νίπω. ῥίπω. ἴπω. τῷ ι.

Τὰ δὲ εἰς ισκω τῷ ι. πλὴν τοῦ μιμνήσκω. θνήσκω. κικλήσκω, τῷ η. Ἔτι τὰ εἰς ιζω. πλὴν τοῦ δανείζω τῇ ει, καὶ χρήζω τῷ η καὶ πλὴν τοῦ ἐρπύζω, ποππύζω. ὀλολύζω. βλύζω, τρύζω. λύζω.

διϊδῶς. Ἐπὶ δὲ παθητικοῦ, τῷ η, τύπτῃ. πλὴν τοῦ βούλομαι, βούλει. οἴομαι, οἴει. ὄψομαι, ὄψει. τὸ αὐτὸ γὰρ τῇ ει καὶ ἐπὶ ὑποτακτικοῦ τῇ αὐτῇ η. ἐὰν τύπτῃς. ἐὰν τύπτῃ. Καθόλου γὰρ τὰ τῶν εἰς ω ἀπαθῆ δεύτερα καὶ τρίτα ἑνικά, διφθογγογραφεῖται. οὐ μὴν ἀλλὰ καὶ τὰ πεπονθότα συναίρεσιν, διφθόγγου οὐκ ἀπολείπεται. βοᾷς γὰρ καὶ βοᾷ τῇ ᾳ. καὶ χρυσοῖς τῇ οι. διεγήνοχε δὲ κατὰ διάλεκτον δωρικὴν τὰ τοῦ ζῶ. καὶ πεινῶ. καὶ διψῶ. καὶ οὐρῶ. τῇ η γράφ. οἷον, διψῇς. διψῇ. διφθογγογραφεῖται.

Ἐπὶ δὲ τῶν εἰς ην τὴν τοῦ πρώτου σώζει γραφήν. ἐτύπτην. ἐτύπτης. ἐτύπτη. ἐπετύφειν. ἐπετύφεις. ἐπετύφει. Γράφεται δ' ἀπαρέμφατον διφθόγγῳ. ἢ γὰρ τῇ αι. ποιῆσαι. ἢ τῇ ει. τύπτειν. ἢ τῇ ου. χρυσοῦν. καὶ τὸ πεινῆν γὰρ καὶ διψῆν, καὶ οὐρῆν. καὶ ὅσα τοιαῦτα διφθόγγῳ λήγει τῇ ῃ. περὶ δὲ τοῦ ζῆν ῃ γραφομένου σκεπτέον.

Ὅσα τῷ ε.

Παραλήγει δὲ τὰ μὲν εἰς εω, τῷ ε συναιρεῖσθαι δυνάμενα. ποιέω. τὰ δὲ μὴ δυνάμενα, τῇ αι. παλαίω. πλὴν τοῦ ζέω. Ἔτι τὰ εἰς εω, καθαρὰ περισπώμενα στερεῶ. πλὴν τοῦ παλαιῶ. κραταιῶ. γεραιῶ. καὶ ὅλως τὰ ἀπὸ ὀνομάτων διφθογγογραφουμένων. οἷον βέβαιον, βεβαιῶ. ἑδραῖον, ἑδραιῶ. γαῖα, γαιῶ.

Ὅσα τῇ αι.

Τὰ δὲ εἰς αινω, τῇ αι, ὑφαίνω, τεκταίνω. πλὴν τοῦ μένω, καὶ στένω, καὶ ὅλως τῶν ἐχόντων ἐπὶ παρα-

κείμενον

συγκειμένων. χαρωπόν. Ἔτι τὰ ἐκ τοῦ εἰς ος ἢ εἰς ον. δῆμος. δημόκριτος, καὶ δημόσιος. δῶρον, δωροδόκος. Ἔτι τὰ ἐκ τῶν εἰς ω ῥημάτων συγκείμενα. φιλῶ, φιλόθεος. Τὰ δὲ εἰς ωος. κλιτικὰ μὲν ὄντα τῷ ω. ἥρωος. Ἕτερα δὲ τῷ μεγάλῳ. καὶ ταῦτα μονοφθόγγως. γελῶος. Καθόλου δὲ τὸ ο μεσοσυλλαβοῦν δυοῖν ἑπομένων συμφώνων ἐν αὐτῇ λέξει, μικρογραφεῖται.

Ἡ δὲ τῶν συγκειμένων ὀρθογραφία, ὡς πρότερον τὰς συναιρέσεις γίνεσθαι ἐρρέθη. οὕτω γίνεσθω.

Ῥήματος κλιτικὰ ω.

Τῶν δὲ ῥημάτων τὰ μὲν εἰς ω πρωτοπροσωποῦντα μεγάλῳ λήγει. τύπτω. ἃ δὲ μὴ πρωτοπροσωπεῖ, τῷ μικρῷ. τύπτοιο, τύπτοιτε.

Τὸ δὲ εἰς ον, τῷ μικρῷ ἔτυπτον. πλὴν τῶν προστακτικῶν τρίτων. Τὰ δὲ εἰς μαι, τῇ διφθόγγῳ. τύπτομαι. Τὰ δὲ εἰς μεν. τῇ μονοφθόγγῳ. τύπτομεν. Καὶ τὰ μὲν εἰς μι, τῷ ι. τίθημι, τύπτοιμι. Τὰ δὲ εἰς μην, τῷ η. ἐτιθέμην. ἐτυπτόμην. Τὰ δὲ εἰς τε, δευτεροπροσωποῦντα μὲν τῇ μονοφθόγγῳ. τύπτετε. τριτοπροσωποῦντα δὲ, τῇ διφθόγγῳ. τύπτονται. Τὰ δὲ εἰς ην, τῷ η. πλὴν τοῦ ἐνεργητικοῦ ὑποτακτικοῦ καὶ τοῦ μέσου, τῇ ει

Τὰ δὲ εἰς τι ἢ θι τῷ ι. Τὰ δὲ εἰς ει καὶ εἰς εις ἑνικά, τοῦ μὲν ἐνεστῶτος ὁριστικοῦ ἐνεργητικοῦ τῇ ει. τύπτεις, τύπτει. πλὴν τῶν πεμπτοζύγων. ταῦτα γὰρ τὸ παραλῆγον ἔχει τοῦ πρώτου τίθημι, τίθης, δίδωμι,

δύο δ' ἐπομένων, οὐ, γηροκτόνος. γηροτρόφος.
Ἔτι τὰ ἐκ τοῦ ὄροφος. εἰ ἔχει τὴν πρὸ τοῦ ο συλλα-
βὴν βραχεῖαν, διώροφον. τριώροφον. εἰ δὲ μακράν,
οὔ. χρυσόροφον. ὑψόροφον. πεντόροφον. ὡς πρὸς ἄρα
καὶ τὰ ἐκ τοῦ ὄλεθρος. αἰνώλεθρος μὲν γὰρ καὶ ἐπώ-
λεθρος, τῷ μεγάλῳ. ψυχόλεθρος δὲ καὶ ἀνθρωπόλε-
θρος τῷ μικρῷ. Καὶ τὰ εἰς ότατος δὲ ὑπερθε-
τικὰ καὶ ότερος συγκριτικὰ ὁμοίως. λογιώτερος
μὲν γὰρ καὶ λογιώτατος, τῷ μεγάλῳ, ἐνδοξότερος
δὲ καὶ ἐνδοξότατος τῷ μικρῷ καὶ τὰ εἰς οσύνη θη-
λυκά. εἰ μὲν γὰρ ἡ πρὸ τοῦ ο βραχεῖα, τῷ μεγάλῳ.
ἱερωσύνη. εἰ δὲ μακρά, τῷ μικρῷ. σωφροσύνη.
Καὶ τὰ ἐκ τοῦ ὀρύττω συντάττοιντ' ἂν τοῖς εἰρημέ-
νοις οἰκείως. τυμβορύκτης μὲν γάρ, καὶ φρεορύκ-
της. καὶ τοιχορύκτης, τῷ μικρῷ. ὡς θέσει τοῦ υ
ἐκτεινομένου. τυμβωρύχος δὲ καὶ φρεωρύχος.
καὶ τοιχωρύχος, τῷ μεγάλῳ. ὡς μὴ ἔχοντα ἐκτει-
νόμενον τὸ υ. Ἔτι τὰ εἰς ωτος, τῷ μεγάλῳ. λω-
τός. μισθωτός. πλὴν τῶν ἀπὸ τῶν εἰς ος. οἷον τὸ νεοτ-
τός, καὶ εἰ μὴ ῥήματος κλίσις κωλύοι. ὡς ἐπὶ τοῦ ἀ-
ροτός. Ὅσα τῷ ο.
Τὰ δὲ εἰς οστον, τῷ μικρῷ. πολλοστόν. ἑκατοστόν.
Ἔτι τὰ εἰς οχος καὶ οκος. ἀντίοχος. σιτοδόχος. ξενο-
δόκος. δωροδόκος. Ἔτι τὰ ἀπὸ τῶν εἰς ος εἰς
οτης σχηματιζόμενα. φίλος, φιλότης, ὁσιότης.
Ἔτι τὰ εἰς οπος ἐσχηματισμένα, ὀξύτονα, μαστρο-
πός. πλὴν τῶν ἀπὸ τοῦ ὂψ σημαντικοῦ τῶν ὄψεων

λώνης. ἀρχώνης. εἰ δὲ καθαρὸν τὸ μικρόν, πλὴν τοῦ
διώνης. Ἔτι τὰ εἰς μα τῶν οὐδετέρων ῥηματικὰ
δῶμα. χῶμα. χρῶμα. πλὴν τῶν ἀπὸ τῶν εἰς μι ὀνό-
μα. τρῶμα. Ἔτι τὰ εἰς ωνος ὀξύτονα. τιθωνός.
Ἔτι τὰ εἰς ωνη θηλυκά, μὴ ὄντα κύρια μηδὲ ὀξύτο-
να. δωδώνη. κορώνη. ῥαστώνη. πλὴν τοῦ περόνη. βελό-
νη. ἀγχόνη. σφενδόνη. ὠκόνη. ὀθόνη. εὐφρόνη.
Ἔτι τὰ εἰς ωρος ὀξύτονα ὑπὲρ δισύλλαβα τιμωρός.
Ἔτι τὰ εἰς ωρα θηλυκὰ βαρύτονα. πρώρα. χώρα.
ὥρα. ψώρα. Ἔτι τὰ εἰς ωλος ὀξύτονα φειδωλός.
ἁμαρτωλός. πλὴν τοῦ ὀβολός, καὶ θολός. Ἐπεὶ τὸ
μὲν ι στερητικόν. τὸ δὲ ἀμέσως μετ' αὐτό μεγα-
λογραφεῖται. πλὴν τοῦ ἰόνιον. καὶ τῶν ἐκ τοῦ ἰός καὶ
ἴον συνθέτων, ἰόλεως. ἰοχέαιρα. ἰοβόλη. Ἔτι τὰ
ἐκ τοῦ ὀβολος σύνθετα. τριώβολον. Ἔτι τὰ ἐκ
τοῦ ὄλω ἐξώλης προώλης ἀπώλεια. Ἔτι τὰ
ἐκ τοῦ ὤμο. ἀπώμοτον. ὁρκώμοτον. Ἔτι τὰ ἐκ τοῦ
ὄνομα. ἀνώνυμον. πολυώνυμον. Ἔτι τὰ ἀπὸ τοῦ
ὄνυξ. πολυώνυξ. ἐξώνυξ. Ἔτι τὰ ἐκ τοῦ χρέος.
χρεωφειλέτης. χρεώστης. πλὴν τοῦ χρεοκόπος. καὶ χρε-
ολύτης. Ἔτι τὰ ἐκ τοῦ ὄφελος. ἀνωφελὴς βιωφε-
λής. ἐπωφελής. Ἔτι τὰ ἐκ τοῦ ὀφθαλμος ἐπώ-
φθαλμον. Ἔτι τὰ ἐκ τοῦ στοὰ σύνθετά τι καὶ ἄλ-
λως παράγωγα ἐξώστοον, πρώστοον. στωϊκὸν ὅδια
δὴ καὶ τὰ ἀπὸ τοῦ στόμα ἁπλᾶ παράγωγα. στω-
μύλος. Ἔτι τὰ ἐκ τοῦ γῆρας, ἑνὸς ἐπομένου συμ-
φώνου τῇ ῥ συλλαβῇ. γηρωκόμος. γηρωβοσκός.

ως, τὸ ι ἔχοντα· δῖος· χῖος· πῖος· μῖος· καὶ πλὴν τῶν κτητικῶν· ἢ ὡς παρὰ κτητικῶν· οἰκεῖος· θεῖος· ἀνδρεῖος· τῇ ει γάρ. Ἔτι τὰ ἀπὸ τῶν εἰς ος ἀρσενικῶν παράγωγα· εἰς ι της, ὡς εἴρηται· ὁδός· ὁδοίτης. ὅρος, ὁροίτης. ἐγγὺς δὲ τούτων καὶ τὸ δεσπότης, δέσποινα· καὶ πόνος, ποινή· καὶ φόνος, δαφοινός.

Ὅσα τῷ ῡ.

Τᾶνὶ δὲ εἰς ῡρα, τὰ μὲν ἁπλᾶ παροξύτονα, τῷ ῡ μάλιστα· λύρα· σφύρα· πορφύρα· σισύρα· πλημμύρα· μοῖρα γε μὴν τῇ οι· καὶ πεῖρα τῇ ει· καὶ πήρα καὶ χήρα, τῷ η· καὶ κίρρα, τῷ ι· καὶ προπαροξύτονα δὲ καὶ σύνθετα τῷ ῠ· γέφυρα· κόρκυρα· πλὴν τῶν ἀπὸ τῶν εἰς ηρ ἀρσενικῶν· περὶ ὧν δὴ καὶ εἴρηται.

Ἔτι τὰ εἰς ρος· καὶ εἰς βος, καὶ εἰς κος, καὶ εἰς λος ἁπλᾶ προπαροξύτονα, ἄργυρος· κόρυμβος· κονδύλος, κόρυκος, ἐξαιρείσθω τὰ εἰρημένα ῥηματικά· μάγειρος· πέπειρος. Ἔτι τὰ εἰς ιον ὑποκοριστικὰ παραλήγοντα τῷ ι, τῷ υ μεσοσυλλαβεῖ, ζωύφιον, μειρακύλιον, πλὴν τῶν εἰρημένων εἰς ιδιον.

Ἔτι τὰ εἰς υζα θηλυκὰ ἁπλᾶ, κόρυζα· κόνυζα, ὄρυζα. Ἔτι τὰ εἰς υλη, θηλυκὰ μονογενῆ, κοτύλη, γογγύλη, ἀρβύλη, ἀργύλη. Ἔτι τὰ εἰς υη· ἀφύη· ἰγγύη· οἰσύη· καπύη.

Ὅσα τῷ ω.

Τὰ δὲ εἰς ογος ὀξύτονα, τὸ μέγα ἔχει μεσοσυλλαβούμενον· ἀγωγός· δημαγωγός. Ἔτι τὰ εἰς ωδης· καὶ ωδες· εὐώδης· εὐῶδες· πετρώδης· πετρῶδες.

Ἔτι τὰ εἰς ωνης ἀρσενικὰ εἰ μὴ καθαρὸν τῷ ω· πλ

αὐτοῦ· πηνελόπη· πηνελόπεια. ἠριγενὴς, ἠριγένεια· ἱπποδασὴς, ἱπποδάσεια· τὸ δὲ ἄφπυια· καὶ ἄμυθια, οὐ κατὰ τοῦ αὐτοῦ ὄντα τῷ ῃ.

Ἐπὶ τὰ ἀπὸ τῶν εἰς ῡς ἀρσενικῶν, θηλυκὰ εἰς εια ὀξὺς, ὀξεῖα. Ἐπὶ τὰ ἀπὸ τῶν διὰ τοῦ δύω ῥημάτων εἰς εια θηλυκά· πρεσβεύω πρεσβεία. πλὴν τῶν ἐχόντων ὀξύτονον εἰς μῶν· ἡγεμών· καὶ πλὴν τῆς φιλανθρωπία προεδρία προσεδρία· ἐμπορία· συμβουλία· παρθενία· ἀσωτία· ταῦτα γὰρ τῷ ῑ.

Ἐπὶ τὰ ἀπὸ τῶν ἐνεστώτων εἰς εια· ἀπόλλω, ἀπόλλεια, μήδω, μήδεια· θέρω, θέρεια· σαφῶ, σάφεια.

Ἐπὶ τὰ ἀπὸ τῶν εἰς ηρ ἀρσενικῶν θηλυκὰ εἰς ειρα προπαροξύτονα· δηιάνειρα· πίειρα σώτειρα.

Ἐπὶ τὰ εἰς ρος προπαροξύτονα· ῥηματικὰ πέπω, πέπειρος· ἀίθω, ἄιγειρος· μάττω, μάγειρος.

Ἐπὶ τὰ ἀπὸ τῶν εἰς δῦς· εἰς εια βασιλεὺς, βασιλεία· ἱερεὺς ἱερεία ὡς δ' ἁπλῶς εἰπεῖν, τὰ μὲν παροξύτονα εἰς ῑα θηλυκὰ, τῷ ῑ, γράφεται· πλὴν τῶν ἀπὸ τῶν εἰς δω· τὰ δὲ προπαροξύτονα, διφθόγγῳ.

Ὅσα τῇ οι.

Ἐπὶ καὶ τὰ ἀπὸ τῶν εἰς οῦς, τῇ οι μεσοσυλλαβεῖ· νοῦς, εὔνοια· πλοῦς, εὔπλοια· βοῦς εὔβοια, ἐξαιρεῖσθω τὰ εἰς μνια καὶ πια· πολύμνια· φάλπια· τῷ ι γράφ. Γράφεται δὲ τῇ οι, καὶ τὰ ἀπὸ τῶν εἰς ος παράγωγα· εἰς οιος παρῳξυτονα. οἷον, ἄλλος, ἀλλοῖος· παντὸς, παντοῖος· γέλος, γελοῖος· ὅμος, ὁμοῖος· ἕτερος, ἑτεροῖος· πλὴν τῶν ἐκ συναιρέσεω

Ἔτι τὰ ἐκ τῶν εἰς ω ῥημάτων συγκείμενα· οἰδῶ οἰδίπους. καὶ τὸ ο δὲ τοῦ ὕψος ἐν συνθέσει τῶν ἀπὸ συμφώνων ἀρχομένων τρέπεται εἰς ι· ὕψιστος, ὑψίκερως. Ἔτι τὰ ἐκ τοῦ ἅλος· ἁλίπλοον. Ἔτι τὰ ἐκ τοῦ ἀγχοῦ· ἀγχίνοια· ἀγχιστεύς, ἀγχίθυρος.

Ἔτι τὰ ἐκ τοῦ καλὸν καλλίπλουν. Ἔτι τὰ ἀπὸ τῶν εἰς ος εἰς ιτης· ζεῦγος· ζευγίτης· θρᾶνος, θρανίτης.

Ἔτι τὰ ἀπὸ τοῦ ἄρχος· ἀρχίδαμος. ἐξαιρείσθω τὰ ἐκ τοῦ ἄγω τῷ η γράφ. καθόλου γάρ τοι τὰ ἐκ τοῦ ἄγω τῷ η· στρατηγός· ὁδηγός. ὡς ἁπλῶς οὖν εἰπεῖν, ὧν ἡ ἀρχὴ σχηματιστικὴ τῶν εἰς ος, ταῦτα κατὰ μεταβολὴν τοῦ ο, εἰς ι. ὀρθογραφεῖται.

Ἔτι τὰ ἀμφιβαλλόμενα κατὰ τὴν πρώτην συλλαβὴν, ἔχοντα δὲ ἐν τῇ δευτέρᾳ τὸ ι ἢ τὸ υ, διὰ τοῦ ι ἔχει τὴν πρώτην ὡς ἐπὶ τὸ πλεῖστον ἶρις· ἶσις· δριμὺς βριθύς· πίτυς. Ὀτὰ τῇ ει. Τὰ δὲ ἀπὸ τῶν γεια· εἰς ειος τῇ ει μεσοσυλλαβεῖ· ἐπίγειος.

Ἔτι τὰ ἐκ τοῦ ἀεὶ συγκείμενα· ἀείμνηστος πλὴν τοῦ ἀΐδιος καὶ ἄϊδηλον τῷ ι καὶ ὅλως ἐφ᾽ ὧν τὸ δ, ἑπόμενον. τὸ δὲ ἀοίδιμος, ἀπὸ τοῦ ἀείδω τῇ οι.

Ἔτι τὰ εἰς εια ἐπὶ πόλεων προπαροξύτονα· ὧν ἀρσενικὰ εἰς ευς· ἀλεξανδρεύς, ἀλεξάνδρεια· ἀντιοχεύς, ἀντιόχεια. Ἔτι τὰ ἀπὸ τῶν εἰς ης ἀρσενικῶν εἰς εια προπαροξύτονα· ἀσθενής, ἀσθένεια· εὐγενής, εὐγένεια· ἴωνες δὲ καὶ ταῦτα παροξυτόνως προφέροντες, ἰῶτα γραφοῦσιν· ἀσθενία· εὐγενία. Ἔτι τὰ εἰς εια παρώνυμα κατὰ τοῦ

τα γὰρ τοῦ ἰδίου ῥήματος φυλάττει αὐτὴν στοιχον, οἷον, ἄυστον. Ἔπι τὰ εἰς ι της. πολίτης. τὴν τῶν ἀπὸ τῶν εἰς ω περισπωμένων. καὶ τῶν ἀπὸ τῶν η, ἢ ληγόντων, ἢ κλινομένων θηλυκῶν. καὶ τῶν ἀπὸ τῶν εἰς ος. ἀρσενικῶν ἢ θηλυκῶν. καὶ τὴν τῶν ἀπὸ τῶν ρέω. κυβερνῶ μὲν γὰρ, κυβερνήτης, καὶ σφενδόνη, σφενδονήτης. τῷ η. τὴν τοῦ τεχνίτης. καὶ φυλακίτης τῷ ι. ὄρος δὲ ὄρεος, ὀρείτης καὶ ῥέω, βαθυῤῥείτης, τῇ ει. ὁδὸς δὲ, ὁδοίτης, καὶ ὅρος, ὁροίτης τῇ οι. ἐξαιρείσθω καὶ τὰ ἀπὸ τῶν εἰς εια προπαροξυτόνων σαμάρεια, σαμαρείτης. τῇ ει. ὡς γάρ τοι καθόλου εἰπεῖν τὰ εἰς ι της παράγωγα τὴν τῆς ἰδίας ἀρχῆς φυλάττει γραφήν. οἷον ἀγγίνη, ἀγγινήτης. πρέσβυς, πρεσβύτης. κεκυβέρνηται, κυβερνήτης. τέθυται, θύτης. τοιοῦτο δέ τι καὶ τὸ ὁδοίτης καὶ ὁροίτης. ἀπὸ γὰρ τοῦ ὁδὸς καὶ ὅρος, ἡ τῆς διφθόγγου ἀρχή. Καὶ τὰ εἰς ιτος δὲ, εἴτε ὀξύτονα, εἴτε βαρύτονα, τὴν γραφὴν τῶν ἀφ᾽ ὧν παράγεται φυλάττει. πρόσθεται, προσιτὸς, ἀφροδίτη, ἐπαφρόδιτος. τῷ ι. ἠρίθμηται, ἀριθμητός. ἐστύγηται, στυγητὸς τῷ η, κέκλειται, κλειτὸς τῇ ει. ὥσπερ καὶ τὰ εἰς ιεις παράγωγα. χάρις, χαρίεις. τιμὴ, τιμήεις. Καὶ τὰ εἰς μος ὀξύτονα. λογίζομαι, λογισμός. προπηλακίζει, προπηλακισμὸς, τῷ ι. δανείζω, δανεισμός. τῇ ει. κέχρησμαι. χρησμὸς τῷ η. Ἔπι τὰ ἀπὸ τοῦ ἀρι καὶ ερι σύνθετα. τῷ ι ἀρίγνωτος, ἐρίβδζος.

Ἔτι τὰ εἰς κος κτητικά· πλὴν τοῦ δυβοεικός· σικελεικός· δαρεικὸς τῇ ει. καὶ θηλυκὸν λιβυκὸν τῷ υ.

Ἔτι τὰ εἰς ιλος παροξύτονα· ποικίλος· ναυτίλος.

Ἔτι τὰ εἰς ιλευς· ἀχιλλεύς· πλὴν τοῦ πηλεύς· νηλεύς τῷ η. Ἔτι τὰ εἰς ιμος προπαροξύτονα· πλὴν τοῦ ὄβριμος· καὶ τῶν ἀπὸ τοῦ σχῆμα καὶ σῆμα καὶ δῆμος καὶ φήμη συγκειμένων πολύσχημος· ἐπίσημος· πάνδημος· πολύφημος τῷ η. καὶ πλὴν τοῦ δίδυμος· σκώλυμος· ἔτυμος· καὶ τῶν ἀπὸ ὄνομα συγκειμένων· ὁμώνυμος· τῷ υ. καὶ πλὴν τοῦ ἕτοιμος τῇ οι. Ἔτι τὰ εἰς ινος· ὀξύτονα καιροῦ τε καὶ ὥρας σημαντικά· θερινός· χειμερινὸς ἡμερινός· τούτοις δ' ὁμοίως καὶ τὸ ῥαδινός· καὶ φυζακινός· καὶ βαρύτονα δ' ὄντα ὁμοίως, πῖνος· ἐχῖνος· ἀκραγαντῖνος· ξύλινος, ἄλλως δέ τοι παρώνυμα τῇ ει. ἐλεεινός· φωτεινός. Τῶν γε μὴν εἰς ινη, τὰ μὲν ἀπὸ τῶν εἰς ος, ἢ ης, τῷ ι. ἄδραστος, ἀδραστίνη· ἀλήτης, ἀλητίνη. Τὰ δὲ ἔχοντα ἀρσενικὸν, τὴν ἐκείνου φυλάττει γραφήν. δῖνος, δίνη τῷ ι. οἶνος, οἴνη, τῇ οι. Τὰ δὲ ῥηματικὰ ὡς τὸ ῥῆμα. κλίνω μὲν γὰρ κλίνη καὶ ὑπομίμνω, ὑσμίνη, τῷ ι. εὐθύνω δὲ, εὐθύνη τῷ υ. τἆλλα δὲ τῷ η· εἰρήνη, σελήνη. τὸ δ' ἀξίνη· καίτοι ἀπὸ τοῦ ἄξω ἐοικὸς εἶναι, τῷ ι γράφεται, καὶ κορύνη καὶ ὀδύνη, τῷ υ. Ἔτι τὰ εἰς στος καὶ εἰς θος ἅπαντα ὑπὲρ δισύλλαβα ὀξύτονα καὶ βαρύτονα τῷ ι. οἰστός· βέλτιστος· ὄλισθος, πλὴν τῶν παθητικῶν· τὰ

γεται ἀνάγκη· καὶ ὅλως τὸ παραλῆγον αὐτῷ σώ-
ζει τῆς ἰδίας ἀρχῆς· γέγραμμαι, γραμμή· ἔλημ-
μαι, λῆμμα· λέλυσαι, λύσις· λέλεξαι, λέξις· πεπρίη-
ται, πριητόν· ἠλέξηται ἀλεξητήριον.

Ὅτι τῷ ι.

Ι ὅτι δὲ τὰ εἰς ια ὀξύτονα καὶ παροξύτονα θηλυκά·
λαλιά· καρδία· πλὴν τοῦ παρειά· φορβειά· ὑγεία·
καὶ σπουδεία τῷ ει· καὶ ὀργυιά τῷ υ· καὶ πλὴν τῶν
ἀπὸ τῶν εἰς ευς ῥημάτων· πρεσβεία.

Ε πὶ τὰ εἰς ιας· ὀξύτονα θηλυκά, μυριάς· πλὴν τοῦ γε-
νειάς· καὶ τελειάς, τῷ ει. Ἐπὶ τὰ εἰς ιος ὀξύτο-
να καὶ προπαροξύτονα ἀσκληπιός· ἄξιος· καὶ τὰ
ιον καὶ ιος βαρύτονα ὑπὲρ δισύλλαβα· βυβλίον·
γραμμάτιον· ἄξιος· πλὴν τῶν κτητικῶν καὶ πατρωνυμι-
κῶν καὶ μετουσιαστικῶν· καὶ πλὴν τοῦ ἀφνειός τῷ
ει· καὶ κολοιός τῷ οι· τὸ δ' ἐπνιός· καὶ ἀζηνιός·
ἐκ πάθους, τῷ η· ἐξαιρείσθω καὶ τὰ ἀπὸ τῶν τῷ
κος κλινομένων· ἡράκλειος· καὶ δίκτυον· σίκυον·
τῷ υ γραφομένων· καὶ ποῖον τῷ οι.

Ε πὶ τὰ εἰς ιων συγκριτικὰ ὑπὲρ δισύλλαβα βελτί-
ων· πλὴν τοῦ ἀρείων· χερείων τῷ ει. Ἐπὶ τὰ ἀπὸ
τῶν εἰς α· καὶ εἰς η καὶ εἰς ος ὀνομάτων ὑποκο-
ριστικὰ εἰς ιδιον· μοῖρα, μοιρίδιον· κλίνη· κλινίδιον·
νῆσος, νησίδιον· πλὴν τοῦ γῆ γήδιον· γῆ γὰρ τῷ η.

Κ αὶ τὰ εἰς ιδης τῶν πατρωνυμικῶν ἀπαθῆ πρια-
μίδης· πηλείδης· οὕτω δὲ καὶ ἀδελφιδοῦς· καὶ θυ-
γατριδοῦς καὶ τὰ τοιαῦτα.

γαῖος, ῥώμη, ῥωμαῖος. Επὶ τὰ εἰς αιον οὐδέτερα. σπήλαιον, βέβαιον. πλὴν τῶν εἰς ουν συναιρεῖσθαι δυναμένων, κυάνεον, χρύσεον. Επὶ τὰ εἰς αια θηλυκὰ μονογενῆ συναίρεσιν οὐκ ἐπιδεχόμενα. οἷον γαῖα, νεολαία. Οσα τῷ η.

Η δὲ, τὰ εἰς ηρος καὶ ηλος καὶ ηρος ὀξύτονα. χαρηγός. ὑψηλός. αἰθηρός. ξηρός. πλὴν τοῦ νεογιλός. τῷ ι. καὶ ἁλμυρός. ἰσχυρός. βδελυρός. τῷ υ.

Ε πὶ τὰ εἰς ηδων. σαρπηδὼν, ἀηδών. πλὴν τοῦ χελιδὼν, καὶ μυρμιδών. Επὶ τὰ εἰς ηνος. καὶ ηθος οὐδέτερα. σμῆνος. κλῆνος. ἦθος. στῆθος.

Ε πὶ τὰ εἰς ηνος ὀξύτονα τόπου καὶ ἔθνους σημαντικά. κυζικηνός. ἀγαρηνός. πλὴν τοῦ ἀτραμυττινός καὶ μελιτινός. τῷ ι. καὶ μὲν δὴ καὶ πυκινός, καὶ γαληνός τῷ η. Επὶ τὰ διὰ τοῦ ηθρα καὶ ητρα. θηλυκὰ οὐ ἤθρα ὀρτυγομήτρα. Επὶ τὰ εἰς ηρης. πλήρης. ξιφήρης. πλὴν τοῦ ἶρις, καὶ ὄσιρις. τῷ ι.

Ε πὶ τὰ εἰς ηριον οὐδέτερα. ποτήριον. τεκμήριον.

Ε πὶ τὰ εἰς ηκοντα παρωνύμως ἀπὸ τῶν ἀριθμῶν. πεντήκοντα, ἑξήκοντα, ἑβδομήκοντα.

Τ ά γε μὲν εἰς μα τῶν οὐδετέρων ῥηματικὰ, τὸ τοῦ ἰδίου μέλλοντος παραλήγον σώζει. ποιήσω, ποίημα. τύψω, τύμμα. πείσω, πεῖσμα. ὥσπερ ἄρα καὶ τὰ εἰς τος παθητικά. Θεωρητέον γε μὴν τὰ τοιαῦτα καὶ κοινότερον. ὡς ἀπὸ τοῦ παθητικοῦ σχηματιζόμενα. παρακειμένου, ὁμόγραφον γὰρ τὴν παραλήγουσαν ἔχειν τῇ τοῦ προσώπου ὅθεν παρά

τοῦ ἀρχαῖος, παλαιός, ἀραιός, κραταιός.

Ἔτι τὰ εἰς εος θετικὰ ἐλαπιστέος, δοτέος. πλὴν τοῦ δικαίου. Ἔτι τὰ ἀπὸ τοῦ γεα σύνθετα, ποιὰν γῆν σημαίνοντα. βαθύγεων, λιπαρόγεων, λιπρόγεων.

Ἔτι τὰ εἰς ελιος. ἢ εἰς ελεος, πλὴν τῶν ἀπὸ τοῦ αιλιος.

Ἔτι τὰ εἰς ενος, πλὴν τῶν ἀπὸ τοῦ αινος.

Ἔτι τὰ εἰς εμων. πλὴν τῶν ἀπὸ τοῦ αιμων.

Ἔτι εἰ ἐν μέσῳ λέξεως ἁπλῆς ε ἐπόμενον ἔχον δισύμφωνον. καθέδρα. Ἔτι τὰ εἰς ερος ὀξύτονα. πενθερός. ἱερός. πλὴν τοῦ θαιρός. καὶ καιρός.

Ἔτι τὰ εἰς ερα θηλυκά. πλὴν τοῦ αἶρα. σφαῖρα. καὶ τῶν προπαροξυτόνων μάκαιρα. ἰοχέαιρα. χίμαιρα. μάχαιρα. νέαιρα. Ἔτι τὰ εἰς ετης εἴτε ἀρσενικά, εἴτε θηλυκά. ἱκέτης, δὐχέτης. μελέτη, δημεγέτη. πλὴν τῶν ἀπὸ τοῦ αιτης, καὶ χαίτη.

Ἔτι τὰ εἰς ετος ὀξύτονα. νιφετὸς, πυρετός.

Ἔτι τὰ ἐκ τοῦ αρχος, ἀρχέγονος, ἀρχέδημος, καὶ ὅλως τὰ ἀπὸ τῶν εἰς ος. ἢ εἰς ον.

Ὅσα τῇ αι.

Τάγε μὴν εἰς αιτερος καὶ αιτατος τὴν ἀπὸ τοῦ τέλους τρίτην δίφθογγον ἔχει. ἰσαίτερος, ἰσαίτατος. γεραίτερος, γεραίτατος. πλὴν τῶν ἀπὸ τῶν πρωτοτύπων ἀντωνυμιῶν. ἡμέτερος. σφέτερος. ἐξαιρεῖσθαι δὲ καὶ τὸ ἕτερος. Ἔτι τὰ εἰς αινα θηλυκὰ λέαινα. μύραινα. καὶ τὰ εἰς αινις. ὀξύτονα. μαινίς.

Ἔτι τὰ ἀπὸ τῶν εἰς α καὶ εἰς η θηλυκῶν εἰς αιος. τῇ αι μεσοσυλλαβεῖ. γάζα, γαζαῖος. γέννα, γεν

γλῆεις. Ἐπὶ ἴσων εἰς δισύμφωνον λῃγόντων τὸ ἕλμινς. Ὅσα τῷ υ. Εἰς υ δὲ τά τε εἰρημένα οὐδέτερα. καὶ ὅσα τῶν ἀρσενικῶν τριγενῆ ὄντα. οὐχ ὁμόφωνον ἔχει τὸ θηλυκόν. ἡδύς. ἡδεῖα. ἡδύ.

Ἐπὶ τὰ μονοσύλλαβα. μῦς. δρῦς. σῦς. Ἐπὶ τὰ εἰς ις τῶν θηλυκῶν ὀξύτονα ὡς ἐπὶ τὸ πλεῖστον. πλὴν ἴσων πατρωνυμικῶν. καὶ ὑποκοριστικῶν. ταῦτα γὰρ τῷ ι.

Ἐπὶ τῶν εἰς δισύμφωνον λῃγόντων. τὸ τίρυνς.

Ἐπὶ τὸ στάχυς, πέλεκυς, βότρυς. πῆχυς ἔγχελυς.

Ἐπὶ τὰ εἰς ξ τῶν μονοσυλλάβων. στὺξ, φρὺξ, πλὴν τοῦ προῖξ τῇ οι. καὶ ἴσων ὑπὲρ μίαν συλλαβήν. πλὴν τοῦ φοῖνιξ, κύλιξ, τέττιξ.

Ὅσα τῇ αι.

Εἰς αι δὲ τὰ εἰς αις λήγοντα μονογενῆ ἢ οὐ τριγενῆ. δᾷς, σταῖς, παῖς. Ἐπὶ τὰ εἰς αιξ. γύναιξ, αἶξ, πλὴν ἴσων ἀπὸ τοῦ τέκω. καλλίτεξ. ἐπίτεξ. καὶ πλὴν τοῦ ἕξ. Τῷ δὲ ᾳ, διφθόγγῳ οὐδεμία συλλαβιζομένη λήγει. Εἰς ο δὲ μακρὸν, τὰ τριτόκλιτα πάντα ὅσιος, ὅσιον. Εἰς ω δὲ μέγα, τὰ εἰς ων ἀρσενικά τε καὶ θηλυκὰ καὶ ἔτι οὐδέτερα ἀττικά. λέων ἀηδὼν. δύστεων. Ἐπὶ τὰ εἰς ωρ. νέστωρ, ὕδωρ. πλὴν τοῦ ἄορ. ἦτορ. Ἐπὶ τὰ εἰς ως καὶ ω τετάρτόκλιτα καὶ πεμπτόκλιτα. λητώ. αἰδώς. ἥρως. μενέλεως. Ἐπὶ τὰ εἰς οι μονοσύλλαβα. πλὴν τοῦ ὄψ τῆς φωνῆς.

Μέσα ἁπλῶς. ὅσα τῷ ε.

Μεσοσυλλαβεῖ δὲ ε μὲν, τὰ εἰς εος. ὀξύτονα. πλὴν

μεῖς οἱ δωριεῖς λέγουσι καὶ τὸ μύρμηξ, ὅτι μύρμακες· αἱ γὰρ ἐκεῖνοι τῷ α, ἡμεῖς τῷ η. ποιότης μὲν οὖν αὕτη εἴη λέξεως καὶ ἡ ὀρθογραφία περὶ τὰ ἀντιστοιχοῦντα. ἔστι δὲ τῶν ἀρκτικῶν τε καὶ τελικῶν τὰ πολλὰ ἐκ παραδόσεως. καὶ τὴν μὲν τῶν ἀρκτικῶν ὀρθογραφίαν, ἐκ τῶν ὕστερον ῥηθησομένων κανόνων ληπτέον. τὴν δὲ τῶν τελικῶν καὶ τῶν μέσων. ἔστι μὲν καὶ ἐκ τῶν σχηματιστικῶν τόπων, καὶ ἐκ τῶν νῦν εἰρημένων ἔνια κατορθοῦν. τὸ γάρ τοι ο καὶ ε, ἐπαμφοτερίζει. ἰδία δὲ καὶ σημειωτέον ἐκ τῶνδε.

Τελικὰ ὅσα τῷ η.

Τελευτᾷ μὲν εἰς η τῶν ὀνομάτων, τὰ εἰς η λήγοντα θηλυκά, ἀρετή. Ετι τὰ εἰς ης ἤτοι ἰσοσυλλάβως κλινόμενα, ἢ τῷ εος. ἢ τῷ τ. δημοσθένης. χρύσης λάχης. Ετι τὰ εἰς ηρ. πλὴν τοῦ χεὶρ. φθεὶρ. εἴρ. εἰνάτειρ σάπφειρ τῇ ει. Ετι τὰ εἰς ην, μὴ ὄντα δικατάληκτα ἀλλ' οὐ πάντα. φόρκυν γὰρ καὶ μόσυν, τῷ υ. δικατάληκτα δὲ τῷ ι. δελφὶν, καὶ δελφίς. ἀκτὶν, καὶ ἀκτίς. ῥίν. καὶ ῥίς. θίν. καὶ θίς. Ετι τὰ εἰς ηξ δωριστὶ, εἰς αξ προφερόμενα. μύρμηξ. γάρθηξ. Ετι τὰ ἐκ τοῦ πλὴν τι τῷ. βουπλήξ. Εις ι δὲ, τά τε δικατάληκτα ὡς εἴρηται. καὶ τὰ εἰς ι οὐδέτερα. πλὴν τοῦ ἄστυ, γόνυ. πῶϋ, δόρυ. καὶ τῶν ἀπὸ τῶν εἰς υς ἀρσενικῶν. ταῦτα γὰρ τῷ υ. Ετι τὰ εἰς ις, τῷ δ κλινόμενα ἢ τῷ θ ὡς ἐπὶ τὸ πλεῖστον παρίς, ὄρνις. εἰ δὲ τῷ ντ κλίνοιτο, τῇ ει διφθογγογραφεῖται. χαρίεις, ἀ-

εἶναι τὸν μέλλοντα τελέως ὀρθογραφεῖν. Δι' ἀκριβείας δὲ περὶ ἐτυμολογίας εἰπεῖν καὶ περὶ ἀφαιρέσεως καὶ προλήψεως, καὶ ὅλως μεταβολῆς, οὐ τοῦ παρόντος σκοποῦ.

Η τῶν φωνηέντων τροπή, τετραχῶς.

Λανθάνει μέντοι οὐδ' ἐνταῦθα χρή, ὅτι τῶν φωνηέντων ἡ τροπὴ τετραχῶς· ἢ γὰρ τὸ βραχὺ τρέπεται εἰς βραχύ, μενόλαος, μενέλαος, ἢ τὸ μακρόν, εἰς μακρόν· πυθαγόρας, πυθαγόρης· ἢ τὸ βραχὺ εἰς μακρόν· ἔρως, ἥρως· ἢ τὸ μακρὸν εἰς βραχύ· λαός, λεώς. Πάμπολλα δὲ παρὰ τὴν κλίσιν ἐστὶν ὀρθογραφεῖν· οἷον, θέωνι μὲν τῷ μεγάλῳ· μέμνονι δέ, τῷ μικρῷ· ἄμφω δὲ τῷ ι· ὅτι πᾶσα δοτική, τῷ ι· ἤτοι ἐκφωνουμένῳ, ἢ μή· ἀλλ' ἐν διφθόγγῳ ὡς ἐπὶ τῶν ἰσοσυλλάβων· πόρσῃ, καλῷ.

Ἔτι τύψω, ἔτυψα, τῷ υ· ὅτι τύπτω· οὕτω καὶ ἔμεινα, τῇ ει· ὅτι ἀπὸ τοῦ μένω διφθογγοῦσθαι ταύτῃ συμβαίνει. Εἴη δ' ἂν καὶ ἀναλογίᾳ θεωροῦντι ὀρθογραφεῖν· οἷον εἰ τὸ ταχεῖα τῇ διφθόγγῳ, ὅτι καὶ τὸ βραδεῖα· ὡς γὰρ ἀπὸ τοῦ ταχέος, ταχεῖα οὕτω καὶ ἀπὸ τοῦ βραδέος, βραδεῖα.

Ἔτι συστοιχεία· ὡς γὰρ τὸ δίκαιος τῇ αι, οὕτω καὶ τὸ δικαία, καὶ δίκαιον, καὶ δικαιοσύνη, καὶ δικαιοῦν. Σκεπτέον δὲ καὶ εἰ διὰ συναίρεσιν, καὶ ὅλως εἰ διὰ πάθος· οἷον φθοῖς τῇ διφθόγγῳ· ὅτι τοῦ φθόϊς, τὸ ο καὶ ι συνῄρηται. καὶ εἰ ἀπὸ διαλέκτου εἴη πως συνιέναι· οἷον τὸ ἡμεῖς, η· γραπτέον· ὅτι ἀ-

Ἐπὶ ἡ ει, πλὴν αὐτοῦ εἴρηκα· εἴλεως· εἱρμὸς· εἱλίσσω· εἶμαι· εἷς. Ἐπὶ ἡ δυ· πλὴν τοῦ δύειν, δύειν· δυρίσκειν· ἔτι ἡ οι ἐν ταῖς ὑπὸ μίαν· πλὴν τοῦ οἶμος, ὁδὸς· καὶ οἷος. Ἐπὶ ἡ ου· πλὴν τοῦ οὗτος· οὕνεκα· καὶ τῶν μονοσυλλάβων· οὐ· οὖς· οὕτω μὲν τοίνυν ταῦτα. A

Περὶ ὀρθογραφίας.

Τίνα δέ τισι γραπτέον, φωνήεσι καὶ διφθόγγοις. οἷον, τίνα μὲν τῷ μακρῷ ο· τίνα δὲ τῷ μεγάλῳ καὶ τίνα μὲν τῷ ε· τίνα δὲ τῷ η· ἢ τῇ αι, καὶ τίνα μὲν τῷ υ, τίνα δὲ τῇ οι· καὶ τίνα μὲν τῷ ι, τίνα δὲ τῇ ει· τῇ μὲν παραδόσει κείσθω· τῇ δὲ ἐτυμολογίᾳ ληπτέον· οἷον, τοῦ ἤπειρος· τὸ μὲν ο, ἐκ παραδόσεως μακρόν· τὸ δὲ η· καὶ ει, ἐξ ἐτυμολογίας· ὅτι ἀπὸ τοῦ α καὶ πέρας· ἄπειρος· καὶ τροπῇ τοῦ α εἰς η, καὶ προσλήψει τοῦ ι ἤπειρος. Ὥς τε σκεπτέον ὅπως τὰ σύνθετα ἔχει, καὶ ὅλως παράγωγα. οὐ μόνον ὅτι πολλὰ ἡ σύνθεσις μεταβάλλει καὶ ὅλως ἡ παραγωγή· οἷον ὄνομα· ἀνωνυμία, ὄρος ἀκρώρεια πείθω, πιθανός· λείβω, λοιβή· λιβάς· ἀλλὰ καὶ ὅτι διαφόρως τῆς συνθέσεως γιγνομένης, διαφόρως ἂν καὶ ὀρθογραφοῖτο τὰ μέσα. Τῶν γάρ τοι συνθέτων τὰ μὲν ἐκ δυοῖν τελείων· χειρίσοφος. τὰ δὲ ἐκ δυοῖν ἀπολειπόντων· σοφοκλῆς· τὰ δὲ ἐξ ἀπολείποντος καὶ τελείου· φιλόδημος. τὰ δὲ ἀνάπαλιν· πυθοκλῆς· ὥς τε καὶ συμβαίνῃ διὰ τὸ πολὺ τῆς φωνῆς σύνθετον καὶ παράγωγον, ἐτυμολογικὸν δεῖν

Ἔτι πρὸ τοῦ μ. πλὴν τοῦ ὁμοῦ. καὶ τῶν ἀπὸ τούτου.

Ἔτι πρὸ τοῦ ν ἐν ταῖς ὑπὸ μίαν συλλαβήν. ὄνυξ. ὄναρ. Ἔτι πρὸ τοῦ ξ καὶ π. πλὴν ἐφ' ὧν ἕπεται τὸ λ. καὶ πλὴν τῶν ἀναφορικῶν. Ἔτι πρὸ τοῦ ρ πλὴν τοῦ ὁρῶ, ὅρος. καὶ ἐφ' ὧν τὸ κ. ἢ τὸ μ ἕπεται.

Ἔτι πρὸ τοῦ σ ἐν τοῖς ὑπὸ μίαν συλλαβήν. πλὴν τοῦ ὅσος, καὶ ὅσιος. Ἔτι πρὸ τοῦ τ. πλὴν τοῦ ὅτι. ὅτε. ὅτω.

Ἔτι πρὸ τοῦ φ χ ψ ω. Πρὸ δὲ τοῦ π, ἑπομένου λ, δασύνεται. ὁπλή. ὅπλον. καὶ αὐτὸ τῶν ἀναφορικῶν. ὁποῖος. ὁπότε. ὅπου. ὁπόσος. ὅπως. ὁπότερον.

Ἔτι πρὸ τοῦ ρ, κ, ἢ μ ἑπομένου. ὄρκος. ὦμος. Καὶ πρὸ τοῦ ν δὲ, καὶ σ, δασύνεται αὐτὸ τῶν ὅν. καὶ ὅς, μονοσυλλάβων. Καθόλου δὲ πλεονάζον τοῖς ἀπὸ συμφώνου ἀρχομένοις, ψιλοῦται. ὄβριμος, καὶ προδασυνόμενον ἢν προσλάβῃ τὸ υ, ψιλοῦται ὅρος. οὖρος. Ω. Τὸ ω ἐν ταῖς ὑπὸ μίαν συλλαβήν, ψιλοῦται. πλὴν τοῦ ὁρῶ. ὥρα, ὡραιῶ. ὧ δὲ ἄρθρον δασύνεται. καὶ ὧ ἰδίω. ὦ δὲ ἐπίρρημα κλητικὸν ψιλοῦται ὡς εἴρηται. Υ. Τὸ υ, πάσης λέξεως ἄρχον δασύνεται. ὡς ἀπὸ τῶν συμφώνων τὸ ρ. ῥώμη. ῥῆμα. ῥεῖν. Δασύνεται δὲ τὸ ρ, καὶ ἐὰν διπλοῦν γένηται ἐν μέσῳ λέξεως. οὐκ ἄμφω μέντοι. ἀλλὰ τὸ μὲν πρῶτον, ψιλοῦται. τὸ δὲ δεύτερον, δασύνεται. ῥῆμα. ἐπίρρημα. Κοινὰ δὲ καὶ περὶ τὰς διφθόγγους, οἷον ἡ αι ἐν ταῖς ὑπὸ μίαν, ψιλοῦται. εἰ μὴ τὸ μ ἕποιτο. αἷμα. πλὴν τοῦ αἱροῦμαι. Ἔτι ἡ αυ ψιλοῦται. πλὴν αὐτὸ τοῦ αὑτῆ.

Ἔτι

μένου· ἦρα, ἥρως· βραχεῖα δὲ ψιλοῦται· ἠριγέρων ἠριδανός· ἠρέμα. Ἔτι πρὸ τοῦ σ, δασύνεται· ἥσυχος· ἥσσοδος. Πρὸ δὲ τοῦ τ, ψιλοῦται. πλὴν τοῦ ἡττᾶσθαι. Ἔτι πρὸ τοῦ υ, ἠΰς. Ἔτι πρὸ τοῦ φ, δασύνεται· ἥφαιστος. Πρὸ δὲ τοῦ χ, ψιλοῦται· ἦχος· τὸ δὲ ἧχι κατ᾽ ἐπέκτασιν. Πρὸ δὲ τοῦ ψ, δασύνεται· ὡς ἐκ κλίσεως ὂν τοῦ ἅπτω.

Καθόλου δὲ ἐξ αὐξήσεως ὄν, τὸ πνεῦμα ἔχει τοῦ ῥήματος· αἰδοῦμαι, ᾐδούμην· αἱροῦμαι, ᾑρούμην.

Ἔτι ἐν τροχαϊκῇ λέξει ψιλοῦται· πλὴν τοῦ ἧλος· καὶ ἧπαρ. Ι. Τὸ ι πρὸ τοῦ α· β· καὶ γ, ψιλοῦται, καὶ πρὸ τοῦ δ, εἰ μὴ τὸ ρ ἕπεται· ἱδρώς· ἱδρύω· πλὴν τοῦ ἴδρις. Πρὸ δὲ τοῦ ε, δασύνεται· ἱερόν· καὶ πρὸ τοῦ ζ, ἵζω. Πρὸ δὲ τοῦ η, ψιλοῦται· πλὴν τοῦ ἵημι· τὸ βάλλω. Ἔτι πρὸ τοῦ θ καὶ κ· πλὴν τοῦ ἵκω, ἱκέτης, ἱκάνω. Ἔτι πρὸ τοῦ λ· πλὴν τοῦ ἵλεως καὶ ἱλαρός. Ἔτι πρὸ τοῦ μ συμφώνου ἑπομένου· ἴμβρος· φωνήεντος δέ, οὔ· ἵμερος· πλὴν τοῦ ἵεμεν. Ἔτι πρὸ τοῦ ν· πλὴν τοῦ ἵνα. Ἔτι πρὸ τοῦ ξ, ἰξός. Ἔτι πρὸ τοῦ ο· ω· ἰός, ἰών.

Ἔτι πρὸ τοῦ π ἑνὸς ὄντος· πλὴν τοῦ ἵπτασθαι,

Ἔτι πρὸ τοῦ ρ, καὶ πρὸ τοῦ σ· πλὴν τοῦ ἵστωρ, ἱστορία, ἱστός· ἵστημι. Ἔτι πρὸ τοῦ τ καὶ υ καὶ φ καὶ χ καὶ ψ. Ο. Τὸ ο πρὸ τοῦ α· καὶ β· καὶ γ, καὶ δ ψιλοῦται· πλὴν τοῦ ὁδός καὶ ὅδε καὶ ὁδεῖνα. Ἔτι πρὸ τοῦ ε ζ θ· πλὴν τοῦ ὅθεν καὶ ὅθι.

Ἔτι πρὸ τοῦ κ λ· πλὴν τοῦ ὅλμος, ὁλκή· ὁλκάς, ὅλος.

ἕτερος· ἑταῖρος. Ἔτι πρὸ τοῦ υ καὶ φ· πλὴν τοῦ ἔφθος. Ἔτι πρὸ τοῦ χ. Πρὸ δὲ τοῦ ψ δασύνεται. Καὶ πρὸ τοῦ ω· πλὴν τοῦ ἕω. ὅθεν τὸ εἰμί. καὶ ἑῶ. Καθόλου δὲ τὸ ε ἐκκλύσεων· εἴτ᾽ οὖν αὐξήσεως ὂν ψιλοῦται. ἔλεγον. ἔγραφον. Ἔτι ψιλουμένοις μὲν λέξεσιν ἐπιπλεονάζον, μεταλαμβάνει τοῦ ψιλοῦ πνεύματος. δασυνομένοις δὲ τοῦ δασέος. ἑωνημένως, ἑώρων. Ἔτι δασυνόμενον ἢν τὸ υ προσλαβὸν ἀποδιφθογγωθῇ ψιλοῦται. ἕκηλος εὔκηλος. ἕωλον. εὔωλον. Ἔτι κατὰ τοὺς παρῳχημένους προερχόμενον καὶ ἀπαίπλον, ψιλοῦται. ἔτυπτον τύπτε γράφ. Η. Τὸ η πρὸ τοῦ α ἀπὸ κλίσεώς τε ἐστὶ καὶ ψιλοῦται. Πρὸ δὲ τοῦ β μὲν δασύνεται καὶ πρὸ τοῦ γ· πλὴν τοῦ ἠγάθεος. Ἔτι πρὸ τοῦ δ, πλὴν ἡδονή. ἔθνος, καὶ ἤδη καὶ ἦδος. Πρὸ δὲ τοῦ ε ψιλοῦται ἠεπίων. ἠέλιος. πρὸ δὲ τοῦ ζ ἀπὸ κλίσεώς τέ ἐστιν ἀεί. καὶ τὸ πνεῦμα ἴσχει τοῦ ῥήματος ἅζομαι, ἡζόμην. Πρὸ δὲ τοῦ θ ψιλοῦται ἀεὶ καὶ πρὸ τοῦ ι. Πρὸ δὲ τοῦ κ δασύνεται· πλὴν τοῦ ἠκέστης. Ἔτι πρὸ τοῦ λ, ψιλοῦται· πλὴν τοῦ ἥλιος. ἧλος. ἡλικία. Πρὸ δὲ τοῦ μ, δασύνεται. πλὴν τοῦ ἦμαρ καὶ ἦμος, ἠμαθόεις, ἠμί, ἠμύειν.

Πρὸ δὲ τοῦ ν, ψιλοῦται· πλὴν τοῦ ἡνίκα καὶ τῶν ἐξ αὐτοῦ. Πρὸ δὲ τοῦ ξ, ἐπὶ τοῦ ἥξω μέλλοντος μόνου δασύνεται. Πρὸ δὲ τοῦ ο, ω, ψιλοῦται. ἠώς ἠονδύς. Ἔτι πρὸ τοῦ π. πλὴν ἧπαρ.

Πρὸ δὲ τοῦ ρ, δασύνεται. φύσει μακρᾷ συλλαβιζο-

τῶν ἀπὸ τοῦ ἅπτω. ἁψίς. ἁψίκορος. Καθόλου δὲ τὸ α στερητικὸν ὂν ἢ ἐπιτατικὸν, ἢ μειωτικὸν, ἢ φαύλου, ἢ ὀλίγου, ἢ τοῦ ὁμοῦ, ἢ τοῦ ἴσου σημαντικὸν, ἢ πλεονάζον, ψιλοῦται. ἄκλιτον. ἀχανές. ἀκόλουθον. ἄρυθμον. ἀτάλαντον. ἀμαθές. ἄσταχυς. ἀθροιστικὸν δὲ δασύνεται. ἀεί. ἐξαιρείσθω τῶν στερητικῶν ἅλωσις. καὶ ἅδης. Ε. Τὸ ε πρὸ μὲν τοῦ α, δασύνεται. πλὴν τοῦ ἔαρ. ἐαὶ, ἐαδέναι.

Πρὸ δὲ τοῦ β, ψιλοῦται. εἰ μὴ τὸ δ ἢ τὸ ρ ἐπιφέροιτο. ἕβδομος. ἑβραῖος. Ἔτι πρὸ τοῦ γ καὶ δ. πλὴν τοῦ ἕδος. ἕδρα. ἕδνα, ἑδεῖται ὅθεν τὸ καθεδεῖται.

Ἔτι πρὸ ἑαυτοῦ. πλὴν τοῦ ἑόρσα. Ἔτι πρὸ τοῦ ζ, πλὴν τοῦ ἕζω. ὅθεν τὸ καθέζομαι. Πρὸ δὲ τοῦ η δασύνεται. πλὴν τοῦ ἐήν. καὶ ἐηνός. ποταμός. Πρὸ δὲ τοῦ θ, ψιλοῦται. πλὴν τοῦ ἕθεν. Πρὸ δὲ τοῦ κ δασύνεται. εἰ μὴ τῆς λέξεως ἐκπίπτει. ὡς ἀπὸ τοῦ ἐκεῖνος κεῖνος, καὶ πλὴν τῆς ἐκ, καὶ τῶν ἐξ αὐτῆς. ἐξαιρείσθω καὶ τὸ ἑκυρός. ἐκεχειρία. Πρὸ δὲ τοῦ λ, ψιλοῦται. πλὴν τοῦ ἕλλην. ἕλος. ἕλιξ. ἕλμινς.

Ἔτι πρὸ τοῦ μ πλὴν τοῦ ἑμύς. Ἔτι πρὸ τοῦ ν πλὴν τοῦ ἕνεκα. ἕν, καὶ ἑνοῦν. πρὸ δὲ τοῦ ξ δασύνεται. πλὴν τῆς ἐξ. καὶ τῶν ἐκ ταύτης. Ἔτι πρὸ τοῦ ο. πλὴν τοῦ ἑόν, καὶ εἰ ἐκκλίσεως. Πρὸ δὲ τοῦ π, ψιλοῦται. πλὴν τοῦ ἕπω. ἑπτά. Ἔτι πρὸ τοῦ ρ εἰ μὴ τὸ δ ἢ κ ἢ μ ἢ π ἢ σ ἕπεται. ἕρδειν. ἕρκος. ἕρπειν. ἑρμῆς. ἕρσα. Ἔτι πρὸ τοῦ σ. πλὴν τοῦ ἑστιῶ. ἕστηκα, ἑστία. Ἔτι πρὸ τοῦ τ. πλὴν τοῦ ἕτοιμος.

ἀλλὰ βαρύνεσθαι. λέγοι τις. ὡς καί τινας. τῶν ἄλλων συνδέσμων. οὐ γὰρ σώζει τὸν τόνον μετατιθέμενον. διό τι καὶ περὶ τῶν προθέσεων εἴρηται. οἵ γε μὴν ἐγκλιτικοὶ παροξύνονται ὁμοίως. ἔμπης. οὕτω μὲν οὖν περὶ τόνου καὶ χρόνου. καὶ μὲν δὴ καὶ σημεῖα ἄττα ἐνθυμηθέντας προσθεῖναι δεῖ ἀνάγκη ἔχει.

Περὶ πνεύματος.

Περὶ δὲ πνεύματος κοινῇ θεωρῶμεν ὧδε. Α.

Τὸ ᾱ πρὸ ἑαυτοῦ ψιλοῦται. Ἐπὶ πρὸ τοῦ β̄. πλὴν ἐφ' ὧν τὸ ρ̄ ἕπεται. ἁβρός. ὡσαύτως δὲ καὶ τὰ ἄλλα. πλὴν τοῦ στερητικοῦ. ἁβροτάζειν. ἁβρόμος. Ἐπὶ πρὸ τοῦ γ̄. πλὴν τοῦ ἁγνὸς καὶ τῶν ἀπ' αὐτοῦ ἅγιος. Ἐπὶ πρὸ τοῦ δ̄ πλὴν τοῦ ἁδρός. καὶ ἅδης. Ἐπὶ πρὸ τοῦ ε̄, καὶ πλὴν τοῦ ζ ἅζειν, τὸ σέβειν. Ἐπὶ πρὸ τοῦ η̄ καὶ θ̄ καὶ ῑ καὶ κ̄ καὶ λ̄ πλὴν τοῦ ἅλεσθαι, καὶ ἅλς, καὶ τῶν ἀπὸ τούτου, ἑπομένου μέντοι συμφώνου τῆς πρώτης, ἢ τῆς δευτέρας, ἢ τῆς τρίτης συζυγίας ἀεὶ ψιλοῦται. ἀλφιός. ἀλκυών. Ἐπὶ πρὸ τοῦ μ̄ ψιλοῦται. πλὴν τοῦ ἅμα καὶ τῶν ἀπ' αὐτοῦ ἅμιλλα. ἅμα. ἁμαρτία.

Ἐπὶ πρὸ τοῦ ν̄, ψιλοῦται. πλὴν τοῦ ἁνδάνω.

Ἐπὶ πρὸ τοῦ ξ, καὶ ο̄, καὶ ω̄. καὶ π̄. πλὴν τοῦ ἅπας. ἁπλοῦς ἅπτω. Ἐπὶ πρὸ τοῦ ρ̄ πλὴν τοῦ ἅρκυς· καὶ ἐφ' ὧν τὸ μ̄ ἢ τὸ π̄ ἕπεται. ἅρμα. ἁρπυία.

Ἐπὶ πρὸ τοῦ σ̄. πλὴν τοῦ ἅσται, σημαντικοῦ ἅπτω.

Ἐπὶ πρὸ τοῦ τ. πλὴν τοῦ ἅττα, ἅπτω. Ἐπὶ πρὸ τοῦ υ καὶ φ πλὴν τοῦ ἁφή. Ἐπὶ πρὸ τοῦ χ καὶ ψ πλὴν

περισπᾶται· πρῦ· πῶς. Καὶ τὰ ἐκ τοῦ υ λήγοντα·
νῦν· γρῦ· μακρὸν γὰρ τὸ νῦν ἐπιρρηματικῶς, βρα-
χὺ δὲ συνδεσμικῶς· ὅθεν, τὸ τίνυν· ὀξυτόνως δέ, καὶ
τὸ εἰ· καὶ ναί· οἷς καὶ ἐπικλινομένοις τῇ θε· οἷον
εἴθε· καὶ τῇ χι, ναίχι, οὐ τρέπεται εἰς περισπωμέ-
νην ἡ ὀξεῖα. καθόλου γὰρ τῶν ἁπλῶν αἱ ἐπικλί-
σεις, οὐ τρέπουσι τὴν ὀξεῖαν τάσιν. Τὸ δὲ ὄφε-
λον προπαροξυτόνως καὶ τὸ ἐπέκεινα, ὡς ἐκ προ-
χαϊκοῦ σύνθετα.

Τόνος καὶ χρόνος συνδέσμου.

Τῶν δὲ συνδέσμων, οἱ μὲν συμπλεκτικοὶ ὀξυτονοῦν-
ται, πλὴν τοῦ ἤτοι· ἡ μέντοι γε ὀξεῖα συνεπομένη, τρέ-
πεται εἰς βαρεῖαν. Παροξυτονοῦνται δὲ καὶ οἱ
αἰτιατικοί· τὸ δὲ καθό, καὶ διό, μέρη δύο. καὶ βρα-
χυκαταληκτοῦσι δέ, πλὴν τοῦ ὅπως. Ὀξύνονται δὲ
καὶ οἱ διαζευκτικοί, πλὴν τοῦ ἤτοι. Καὶ προπερι-
σπᾶται μὲν ἆρα, ἀπορρηματικῶς· παροξύνεται
δέ, συλλογιστικῶς. τὸ δὲ ἢ διαζευκτικὸν μὲν ὄν,
ἢ διασαφητικόν, ψιλοῦται καὶ ὀξύνεται. βεβαιω-
τικὸν δὲ ψιλοῦται καὶ περισπᾶται. τοπικὸν δὲ ὄν,
ἢ ἀρθρικόν, ἢ ὁμοιωματικόν, δασύνεται. καὶ περι-
σπᾶται. Καθόλου δὲ οἱ σύνδεσμοι πάντες ψιλοῦν-
ται, πλὴν τῶν ἀπολογικῶν. Ὀξύνονται δὲ καὶ
οἱ παρασυναπτικοί· ἐπεί· ἐπειδή· καὶ ἐπικλινό-
μενοι τῇ περ, ἐπὶ τῆς αὐτῆς φυλάττουσι τὴν ὀξεῖ-
αν τάσιν· ἐπειδήπερ. ὀξύτονος δὲ καὶ ὁ ἀλλά καὶ
ὁ ἀλλαμὴν εἰ μὴ ἴσως τὸ ἀλλὰ οὐκ ὀξυτονεῖσθαι.

παρὰ αὐτῇ τοῦ πάρεστι. Δῆλον δὲ τὸ τὰς προθέσεις βαρύνεσθαι, ἐκ τοῦ ἔπεμοί. εἰ γὰρ ὀξυτονεῖτο, μετεφέρετ' ἄν, ἐπὶ τὸ ε ἡ ὀξεῖα. ὥσπερ καὶ ἐπὶ τοῦ, ἔπι τ' ἄταρ ὀγδοάτην.

Τόνος καὶ χρόνος ἐπιρρήματος.

Τὰ δὲ ἐπιρρήματα, ἐπειδὴ ἀπὸ ὀνόματος καὶ ῥήματος καὶ τῶν λοιπῶν τοῦ λόγου μερῶν ἐστι λαβεῖν τε καὶ σχηματίσαι, καθάπερ ἐν τῷ περὶ τόπων σχηματισμῶν εἴρηται πρότερον. δῆλον ὅτι καὶ ὁμοίως αὐταῖς ἀρχαῖς ἔχει τὸν χρόνον καὶ τὸ πνεῦμα. οἷον τὸ δικαίως, ὡς τὸ δικαίων. καὶ τὸ πολλάκις ὡς τὸ πολλά. ἔνια μέντοι καὶ διαφέρειν οὐδὲν κωλύει. οἷον ἐπὶ μὲν τοῦ τρία, καὶ τριάς, τὸ ι βραχύ. ἐπὶ δὲ τοῦ τρίς, μακρόν. μεταβλητικὸν γάρ ἐστιν οὗ ἡ παραγωγή. οἷον δὴ καὶ ἐπὶ τοῦ πνεύματος. τὸ μὲν γὰρ ἅμα, δασύνεται. τὸ δὲ ἄμυδις, ψιλοῦται. σώζει μὲν οὖν ἔνια ἐπὶ τῆς αὐτῆς. οἷον τὰ καλούμενα μεσότητος. καλῶν, καλῶς. τιμίων, τιμίως, καὶ τὰ δοτικοφανῆ· καὶ τὰ γενικοφανῆ. κοινῇ. ἴσης, ἐπίσης. καὶ ὅλως τὰ καλούμενα ὁμοιογόματα.

Ἔτι τὰ εἰς θεν. ἄνω, ἄνωθεν. ποῦ, πόθεν. ποθὲν μέντοι ὀξυτόνως, διαφορᾶς χάριν τοῦ ἀορίστου. Περισπῶνται δὲ καὶ ὅσα διφθόγγῳ λήγει ἐχούσῃ τὸ υ, ὑποτακτικόν. δεῦ. ἀγχοῦ. ὁμοῦ. πᾶσα γὰρ δίφθογγος τελικὴ εἰς υ λήγουσα, καὶ ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον, περισπᾶται. πλὴν τριῶν. ἰδού. ἰού. οὔ. ὀξυτονουμένων. Ἔτι τὰ μονοσύλλαβα τῶν πευστικῶν,

Κοινὰ δὲ τὰ ἐπὶ τῶν πληθυντικῶν ταῦτα καὶ τῆς δευ-
τεροπροσώπου ἐστί. πλὴν ὅσον τὸ ἀρκτικὸν, οὐκ
ἔχει· ἀλλὰ ῦ μακρόν. Τῶν δὲ ἑνικῶν, ἡ μὲν εὐθεία
τῷ ῦ βραχυγραφεῖται καὶ ἐξ ἀνάγκης ὀξύνεται.
Ἡ δὲ γενική, περισπᾶται. πᾶσα γὰρ γενικὴ μακροκα-
τάληκτος ἐπὶ τῆς μακρᾶς τονιζομένη, περισπᾶ-
ται. Ἡ δὲ δοτική, ὀξύνεται καὶ μακρογραφεῖ-
ται ὁμοίως τῇ πρωτοπροσώπῳ.
Ἔτι καὶ ἡ αἰτιατική. Καὶ τὰ δυϊκὰ, ὡς ἐπὶ τῆς
πρώτης. Τῆς δὲ τρίτης, ἡ μὲν τοῦ ἑνικοῦ εὐθεῖα,
τῷ βραχεῖ. Ἡ δοτικὴ δὲ τῇ οι περισπωμέ-
νως. Καὶ ἡ αἰτιατική, τῷ βραχεῖ. Τὰ δὲ δυϊ-
κὰ καὶ πληθυντικὰ, τοῖς τῶν προτέρων ὁμοίως. πλὴν
ὅσον ἡ τῶν πληθυντικῶν δοτική, βραχεῖα λήγει καὶ
παραλήγει. Καθόλου τὸ ἀπο[illegible]ον ε̆, τῶν ἀν-
τωνυμιῶν βραχεῖ, καὶ τὰ μοναδικὰ δὲ τοῦ τρίτου.
νίν. μίν. βραχεῖ τῷ ῐ.

Τόνος καὶ χρόνος προθέσεως.

Πρόθεσις δὲ πᾶσα, βαρύνεται. καὶ πᾶσα βραχυκα-
ταληκτεῖ. πλὴν τῆς εἰς, καὶ ἐξ. ἣ δὴ καὶ ἐκ λέ-
γεται ἑπομένου συμφώνου. ἐκδίος. Καὶ πᾶσα
δὲ ψιλοῦται ἀπὸ φωνήεντος ἀρχομένη. πλὴν τῆς
ὑπὸ καὶ ὑπέρ. τῶν μέντοι γε δισυλλάβων, μετὰ τὰ ὀ-
νόματα τιθεμένων, ὁ τόνος ἀναβιβάζεται. ποιη-
ταῖς μὲν πασῶν, παργασῶν κάτα. καὶ ἐμῶν μέτα.
λογογράφοις δέ, τῆς περὶ μόνης. τούτων πέρι. πα-
ροξύνονται δὲ καὶ ὅτε ἀντὶ ῥημάτων κεῖνται. ὡς ἡ

κλεῖ καὶ ὀξύνεται. Χρὴ δ᾽ ἄρα τὸ ἐγκλιτικὸν δύο εἶναι· ὡς τότε ἀρκτικὸν ἀποβάλλουσα φωνῆεν, ἐγκλίνεται ὧδε· ἤκουσάς μου· ἔδωκάς μοι· εὔφρανάς με. Εγκλινόμενα.

Καθόλου γάρ τοι τὰ ἐγκλινόμενα ἀποβάλλοντα τὸν ἑαυτῶν τόνον, ἐφέλκεται ὑπὸ τοῦ κατὰ τὴν ἡγουμένην λέξιν. εἴτε μονοσύλλαβα εἴη. εἴτε δισύλλαβα. τὸ δὲ καὶ μοί τις οὐ δισύλλαβον ἐν, ἀλλὰ μονοσύλλαβα δύο. ἀεὶ γὰρ μία μόνη λέξις ἐγκλίνεται. δύο δ᾽ οὖν καὶ μονοσύλλαβα ὦσιν, οὐκ ἂν ὑφ᾽ ἑνὸς τόνου ἐγκλίνοιντο. ἀλλ᾽ ἡ μὲν προτέρα, ὑπὸ τοῦ ὑπάρχοντος κατὰ τὸ ἡγούμενον. ἡ δὲ δευτέρα ὑφ᾽ ἑτέρου τῇ προτέρᾳ ἐπιτιθεμένου. Ολως μὲν τοίνυν τὰ τῶν πρωτοτύπων ἑνικὰ, ἐγκλίνεται. πλὴν τῶν εὐθειῶν. Τῆς δὲ πρωτοπροσωπούσης τὰ δυϊκά, μακρᾷ μὲν παραλήγει. βραχείᾳ δὲ λήγει τῷ ι νῶϊ. ἀπαθῆ ὄντα. ἐπὶ τοῦ πληθυντικοῦ, κοινὸν μὲν ἁπασῶν τῶν πτώσεων, τὸ ἀρκτικὸν η. καὶ τὸ δασύνεσθαι. Βραχυκαταληκτεῖ δὲ ἡ μὲν εὐθεῖα, ἧς ες. βραχείᾳ ἔτι παραλήγουσα.

Η δὲ αἰτιατική, εὐλόγως εἰς ας. ὡς τὰ περιττόκλιτα.

Καὶ ἡ γενικὴ δὲ τοῖς ὀνόμασιν ὁμοίως εἰς ων.

Η δὲ δοτικὴ μακροκαταληκτεῖ τῷ ι, καὶ περισπᾶται. καί τοι καθόλου τῆς δοτικῆς τὸ ι, βραχὺ ὄν. ἢ οὐδ᾽ ἐνταῦθα ἀεὶ μακρόν. ὅθεν οὐδ᾽ ἀεὶ περισπώμενον. ἀλλ᾽ ἢ ὀξύτονον ἢ παροξύτονον, οἷον δὴ καὶ τὸ σοφοκλέοις. ἀλλ᾽ ἡμῖν ἄλλας τοῦ ἐστιν.

ὀξυτόνως, ἀπαθὲς ὂν οὔτε δὲ ληγούσης μακρᾶς περιπαροξύνεται λέξις. καὶ πᾶσα μετοχὴ συστέλλεται τῆς γενικῆς. τὸ δὲ ἑστὼς κατὰ συναίρεσιν ἀπὸ τοῦ ἑσταός.

Τόνος καὶ χρόνος ἄρθρου.

Ἄρθρον δὲ τὸ μὲν ἀρσενικὸν καὶ οὐδέτερον ἀνάγεται ἐπὶ τὰ τῶν ὀνομάτων τριτόκλιτα. κἀκείνοις ὁμοίως ἔχει τὸν χρόνον. ἐπὶ μὲν γὰρ εὐθείας καὶ αἰτιατικῆς, βραχὺ ἐπὶ δὲ γενικῆς καὶ δοτικῆς μακρόν. ὅς. οὗ. ᾧ. ὅν. κατὰ τῶν ἄλλων δὲ ὁμοίως. τὰς ἐκείνων καταλήξεσιν ἔχει. διὸ καὶ λέγεται ὅτι καθόλου τὰ ἄρθρα τῆς δοτικῆς τῶν ἑνικῶν, καὶ τῆς εὐθείας τῶν δυϊκῶν καὶ τῆς γενικῆς τῶν πληθυντικῶν μακροκαταληκτεῖ. αἱ μέντοι γε εὐθεῖαι καὶ αἰτιατικαὶ τῶν προτακτικῶν, οὐκ ὀξυτονοῦνται, ὡς τὰ ὀνόματα. ἀλλὰ βαρύνονται ὡς αἱ προθέσεις. καί τινες τῶν συνδέσμων. τὸ δὲ θηλυκὸν τοῖς δευτεροκλίτοις ἕπεται. καὶ τὰ μὲν προτακτικὰ ἢ πνεύματα ἢ τόνους ἐπιδέχεται· τὰ δὲ ὑποτακτικὰ καὶ πνεύματα καὶ τόνους. πᾶν μὲν οὖν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον, δασύνεται. τὸ δὲ τῆς κλητικῆς ὦ. οὐκ ἄρθρον. διὸ καὶ οὐδὲν ἄτοπον εἰ ψιλοῦται.

Τόνος καὶ χρόνος ἀντωνυμίας α΄ προσώπου.

Ἀντωνυμία δὲ, ἡ μὲν πρωτότυπος. ἐπὶ τοῦ πρώτου προσώπου εὐθυλογουμένη τὸ ἑνικὸν μακροκαταληκτεῖ, καὶ ὀξύνεται. ἐπὶ γενικῆς δὲ, περισπᾶται. Καὶ ἐπὶ δοτικῆς δὲ, ὀξύνεται. καὶ μακρογραφεῖται τῷ οἱ ἐμοί. ἐπὶ δὲ αἰτιατικῆς. βραχυκαταλη-

του. τῶν γὰρ αἱ μετοχαὶ ὀξυτονοῦνται· ἰών. κιών. ἐών.

Παρακείμενος. ἀόριστος β΄.

Τῇ δὲ τοῦ παρακειμένου καὶ δευτέρου ἀορίστου, ἐπὶ τῆς ἐσχάτης· τετυφώς τυπών, ὀξυτόνως. καὶ μακροκαταλήκτως. ὁμοίως δὲ καὶ τῇ τοῦ μέσου παρακειμένου καὶ τοῖς πεμπτοσυζύγων ἐνεργητικοῖς. τιθείς. ἱστάς. αἵ γε μὴν εἰς μενος πᾶσαι, προπαροξύνονται. πλὴν ἐπὶ τοῦ παρακειμένου, παροξυτόνως γὰρ καὶ βραχυκαταληκτοῦσιν. αἱ δὲ εἰς εις, ὀξυτονοῦνται. καὶ μακρογραφοῦνται τῇ ει. πλὴν τῆς ἀπὸ τοῦ υ ζεύγνυμι. ζευγνύς. μακροκαταληκτεῖ μέντοι καὶ αὕτη. Καθόλου δὴ αἱ τῶν ἐνεργητικῶν μετοχαὶ γένους οὖσαι ἀρσενικοῦ μακροκαταληκτοῦσι· τύπτων. τύψας, τυπών, τετυφώς.

Ἐπικλινομένη ὧδε τῷ γένει. ὁ τύπτων, ἡ τύπτουσα. τὸ τύπτον, ἐπὶ τῆς αὐτῆς φυλάττει τὸν τόνον, καὶ λήγει δὲ βραχείᾳ τὸ θηλυκόν. παραλήγει μέντοι μακρᾷ. πλὴν τῶν εἰς μενη. ἀνάπαλιν γὰρ τυπτομένη. καὶ παραλήγουσα δὲ μακρᾷ τοῖς ἰδίοις ἀρσενικοῖς οἰκείως. ἢ γὰρ τῷ αὐτῷ μακρῷ. α. ἢ τῇ ου ἢ τῇ ει. πλὴν τῆς τοῦ παρακειμένου. ἥδε γὰρ τῇ υ τετυφυῖα. ὅτι τὰ εἰς α καθαρὸν θηλυκὰ διφθογγοπαράληκτα, τῇ ἐκ τοῦ ι διφθόγγῳ παραλήγει.

Δῆλον δ᾽ ὅτι καὶ τὸ οὐδέτερον ἀεὶ βραχυκαταληκτεῖ. ἢ γὰρ εἰς ον προπαροξύτονος τυπτόμενον, ἢ εἰς ον καὶ εἰς εν ἀπὸ τῆς γενικῆς τοῦ ἀρσενικοῦ

δεῖ εἶναι. ἅπει δισύλλαβον τοῖς δισυλλάβοις τῶν ἀορίστων ἀκολουθοῦσαι, μακροπαραληκτεῖ.

Ε πὶ παντὸς ῥήματος εἰς μαι λήγον, εἰ πρὸ τοῦ μ τὸ ο ἔχει βραχυπαραληκτεῖ. πλὴν τῶν ὑποτακτικῶν. καὶ ὅλως τὸ πρὸ τοῦ κλιτικοῦ μ ἀπαθὲς ο. βραχύ. τύπτομαι, τύπτομεν.

Τόνος καὶ χρόνος μετοχῆς.

Μ ετοχὴ δὲ ἐπειδὴ τῇ μὲν, τοῦ ὀνόματος μετέχει, τῇ δὲ, τοῦ ῥήματος, κοινὰ δὴ ἔχει καὶ τὰ πολλὰ τῶν περὶ ἐκείνων εἰρημένων. Ἴδιον δὲ μάλιστα τῆς δὲ, τὸ συστέλλεσθαι αὐτῇ γενικῆς ἀπαθῆ οὖσα. λέγων, λέγοντος. καὶ τὸ τὴν αὐτὴν ἔχειν ὀνομαστικήν τε καὶ κλητικὴν φωνήν τε καὶ, χρόνῳ καὶ τόνῳ. τουτὶ δέ γε κοινὸν καὶ πρὸς τὰ μετοχικὰ ὀνόματα κανών. τὸ δὲ μεμαῶτος, καὶ τεθνεῶτος καὶ βεβαῶτος. καὶ τὰ τοιαῦτα ποιητῶν. τὸ γὰρ πρὸ τοῦ ω σύμφωνον ἐξαίροντες. καὶ συστέλλοντες τὸ παραλῆγον, κλίνουσιν ἀσυστόλως. μέμηκα, μεμηκώς, μεμαώς. μεμαῶτος. ἡ ῥητέον καὶ ἀπὸ τοῦ μέσου δὴ παρακειμένου ταῦτα ἐσχηματίσθαι. συσταλτικός γάρ τοι ὁ μέσος. δέδοικα, δέδια. ἤκουκα, ἤκοα. ὅθεν τὸ ἀκηκοώς.

Ἐνεστώς. Μέλλων. Ἀόριστος πρῶτος.

Τ όνος δὲ τῇ μὲν ἀρσενικῇ τοῦ ἐνεστῶτος καὶ μέλλοντος καὶ ἀορίστου πρώτου λήγουσα εἰς ων ἐνεργητικῶν, αὐτὴ τῆς αὐτῆς τῷ ἀρχικῷ ῥήματι. τύπτω, ὁ τύπτων. ὁ τύψων, ὁ τύψας. πλὴν τριῶν ἴω. κίω. ἔω.

τιθέμεναι συλλαβαί. βραχεῖαι. Ο γε μὴν πρώτος ἀόριστος, ὡς τὰ πολλὰ μακρᾷ παραλήγει. μὴ λανθανέτω δὲ τὸ ἤνυσα καὶ ἔφρασα, καὶ ἔπτυσα βραχυπαραληκτοῦντα. μὴ δὲ τὸ ἐπήνεσα, καὶ ἐγέλασα, καὶ ἤροσα. Ο δὲ δεύτερος ἀπὸ θέματος ὢν βαρυτόνου βραχεία. δεῖ δὲ τὸν αὐτὸν καὶ ὑπὲρ δισύλλαβον εἶναι. ἄλλως γὰρ οὐ καθόλου. εἶδον γὰρ τῷ μακρῷ καὶ εἷλον καὶ εὗρον. καὶ οἶκον. καὶ ἦλθον, καὶ εἶπον. καὶ ἦγον. ὅθεν τὸ ἤγαγον. θέσει γε μήν. καὶ ἔνια τῶν τρισυλλάβων μακροπαραληκτεῖν. οἷον ὧν τὰ θέματα τὴν ληκτικὴν συλλαβὴν ἐκ τούτων ἀφώνων ἔχει. καὶ πρὸ τοῦ ἀφώνου ἀμετάβολον τὸ ρ. ἥμαρτον. ἔπαρθον. ἔδαρκον. ἐμαρτον. τὸ δὲ ἔπραθον καὶ ἔδρακον, ποιητικὰ συνῳδὰ μέντοι γε τῷ βραχύνοντι λόγῳ. οἷον δὴ καὶ τὸ ἤμβροτον μεταβολῇ τοῦ α, καὶ ἐπενθέσει τοῦ β, διὰ τὸ ἀσύντακτον εἶναι τὸ μ. Ετι τὰ εἰς θι προστακτικὰ καὶ τὰ εἰς ναι ἀπαρέμφατα ἀορίστου ὄντα, φύσει μακρᾷ παραλήγει. γνῶθι. φάθι. κρῖναι. λεᾶναι. φᾶναι. πλὴν τῶν ε πεμπτοσυζύγων. θέτι οὕτω δὲ, καὶ τὰ κατὰ μεταπλασμόν. κλῦθι. δῦθι. καί τοι ἀπὸ τοῦ κλύε. καὶ δύε. τὸ δὲ κέκλυθι βραχύνεται. καὶ τὸ ὄρνιθι καὶ ἴθι. Τά γε μὴν εἰς ᾶναι. καὶ ῦναι. τῶν πεμπτοσυζύγων, βραχυπαραληκτεῖ. ἱστάναι. ζευγνύναι. καθάπερ καὶ τὸ τιθέναι καὶ διδόναι. Καθόλου γὰρ οἱ τῆς πέμπτης ἀπαρέμφατοι ἐνεστῶτες, βραχυπαραληκτοῦσι. τὸ

περισπώμενα μακρᾷ παραλήγει. κοινῶ. πεινῶ. καὶ ὅλως τὰ εἰς ινω. τίνω. κρίνω. Ὥσπερ δὲ οὐ πάντα τὰ δίχρονα ἐπὶ τῆς γενικῆς οἷα ἦν ἐπὶ τῆς τῆς εὐθείας, οὕτως οὐδ' ἐπὶ τοῦ ἐνεστῶτος καὶ μέλλοντος ἴσα ἀεὶ, ἀλλὰ τὸ θύω. καὶ λύω. καὶ κωκύω, διφορούμενα, ἐπὶ ἐνεστῶτος, ἐπὶ τοῦ μέλλοντος, μακρᾷ ἀεὶ παραλήγει. Ἔτι τὰ εἰς ιω παροξύτονα. οἷον κυλίω. κονίω. ἐπὶ τοῦ μέλλοντος μακροκαταληκτεῖ. διὸ δὴ καὶ λέγεται, ὅτι πᾶς μέλλων βαρύτονος, ἢ τὴν ἴσην παραλήγουσαν ἔχει τῷ ἐνεστῶτι, ἢ μείζω. οὐδέποτε ἐλάσσω.

Ἔτι τὰ εἰς ινω, βραχείᾳ παραλήγει, καὶ ὅλως τὰ τεταρτόζυγα. ὅθεν καὶ κεκρίκαμεν, καὶ ἐκρίθην, βραχείᾳ παραλήγει καὶ τὰ ἀπὸ τούτων ὀνόματα κρίσις καὶ κρίμα. ἔκρινα δὲ καὶ κρῖναι, μακρᾷ.

Ἔτι τὰ εἰς πω τῷ υ παραλήγοντα ἐπὶ τοῦ παρακειμένου, μακρᾷ φύσει παραλήγει. τύπτω, τέτυφα. κύπτω. κέκυφα. τί γὰρ οἵδε δρῶσιν οἱ σφόδρ' ἐγκεκυφότες. Ἔτι πᾶς παρακείμενος τῷ κ συλλαβιζομένην ἔχων τὴν λήγουσαν, μακρᾷ παραλήγων, εἰ ἀποβολὴ γένοιτο τοῦ κ, συστέλλει τὴν παραλήγουσαν. ἕστηκα, ἕσταα. βέβηκα, βέβαα. τέθνηκα, τέθναα, δέδοικα, δέδια. Ἔτι πᾶς παρακείμενος ἀπαθὴς τῶν ἀπαρεμφάτων βραχυπαραληκτεῖ. τετυφέναι, πεποιηκέναι.

Καὶ πᾶς δὲ ἀναδιπλασιασμὸς διὰ βραχέος. καὶ ὅλως αἱ κατὰ τὰς ἀρχὰς τῶν παρῳχημένων πρὸς

θεν καὶ τὸ πρὸ πάλαι προπαροξυτόνως τονίσαι ἐξῆν.

Ετι τὰ μὲν εἰς αω, ἔχοντα πρὸ τοῦ α. ἢ φωνῆεν ἢ τὸ ρ συλλαβιζόμενον, μακρᾷ παραλήγει. ἐάω. περάω. εἰ δὲ μὴ βραχυπαραλήκτει. ἐλάω.

Τα δὲ εἰς ω καθαρὸν βαρύτονα ὑπερδισύλλαβα, τῷ ι παραλήγοντα βραχεῖα, παραλήγει. κυλίω. κονίω μηνίω. πλὴν τοῦ ἐσθίω. Ετι τὰ εἰς ιω. περισπώμενα. ἰῶμαι. ἑστιῶ. ὀρθριῶ. αἰνῶ.

Ετι τὰ εἰς ω καθαρὸν περισπώμενα. τῷ ο παραλήγοντα. βοῶ ἐὰν μὴ ἀπὸ ὀνόματος γένηται. ζωῶ γὰρ καὶ ἀθωῶ, τῷ μακρῷ. ὡς ἀπὸ ὀνομάτων τοῦ ζωὴ, καὶ θωὴ καὶ ἐπένθεσις δὲ τριτικὴ γένηται, ὁμόχρονος δὴ τῷ ὑπάρχοντι παραληκτικῷ ἔσται. βραχεῖα γὰρ αἱ βραχύ. ὀρόω. βοόω, μακρὰ δὲ. αἱ μακρὸν. μαιμώω. ἱδρώω. πηδώω. ὡσαύτως δ' ἔτοι καὶ ἐπὶ τῆς εἰς α ληγόντων προσώπων. βοάα. μαιμάα.

Ετι τὰ εἰς αινω ὑπερδισύλλαβα. λαμβαίνω. αἰδαίνω. πλὴν τοῦ ἱκαίνω καὶ κιχαίνω.

Ετι τὸ προστιθέμενον α ἰωνικῶς τοῖς τρίτοις βραχὺ, τετύφαται. ἐτετύφατο τιθέασι. τὸ δὲ ἱστᾶσι καὶ βοᾶσι κατὰ συναίρεσιν. Ετι τὸ ε ἑπομένου διὰ συμφώνου, ἀεὶ βραχύ. δεσπόζω. Ετι τὰ εἰς, ωζω, τῷ μακρῷ. σώζω. πλὴν τοῦ δεσπόζω, ὄζω. ἁρμόζω. Ετι τὰ εἰς υνω ὑπερδισύλλαβα. βαρύτονα μακρᾷ παραλήγει. ὀτρύνω. πραΰνω. μολύνω. τὸ δὲ θύω καὶ λύω καὶ ῥύομαι καὶ δακρύω. καὶ κωκύω. διαφορεῖται τὸν χρόνον. Τά γε μὴν εἰς νω

ληκτεῖ. εἰ μὴ συνῃρημένων εἴη. οἷον, τὸ ἐβόων. ἐγέλων. ἐξαιρείσθω. ὁ δεύτερος ἀόριστος τῶν ὃ πεμπτοσυζύγων. ἔδων, ἔγνων. Τὰ δὲ εἰς ῑ λήγοντα βραχυκαταληκτεῖ. ἵστημι. δίδωμι. Τὸ φειλόμενον α τῷ ἀορίστῳ, βραχὺ ἀεί. Πᾶς παρακείμενος βραχυκαταληκτεῖ. Ἔτι τὰ δεύτερα τῶν προστακτικῶν πρόσωπα βραχυκαταληκτεῖ. πλὴν τοῦ παθητικοῦ ἐνεστῶτος. καὶ τοῦ μέσου ἀορίστου δευτέρου. Τὰ πρῶτα τῶν εὐκτικῶν εἰς μι μὲν λήγοντα, βραχυκαταληκτεῖ. εἰς ην δὲ. μακροκαταληκτεῖ. τύπτοιμι. τυφθείην. Τὰ ἀπαρέμφατα μακροκαταληκτεῖ. πλὴν ὅσα ἡ αι δίφθογγος ἀντὶ βραχέος ἐσχατοσυλλαβοῦσα λαμβάνεται. Ἔτι τῶν προσώπων, τοῖς μὲν ἑνικοῖς καὶ δυϊκοῖς τρίτοις τῶν προστακτικῶν, μακρὸν μὲν τὸ λῆγον, βραχὺ δὲ φύσει παραλῆγον. τοῖς δὲ πληθυντικοῖς τρίτοις, ἀνάπαλιν. Τοῖς δ᾽ ἄλλοις ἅπασιν, ἑνικῶς μὲν κλινόμενον, μακρὸν τὸ λῆγον. πλὴν ὅσα ἡ οι ἐσχατοσυλλαβοῦσα ἀντὶ βραχέος λαμβάνεται. καὶ πλὴν τοῦ τρίτου τῶν πεμπτοσυζύγων. ἵστησι. τίθησι. δυϊκῶς δὲ καὶ πληθυντικῶς, βραχύ. πλὴν τῶν εἰς ην δυϊκοῦ καὶ ἠ παθητικοῦ. ἐτυπέτην. ἐτυπέσθην. τύπτη. Ἴδιον δὲ τῆς οι καὶ αι, τὸ τελικὰς οὔσας ἀντὶ βραχέων λαμβάνεσθαι. πλὴν τῶν συνῃρημένων. καὶ εὐκτικῶν καὶ ἐπιρρημάτων. σαπφοῖ. τύπτοι, οἴκοι. ἐξαιρείσθω τὸ πάλαι ἐπίρρημα. βραχυκαταληκτεῖ γὰρ ὅ-

σει τὰ τροχαϊκὰ προπαροξύτονα ὄντα οὐκ ἀναβιβά-
ζει τὸν τόνον, καθάπερ καὶ τὰ ὀνόματα ἀνεβίβα-
ζεν, εἶπε, κατεῖπεν, εἶχε, κατεῖχε. πλὴν τοῦ οἶδα.
σύνοιδα γὰρ προπαροξυτόνως. καὶ οἶσθα, σύνοι-
σθα. καὶ κεῖμαι, πρόσκειμαι. οὐκ ἔτι δὲ τὸ κεῖ-
σθαι ἀναβιβάζει. προσκεῖσθαι γὰρ προπαροξυτό-
νως. Προσωπικῶς δὲ κλινομένων, κοινὸν
ἁπάντων τὸ ἐπὶ τῆς αὐτῆς φυλάττεσθαι διόλου.
εἰ μὴ τετρασυλλαβία ἢ μακρὰ τρίτη κωλύοι.
οὕτω γὰρ ἀεὶ ἐπὶ τῆς ἑπομένης ὁ τόνος. τύπτομαι
τυπτόμεθα. ἐτύπτεσθον, ἐτυπτέσθην. Ἐγκλιτι-
κῶς δὲ κλινομένων, τὸ μὲν προστακτικὸν, προπα-
ροξυτόνως, ἔνθα ἂν ἐγχωρῇ. μὴ ἐγχωροῦντος δὲ, πα-
ροξυτόνως. τύπτε, τέτυφε. πλὴν τοῦ δευτέρου τῶν
μέσων ἀορίστου. περισπωμένως γὰρ, τυποῦ. ἐξαιρεῖ-
σθω καὶ τὸ εἰπέ. λαβέ. ἐλθέ. εὑρέ. ἰδέ. ὀξυτόνως
γάρ. Τὸ δ' εὐκτικὸν καὶ ὑποτακτικὸν καὶ ἀπα-
ρέμφατον. ἐπὶ τῆς αὐτῆς τονιστέον, ἐφ' ἧς καὶ τὸ ἀρ-
χικὸν ῥῆμα τυγχάνει ἔχον τὴν τάσιν, ἣν μηδὲν
κωλύῃ. πλὴν τῶν εἰς ναι ἀπαρεμφάτων. ταῦ-
τα γὰρ ἐπὶ τῆς παραληγούσης. τυπῆναι. καὶ πλὴν
τοῦ δευτέρου ἀορίστου καὶ μέλλοντος. περισπῶνται
γάρ. τυπεῖν. καὶ τῶν μέσων. τυπεῖσθαι γὰρ, καὶ
τυπέσθαι.

Χρόνος ῥήματος ληκτικός.

Χρόνος δὲ ῥημάτων τοιοῦτος. πᾶν ῥῆμα εἰς ω μὲν
λῆγον, μακροκαταληκτεῖ. εἰς ον δὲ, βραχυκατα-
ληκτεῖ

νον τὸ παροξύνεσθαι. ἐπὶ ἐνεστῶτος ἀπαθῶν ὄντων. τὰ γὰρ συνῃρημένα περισπᾶται ὥσπερ καὶ τὰ ὀνόματα, ὅλως τι πᾶν ῥῆμα μακροκατάληκτον ἐπὶ τῆς μακρᾶς ἔχον τὸν τόνον περισπᾶται. πλὴν τοῦ χρή. ἴδιον δὲ τῶν πεμπτοζύγων. τὸ προπαροξύνεσθαι. ἵστημι. τίθημι, πλὴν τοῦ εἰμί. καὶ φημὶ ὀξυτόνων, καὶ παθητικῶς δὲ διατιθέμενα. καὶ ὥσπερ κλινόμενα, φυλάττει τὸν τόνον, ἔτι ἐπὶ τῆς αὐτῆς ἅπαντα. λέγω γὰρ, λέγομαι. δίδωμι, δίδομαι.

Ὁ δὲ παρατατικὸς, παροξύτονος ἀεὶ εἰ μή τι κωλύοι, διὸ καὶ συλλαβικῶς μὲν αὐξανομένῳ. ἐπὶ τὸ προσληφθὲν ε ὁ τόνος ἀναβιβάζεται. τύπτω, ἔτυπτον· χρονικῶς δὲ, ἐπὶ τὸ αὐξανόμενον αὐτὸ ἀρκτικὸν φωνῆεν. ἀκούω, ἤκουον. Τῶν δὲ μελλόντων, ὁ μὲν ἐνεργητικὸς παροξυτόνως ὁ πρῶτος τύψω, περισπωμένως δ' ἔτοι ὁ δεύτερος, τυπῶ. ὁ δὲ παθητικὸς προπαροξυτόνως, τυφθήσομαι. καὶ τῶν μέσων δὲ ὁ πρῶτος ὁμοίως τύψομαι. ὁ δεύτερος δὲ προπερισπωμένως. τυποῦμαι. ἐξαιρείσθω τὰ τεταρτόζυγα. τούτων γὰρ ἴδιον τὸ τὸν μὲν ἐνεργητικὸν πρῶτον περισπᾶσθαι. ψαλῶ. τὸν δὲ μέσον ἀπροπερισπᾶσθαι. ψαλοῦμαι. Τῶν δὲ ἀορίστων, ὁ μὲν ἐνεργητικὸς προπαροξυτόνως, εἰ ἐγχωρεῖ. εἰ δὲ μὴ, παροξυτόνως γε. ἔτυψα. ἔθην, ὁ δὲ μέσος καὶ ὁ παθητικὸς, παροξυτόνως. ἐτυψάμην, ἐτύφθην.

Καθόλου δὲ ὁ μὲν παρακείμενος προπαροξυτόνως. ὁ δὲ ὑπερσυντέλικος παροξυτόνως. Ἐν δὲ συνθέ-

ληκτὰ ὀξύτονα, φυλάσσει. ἀσπαπών. εἰ ἢ δ᾽ αὖ ταῦτα καὶ ὡς πολυεκτικὰ καὶ τὰ μονοσύλλαβα. τρών.

Τ ά γε μὴν ἄλλως ὀξύτονα θηλυκὰ εἰς τὸ βραχὺ μεταβάλλει. τρυγὼν, τρυγόνος. Ἔτι τὰ εἰς ων καθαρὸν βαρύτονα τῷ α παραλήγοντα, συστέλλεται. ποσειδάονος. μαχάονος. καὶ ὅλως τὰ εἰς ων καθαροκατάληκτα, ἢν μακρῷ παραλήγῃ διχρόνῳ εἰς τὸ βραχὺ τρέπεται ο, ἰξίονος. καὶ πολυκτίων δὲ, καίτοι βραχεία παραλήγον.

Κ αὶ τὰ συγκριτικὰ πάντα. κρείττονος. βελτίονος: τὰ δὲ βραχυπαραληκτοῦντα, τὸ μακρὸν σώζει. εὐρυτίωνος. Ἔτι τὰ εἰς ων παραλήγοντα τῷ υ, ὀξύτονα μὲν, συστέλλεται. ἀμφικτυὼν, ἀλεκτρυὼν. παροξύτονα δὲ, οὔ. ἀμφιτρύων, ἀλεκτρύων.

Ε τι τὰ παραλήγοντα τῷ η. εἴτε ὀξύτονα εἴτε παροξύτονα. σαρπηδών. παιήων. Καὶ τὰ ἐθνικὰ πλὴν τοῦ καύκων. μάκων. λάκων. καὶ τὰ δύο σύμφωνα διάφορα ἔχοντα. λυκόφρων. ἐνοσίχθων.

Ε τι τῶν εἰς ωρ βαρυτόνων ὅσα μὲν ἔχει τὸ λ. ἢ τὸ μ, ἑκατοσυλλαβοῦν. μακρὸν αὐτὸ φυλάττει τὸ ω. καὶ ἐπὶ τῆς γενικῆς. ἕλωρος. τέκμωρος. ὅσα δὲ μὴ, εἰς τὸ βραχὺ τρέποντα κλίνεται. νέστορος.

Ε τι τὰ εἰς ως κλινόμενα, ἢ τῷ καθαρῷ ἢ τὸ τ, τὸ μακρὸν σώζει ἥρωος, ἱδρῶτος. Τά γε μὴν εἰς ο+ ὡς ἐπὶ τῆς εὐθείας, οὕτω καὶ ἐπὶ τῆς γενικῆς ἔχει.

Τόνος ῥήματος ἐνεστώς.

Τ ῶν δὲ εἰς ω ῥημάτων χρονικῶς μὲν κλινομένων, κοι

νον. Τὸ δὲ ω. ὅσα μὲν τῶν εἰς ων ἀρσενικῶν βαρυτόνων παρώνυμα μακρὸν οὕτω, φυλάττει καὶ ἐπὶ γενικῆς. καὶ ἐπὶ τῶν ἄλλων πταγίων. θέων, θέωνος. Ὅσα δὲ ῥηματικὰ ἢ κοινὰ τῷ γένει, μεταβάλλει εἰς τὸ βραχύ. φιλήμων. φιλήμονος. σώφρων. σώφρονος. φυλάττει δὲ τὸ μακρὸν καὶ τὰ κτητικά. καὶ τὰ ὡς περιεκτικά. ἐλαιῶνος. ἀγκῶνος. Καὶ τὰ ἐκ συναιρέσεως. ποσειδῶνος ξενοφῶντος. καὶ τὰ βαρύτονα θηλυκά. μήκων, μήκωνος. Καὶ ὀξύτονα δὲ πόλεων ὀνόματα ὄντα φυλάττει. σιδών, σιδῶνος. πλὴν τοῦ καλχηδόνος. καὶ ὁλοοσσόνος. Ἐπὶ τὰ εἴς τι τῶν μέσων συμφώνων ἐσχατοσυλλαβοῦντα. τρίβων. στράγων. κώδων. πλὴν τοῦ σηπεδών, καὶ μακεδών, καὶ ὅλως τῶν ῥηματικῶν τε καὶ ἐθνικῶν καὶ κοινῶν τῷ γένει.

Ἐπὶ τὰ εἴς τι τῶν ψιλῶν, λάκων, στίλπων, πλάτων. πλὴν τοῦ πέπων. Ἐπὶ τὰ εἴς τι τῶν δασέων καθαρόν. κρίθων. τρύφων, γλίχων. Ἐπὶ τὰ εἴς τι τῶν ἀμεταβόλων καθαρόν. ἅλων. σόλων, ἀπόλλων, ἄμμων, ζήνων, τήρων. ἐξαιρείσθω τὰ συγκριτικὰ καὶ ῥηματικὰ καὶ κοινὰ τῷ γένει. καὶ τὸ στήμων. καὶ τέλμων. καὶ στρυμών. Ἐπὶ τὰ εἰς σων, τὸ μακρὸν φυλάσσει. καύσων. βρύσων. πλὴν τοῦ ἰάσων καὶ ἀλίσων, ῥηματικὰ γάρ. Ἐπὶ τὰ τῇ αι ἢ τῷ ι παραλήγοντα καθαροκατάληκτα. αἰγαίων, αἰδροπίων. πυγμαλίων. ἴων. πλὴν τοῦ ἰξίων, ἀμφίων, ὑπερίων. πανδίων. Καθόλου δὲ τὰ καθαροκατά-

Ἔτι τὰ εἰς υνη δισύλλαβα μακροπαραληκτεῖ· μύνη, φρύνη· πλὴν τοῦ γύνη, τὰ δὲ ὑπὲρ τὴν δισυλλαβίαν, συστέλλεται· δικαιοσύνη, βριθοσύνη, κορύνη. Ἐπὶ δὲ τῆς γενικῆς καὶ τῶν ἄλλων πλαγίων οὐκ ἀεὶ τὰ δίχρονα οἷα ἐπὶ τῆς εὐθείας, ἀλλ᾽ ἔνια μὲν μακρὰ ὄντα συστέλλεται, ἔνια δὲ ἀνάπαλιν· οἷον τὰ εἰς ιξ· ἅπαντα μακρᾷ παραλήγει· καίτοι διφορούμενα ἐπ᾽ εὐθείας, ὡς εἴρηται· φοίνικος· κήρυκος. Ἔτι τὰ εἰς ις· ὀξύτονα θηλυκὰ δισύλλαβα τῷ δ κλινόμενα φύσει μακροπαράληκτα· καὶ μήτε ὑποκοριστικὰ, μήτε κύρια, ἐπὶ μὲν τῆς εὐθείας βραχὺ ἔχει τὸ ι, ἐπὶ δὲ τῆς γενικῆς φύσει μακρὸν, κνημῖδος, κληῖδος, βαλβῖδος, ἀπὸ γὰρ τοῦ βηλοῦ· τοὐναντίον δὲ τὰ εἰς ψ, βραχεῖα γὰρ, ἰπὸς, γυπὸς, ὥσπερ αὖ καὶ τὰ μονοσύλλαβα· μυὸς, δρυὸς, πλὴν τῶν δικαταλήκτων· καὶ τὸ φόρκυν δὲ καὶ πόλτυν, πλαγιαζόμενα ἐκτείνεται· καὶ μὲν δὴ καὶ τὰ τῶν συνθέτων τρισύλλαβα πάντα, βραχὺ τὸ ι σώζει· εἴτε μακρᾷ, εἴτε βραχείᾳ παραλήγουσαν τὴν εὐθεῖαν ἔχοντα· αὐλητρίδος· στρατηγίδος· τά γε μὴν παραλήγοντα καὶ ἅμα προπαραλήγοντα βραχείᾳ, ἐκτείνεται ἐπὶ τῆς γενικῆς· ὡς τὸ προκαμῖδος· ποιηταὶ δὲ καὶ τούτοις βραχὺ τὸ ι φυλάττουσιν· ἐπεντιθέντες τὸ η προταμνίδος· παγασπίδος·

Καθόλου δὲ πρὸ ἀμεταβόλου τοῦ σ ἐπιφερομένου μακρὸν τῶν διχρόνων οὐδὲν εὕρηται κείμε-

νός, θερινός· νυκτερινός. εὕρηται μὲν τοι καὶ ἐκτεινόμενα παρὰ τισι ταῦτα.

Βαρύτονα δ' ὄντα εἴτε δισύλλαβα εἴτε μὴ, μακρῷ παραλήγει. πλὴν τοῦ καρκίνος, καὶ αἶγος.

Ἔτι τὰ εἰς ινη. ὑπὲρ τρισύλλαβα μακρᾷ παραλήγει. ἡρωΐνη, μολιβδίνη. πλὴν τοῦ ἐλατίνη. καὶ τῶν ἀπὸ πόλεων. Ἔτι τὰ εἰς λος. εἴτε τὸ ι εἴτε τῷ υ βραχεία παραλήγει. Τά γε μὴν εἰς υλον οὐδέτερα μακροπαραληκτεῖ. σκῦλον. φῦλον. πλὴν τοῦ ξύλον. Ἔτι τὰ εἰς της εἴτε τῷ ι εἴτε τὸ υ, μακροπαραληκτεῖ. πολίτης. πρεσβύτης. πλὴν τοῦ κριτής. καὶ τῶν ἀπὸ τούτου. Ἔτι τὰ εἰς μος καθαρὸν δισύλλαβα τῷ υ παραλήγοντα, μακροπαραληκτεῖ. χυμός. θυμός. ὅλως τε τὰ ἀπὸ τοῦ πρώτου προσώπου τοῦ παθητικοῦ παρακειμένου ἀρσενικά, εἰς μος μακρὰν βούλεται ἔχειν τὴν παραλήγουσαν, ἤτοι φύσει ἢ θέσει. διὸ καὶ ἔστι μὲν οὗ προσλαμβάνοντα τὸ σ, μηκύνεται. δέδεμαι, δεσμός. ἔστι δ' οὗ αὐτὴν ἐκτείνει τὴν παραλήγουσαν ἀπὸ τὸ φύσει μακρὸν, τέθεμαι, θυμός. λέλυμαι, λυμός. ἔρρυμαι, ῥυμός. κέχυμαι. χυμός.

Ἔτι τὰ εἰς υνος δισύλλαβα μακροπαραληκτεῖ. φρῦνος. θῦνος. πλὴν τοῦ πυνός, καὶ ὑπὲρ δισύλλαβα δ' ὄντα μακρᾷ παραλήγει. κίνδυνος, αἴδυνος, πάχυνος. διὸ καὶ τὸ βόθυνος ἀναλόγως ἐκτείνουσιν οἱ ἀττικοί. τὸ δ' ἀνδρόγυνος, λάγυνος. καὶ τὰ ὅμοια, τὸν τοῦ γυνὴ ἔχει χρόνον.

φᾶρος. Ἐπὶ τὰ εἰς άριον ἐσχηματισμένα ὑποκοριστικὰ συνεσταλμένον ἔχει τὸ ᾱ. ἱππάριον. φυλλάριον. πλοιάριον. Ἐπὶ τὰ εἰς ρος καθαρὸν δισύλλαβα ἀρσενικὰ τῷ ᾱ παραλήγοντα, βραχυκαταληκτεῖ. ταρός, λάρος. Ἐπὶ τὸ πρὸ τοῦ τ ἰῶτα βραχὺ ἀρκτικὸν ὄν. ἴτυς. ἰτέα. ἰτρίον.

Τά γε μὴν εἰς ιτης σχηματιζόμενα μεσοσυλλαβοῦντος τοῦ ῑ καὶ παραλήγοντος μακροπαραληκτεῖ. πλὴν τῶν ἀπὸ ὀξυτόνων συνθέτων. δικαιοκρίτης γὰρ τῷ βραχεῖ. ὅτι ἀπὸ τοῦ κριτής.

Τὰ δὲ ἀπὸ ῥημάτων διφθογγογράφων γινόμενα διὰ τοῦ ῑ, βραχὺ τὸ ῑ ἔχει. εἰ δὲ σῖτος ἀπὸ τοῦ σείειν, οὐδὲ τοῦτο καθόλου. ἔστι γε μὴν ὡς ἐπιτοπλεῖστον τὰ ὀνόματα βραχύτερα τῶν ῥημάτων ἀφ' ὧν παράγονται. πείθω, πιθανός. λείχω, λιχανός.

Ἐπὶ τὰ εἰς ιος, εἴτε παροξύτονα. εἴτε προπαροξύτονα, βραχείᾳ παραλήγει. πλὴν τοῦ δῖος. κῖος. χῖος. πῖος. ἐκ συναιρέσεως ὄντων. Ἐπὶ τὰ εἰς ιον οὐδέτερα ὑποκοριστικὰ εἴτε παροξύτονα. εἴτε προπαροξύτονα, βραχείᾳ παραλήγει. θηρίον. γραμμάτιον. Ἐπὶ εἰς ας ἀρσενικὰ βαρύτονα τῷ ῑ παραλήγοντα βραχυπαραληκτεῖ. κοχλίας.

Ἐπὶ τὰ εἰς ιμος παράγωγα. ὑπερδισύλλαβα ἅπαντα συστέλλει τὸ ῑ. αἴθυμος. ἄλκιμος. κύδιμος. πρώϊμος. τὸ δ' ἄτιμος. βούλιμος. ἴφθιμος. σύνθετα.

Ἐπὶ τὰ εἰς ινος ὑπερδισύλλαβα ὀξύτονα καιροῦ τε καὶ ὥρας ὀνοματικά, βραχυπαραληκτεῖ. ἐαριν-

λέγεται, ὅτι αἱ μὲν εἰς αι λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν ἐκτείνουσι τὸ α τῶν αἰτιατικῶν. αἱ δὲ εἰς ες, συστέλλουσιν. Ἡ δὲ κλητική, ὡς εἴρηται.

Ἐπὶ τοὺς ἀριστικούς τε τῶν χρόνων καὶ παραλήγοντας καὶ ὅλως μεταξὺ ὄντας θεωροῦντες ὁμοίως λέγομεν· ὅτι τὸ στερητικὸν α βραχύ. εἰ μὴ διὰ μέτρον μηκύνοιτο οἷον καὶ τὸ ἀθάνατος.

Ἐπὶ τὸ α πρὸ τοῦ β καὶ μ. συστέλλεται ἄβυδος, ἄμαλλα. πλὴν τοῦ ἀμητός. Καθόλου δὲ πᾶν δίχρονον ἐκ κράσεως ὂν ἐκτείνεται. μήτι ἱρὸς. ἵρηξ. εὐκλεᾶ τὸ δὲ δυσκλέα καὶ νηλέα, οὐ κατὰ κρᾶσιν, ἀλλ᾽ ἐξαιρέσει τοῦ ε. Ἐπὶ τὰ εἰς ος καθαρὸν ὀξύτονα, τῷ α παραλήγοντα, μακροπαραληκτεῖ. καὶ ὅλως τὰ διχρόνῳ παραλήγοντα, οὕτως. ναὸς, κριός, ἰὸς, πλὴν τοῦ βίος. Ἐπὶ τὰ εἰς μα καθαρὸν, οὐδέτερα φύσει μακρᾷ μάλιστα παραλήγει, ἄλλως τε καὶ σύστοιχα ὄντα, τῶν ἀπὸ τοῦ παρακειμένου εἰς μος ἀρσενικῶν. οἷον θῦμα. ῥῦμα. λῦμα. χῦμα. ἐξαιρείσθω τὰ ἀπὸ τῶν εἰς μι θέμα. δόμα. καὶ πρὸς τούτοις τὸ στόμα, ἀνάπαλιν δὲ τὰ εἰς μα μὴ καθαρόν. φύσει γὰρ βραχεῖα τὰ πολλά. δόγμα. βρέγμα. Τά γε μὴν εἰς ον συγκριτικά, οὐδέποτε φύσει μακρῷ παραλήγει διχρόνῳ. πλὴν τοῦ θᾶττον. Τὰ μέντοι εἰς ων καθαρὸν συγκριτικὰ μακρὰν ἔχει τὴν παραλήγουσαν βελτίων.

Ἐπὶ τὰ εἰς ος δισύλλαβα οὐδέτερα τῷ α παραλήγοντα, βραχυπαραληκτεῖ. χάος, φάος. πλὴν τοῦ

διφθόγγου μόνῳ· αἰνείας, αἰνείᾳ. ἢ καὶ μείζονι, λό-
γος, λόγῳ. τῶν δὲ περιττοσυλλάβων, ἀεὶ βραχυ-
καταληκτεῖ. τὸ δὲ θέτι καὶ μήτι, ἐκ συναιρέσεως.

Η δὲ αἰτιατική. τῶν μὲν ἰσοσυλλάβων, ὁμόχρονος τῇ εὐθείᾳ. αἰνείας, αἰνείαν. τῶν δὲ περιττοσυλλάβων, ὁμόχρονος τῇ γενικῇ. αἴαντος, αἴαντα. ὅθεν δὴ καὶ ἀθηναῖοι ὅτι πηλέως καὶ ἀχιλλέως μακρογραφοῦσι, μακρὸν λαμβάνουσι τὸ α τῆς αἰτιατικῆς τῆς εἰς ευς, ἵνα ἰσόχρονος τῇ γενικῇ ᾖ. καὶ μὴν δὲ τόδ' ὀρκα τόνδε πηλέα πέλας. Κλητικὴ δὲ πᾶσα τὸν ἴσον χρόνον τῇ ἰδίᾳ εὐθείᾳ ἔχει, ἢ καὶ ἐλάττω. μείζω δὲ, οὐδέποτε. διὸ καὶ τὰ εἰς ἀμφίβολον λήγοντα βαρύτονα ἀποβάλλοντα τῆς γενικῆς τὴν ἐσχάτην, ποιεῖ τὴν κλητικήν. νέστορος, νέστορ. ἄρσενος ἄρσεν. μαχάονος, μαχάον. πλὴν τοῦ ἄπολλον. πόσειδον. Η δὲ εὐθεῖα τῶν δυϊκῶν καὶ πληθυντικῶν, τῶν μὲν ἰσοσυλλάβων μακροκαταληκτεῖ.

Η γενικὴ δὲ μακροκαταληκτεῖ. τῶν μὲν δυϊκῶν, τῇ αι ἢ τῇ οι διφθόγγῳ. τῶν δὲ πληθυντικῶν, τῷ ω.

Η δὲ πληθυντικὴ δοτικὴ, τῶν μὲν ἰσοσυλλάβων μακροκαταληκτεῖ τῇ διφθόγγῳ. τῶν δὲ περιττοσυλλάβων, βραχυκαταληκτεῖ τῷ ι. ὅλως δὲ τὴν παραλήγουσαν ἰσοχρονεῖ ταῖς ἄλλαις πλαγίαις. ἐνίοτε δὲ καὶ μείζω ἔχει τὸν χρόνον. ὡς ἐπὶ τοῦ λέοντος, λέουσι. καὶ λέγοντος, λέγουσι. Η δ' αἰτιατικὴ τῶν μὲν ἰσοσυλλάβων μακροκαταληκτεῖ ἀεί. τῶν δὲ περιττοσυλλάβων, βραχυκαταληκτεῖ, διὸ καὶ

ρον δὲ τὰ εἰς ξ ὑπὲρ μίαν συλλαβὴν δίχρονον πρὸ τοῦ ξ ἔχοντα, ἀρσενικὰ μὲν ὄντα μακρὸν αὐτὸ ἔχει· θώραξ, φοίνιξ, κήρυξ, ἥλιξ· θηλυκὰ δὲ, βραχὺ αὖλαξ, κύλιξ, ἄντυξ· πέρδιξ. Τὰ δὲ μονοσύλλαβα, ἀεὶ συστέλλεται φρύξ. Τὰ δὲ εἰς ις βαρύτονα εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ, βραχυκαταληκτεῖ· τὸ ὄρνις ἐκτείνουσιν οἱ ἀττικοὶ καὶ τὸ δελφίς, καὶ τὰ ὅμοια σύνθετα, καὶ ὀξύτονα δὲ θηλυκὰ ὄντα τῷ δ κλινόμενα, βραχυκαταληκτεῖ· κεραμὶς, πινακὶς, θυρὶς, ψηφὶς, κρηπὶς, αὐλητρὶς, πριαμίς. Ἐπὶ τὰ εἰς σ λήγοντα μετὰ διχρόνου καὶ ἀποβολῇ τοῦ σ προϊόντα οὐδέτερον, ὥσπερ σταλμένον ἔχει τὸ δίχρονον· ἡδὺς, ἡδύ, μέγας, μέγα.

Ἔτι τὰ εἰς υ βαρύτονα εἴτε μονογενῆ, εἴτε τριγενῆ βραχυκαταληκτεῖ· βότρυς· πῆχυς· ἄδακρυς.

Τὰ δὲ εἰς υς μονοσύλλαβα καὶ μὴ, ἐὰν ὀξύτονα ᾖ, μακροκαταληκτεῖ· σῦς· μῦς· δρῦς· ὀφρῦς. Ἔτι πᾶν ἀρσενικὸν καὶ θηλυκὸν εἰς ἀμετάβολον λῆγον, μακροκαταληκτεῖ, πλὴν τοῦ μάκαρ· καὶ δάμαρ· ἔτι τὰ εἰς ψ λήγοντα μετὰ διχρόνου, μακροκαταληκτεῖ μετά γε μὴν τοῦ ο, βραχυκαταληκτεῖ· πλὴν τοῦ ἀπὸ τοῦ ὦπα· τοῦ σημαίνοντος τὸν ὀφθαλμόν· οἷον κύκλωψ ἐξαιρείσθω τὸ κέρκωψ· καὶ κώνωψ, καὶ ῥώψ.

Ἡ δὲ γενικὴ ἰσοσυλλαβοῦσα μὲν τῇ εὐθείᾳ μακροκαταληκτεῖ· περιττοσυλλαβοῦσα δὲ, βραχυκαταληκτεῖ· ἡ δὲ δοτικὴ τῶν μὲν ἰσοσυλλάβων ἀεὶ μακροκαταληκτεῖ· ἤτοι γὰρ τῷ τῆς εὐθείας φωνήεντι

ξυνόμενον μὲν ἐκτείνει τὸ ᾱ. ἀρά. χαρά. παροξυνόμενον δὲ ἢ προπερισπώμενον, συστέλλει. ὀμόνοια. μοῦσα. εἰ δὲ ἀρσενικὸν ἔχει, τῷ τέλει τῆς γενικῆς τοῦ ἀρσενικοῦ ὁμοχρονεῖ. θεῖος. θείου. θεία. ἡδύς, ἡδέος, ἡδεῖα. πλὴν τοῦ δῖα. εἰ δὲ ἀπὸ τῶν εἰς ω ῥημάτων γίνεται, μακροκαταληκτεῖ. πρεσβεύω πρεσβεία. ὅσα δὲ καθαρὸν ἔχοντα τὸ ᾱ, τῇ αι παραλήγει διφθόγγῳ. δισύλλαβα μὲν ὄντα βραχυκαταληκτεῖ. μαῖα. ὑπὲρ δισύλλαβα δὲ μακροκαταληκτεῖ, σεληναία. λήγοντα δὲ εἰς ρα, εἰ μὲν, μονοφθόγγῳ παραλήγει μακροκαταληκτεῖ, πήρα. εἰ δὲ διφθόγγῳ, βραχυκαταληκτεῖ. μοῖρα. πλὴν τοῦ φαῖδρα. σαύρα. αὔρα. τὰ δὲ εἰς δᾱ, καὶ εἰς θᾱ, μακροκαταληκτεῖ. λήδα. κισσαίθα. τὰ δ' ἄλλα πάντα, βραχυκαταληκτεῖ.

Τ ὰ δὲ εἰς ος ἀρσενικὰ καὶ θηλυκὰ καὶ τὰ εἰς ον οὐδέτερα, κοινὰ μὲν ὄντα βραχυκαταληκτεῖ, ἀττικὰ δὲ μακροκαταληκτεῖ. Ἐπὶ τὰ εἰς μᾱ λήγοντα, οὐδέτερα ἀπαθῆ, βραχυκαταληκτεῖ. καὶ ὅλως τὰ διχρονοκατάληκτα οὐδέτερα συνεσταλμένον ἔχει τὸ δίχρονον. Ἐπὶ τὰ εἰς ᾱς οὐδέτερα βραχυκαταληκτεῖ. Ἐπὶ τὰ εἰς ᾱς ὀξύτονα βραχυκαταληκτεῖ ἀρκάς, ἑβδάς, πλὴν τοῦ ἱμάς. ἀνδριάς. καὶ ὅσα ἀπὸ τοῦ κεκρᾶσθαι.

Τ ὰ δὲ εἰς αξ ἀρσενικὰ μὲν ὄντα, μακροκαταληκτεῖ. θώραξ. πλὴν τοῦ ἄραξ. ὄρτυξ. ὄνυξ. θηλυκὰ δὲ ὄντα βραχυκαταληκτεῖ. αὖλαξ. πίδαξ. κοινότε

δάδων φῴδων. Ὑπὲρ δύο δὲ συλλαβὰς ὄντα παροξύνεται· Αἴαντες, Αἰάντων. τὸ δὲ λέξεων. καὶ τὰ ὅμοια, ἀττικῶς. Ἡ δὲ τῶν τριτοκλίτων. καὶ τεταρτοκλίτων, ὁμοτονεῖ τῇ τῶν ἑνικῶν γενικῇ. καὶ περισπᾶται δὲ ἀπὸ τῆς ληγούσης ἔχουσα τὸν τόνον.

Καθόλου γὰρ πᾶσα γενικὴ μακροκατάληκτος, ἀπὸ τῆς μακρᾶς ἔχουσα τὸν τόνον, περισπᾶται. ἥγε μὴν τῶν ἀττικῶν, λεώ. καὶ νεὼ, ὀξύνεται.

Τὸ γὰρ πτωτικὸν τελικὸν ω̃, περισπᾶσθαι οὐκ ἐθέλει. Τὸ δὲ προσειδῶ, καὶ ἱδρῶ, καὶ κυκεῶ, περισπᾶται· ὡς ἐξ ἀποκοπῆς ὄντα. Ἡ δὲ δοτικὴ, τῶν ἑνικῶν δοτικῇ ὁμοτονεῖ. πλὴν τῆς πᾶσιν. ἐφ' ὧν δὲ τὸ α πλεονάζει, ἀπὸ τῆς παραληγούσης ὁ τόνος. μητράσι. θυγατράσιν. Αἱ δὲ μεταπεπλασμέναι τῶν δοτικῶν προπαροξύνονται. πρόβασιν. ἄστρασιν. ἔγκασιν. Τῇ δὲ αἰτιατικῇ ἀπὸ τῆς αὐτῆς ὁ τόνος, ἐφ' ἧς καὶ τῇ εὐθείᾳ. πλὴν ἔνθα μακρὰ λήγουσα κωλύει. ἐνταῦθα γὰρ ἀπὸ τῆς ἑπομένης ὁ τόνος. οἱ δίκαιοι τοὺς δικαίους. Καὶ ἡ κλητικὴ, τῇ εὐθείᾳ ὁμοίως.

Χρῆσις χρόνων ἐφ' ἑκάστης τῶν πτώσεων.

Ληπτέον δὲ καὶ τοὺς τελικούς τε καὶ κλιτικοὺς τῶν χρόνων ὁμοίως ἐφ' ἑκάστης τῶν πτώσεών τε καὶ κλίσεων. ἐπ' εὐθείας μὲν οὖν ὧδε. Τὰ εἰς ας ἀρσενικὰ βαρύτονα, ἐκτείνεται· Αἴας. Αἰνείας. πλὴν τοῦ μέγας, καὶ λάας. Τὸ δὲ θηλυκὸν εἰς α λῆγον, ὀξυ-

εὐθεία τῶν ἑνικῶν ἔχει τὸν τόνον. αἴας, αἴαντος. πόρσης, πόρσα. ἵππος, ἵππῳ. Ἡ δὲ γενικὴ ἐπὶ τῶν πεμπτοκλίτων μόνων τῇ γενικῇ τῶν πληθυντικῶν. ἕπεται. αἰάντοιν, αἰάντων. πλὴν τοῦ χεροῖν, παιδοῖν. μηκέοιν. ἐπὶ δὲ τῶν ἄλλων ἁπάντων, τῇ ἰδίᾳ εὐθείᾳ ὁμοτονεῖ. αἰνεία, αἰνείαιν. τιμὰ, τιμαῖν. λόγω, λόγοιν. μενέλεω, μενέλεων. Ἡ δὲ κλητικὴ τῇ εὐθείᾳ ὁμοίως. Ἡ δὲ εὐθεία τῶν πληθυντικῶν ὁμοτόνως ἔχει τῇ εὐθείᾳ τῶν ἑνικῶν. λίθος, λίθοι. χρυσὸς, χρυσοί. πλὴν τῶν εὐθυλεκτουμένων θηλυκῶν παρεσχηματισμένων ἀρσενικοῖς. ταῦτα γὰρ τῷ ἀρσενικῷ ὁμοτονεῖ. λίθινος, λίθιναι. ὅθεν δὴ καὶ ἡμέρα μὲν, ἡμέραι δὲ προπαροξυτόνως. ἀκολουθεῖ γὰρ ἀεὶ τὰ θηλυκὰ τοῖς ἀρσενικοῖς ὡς εἴρηται.

Ἡ δὲ γενικὴ τῶν μὲν πρωτοκλίτων καὶ δευτεροκλίτων, περισπᾶται. ὀρέσται, ὀρεστῶν. τιμαὶ, τιμῶν. πλὴν τῆς ἀφύων, καὶ ἐπὶ τῶν πρωτοκλίτων, χλήστων. χρούνων. ἐτησίων. Τά γε μὴν παρεσχηματισμένα ἀρσενικοῖς τῶν δευτεροκλίτων ὁμοτονεῖ κἀνταῦθα τῷ ἀρσενικῷ. ῥόδιος, ῥόδιαι, ῥοδίων. πλὴν τῆς παχειῶν, καὶ ὅλως τῶν ἀπὸ τῶν εἰς υς ἀρσενικῶν παρεσχηματισμένων. οὐ μὴν ἀλλὰ καὶ μέλαιναι, μελαινῶν, οὐ μελαίνων. καὶ ὅλως τὰ ἀπ' ἀρσενικῶν πεμπτοκλίτων. καὶ ἡ τῶν πεμπτοκλίτων δὲ δισυλλάβως εὐθυλεκτουμένων περισπᾶται μῆνες, μηνῶν. πλὴν τῶν δέκα ἐκείνων. παίτων. τρώων. δμώων. παίδων. φώτων. θώων. λάων. κρατῶν.

Ἡ δὲ δοτικὴ, καθόλου τὸν τῆς γενικῆς ἔχει τόνον, καὶ χρόνον. αἰνείου, αἰνείᾳ. μετὰ περισπωμένης δὲ, ἀεὶ προπαροξύνεται. δίχομηνι. πολυπάταγι. μελίκρατι.

Ἡ δὲ αἰτιατικὴ ἐπὶ τῆς αὐτῆς συλλαβῆς ἔχει τὸν τόνον, ἐφ' ἧς καὶ ἡ γενική. πλὴν τῶν περιττοκλίτων. ὧν ἡ γενικὴ δισύλλαβος εἰς ος.

Ἐπὶ τούτων γὰρ ἀνάγκη τὰς μὲν γενικὰς ὀξύνεσθαι. διός. βοός. τὰς δὲ αἰτιατικὰς παροξύνεσθαι. τὸν βόα. τὸν δία. ἐξαιρείσθω τὸ θύγατρα. πεπονθὸς γὰρ, καὶ τὸ ἄνδρα ὁμοίως. καὶ τὸ γυναῖκα. καὶ περισπῶνται δὲ αἱ μονοσύλλαβοι αἰτιατικαὶ εἰς ν λήγουσαι. κλεῖν. λῖν. μῦν. σῦν. Ἡ δὲ κλητικὴ, ἐπὶ τῆς αὐτῆς ἔχει τὸν τόνον. ἐφ' ἧς καὶ ἡ εὐθεῖα. πλὴν τῶν περιττοκλίτων εἰς ης συνθέτων κυρίων βαρυτόνων ἢ καὶ περισπωμένων ἐκ συναιρέσεως. ἐπὶ τούτων γὰρ ἀναβιβάζεται ὁ τόνος. ὁ δημοσθένης, ὦ δημόσθενες. ὁ ἡρακλῆς, ὦ ἡράκλεες, ἡράκλεις κατὰ συναίρεσιν. τοιοῦτο καὶ τὸ σοφόκλεις, περίκλεις.

Καὶ τὰ εἰς ων δὲ σύνθετα ἐὰν εἰς ον βραχὺ ἡ κλητικὴ, ἀναβιβάζει τὸν τόνον ἀγάμεμνον. κακόδαιμον. πλὴν τῶν ἀπὸ φρὴν. καὶ γὰρ, ὦ δαΐφρον, καὶ περίφρον, παροξυτόνως. ἐξαιρείσθω τὸ λακεδαῖμον, καὶ τὸ παλαῖμον, προπερισπώμενα.

Ἐπὶ τὰ εἰς ηρ, ὧν ἡ κλητικὴ εἰς ερ, ἀναβιβάζει. θύγατερ. εἴνατερ, δήμητερ. ἆνερ. σῶτερ. ἐξαιρείσθω καὶ τὸ δέσποτα. μητίετα. ἀκάκητα. εὐρύοπα.

Ἡ δὲ εὐθεῖα τῶν δυϊκῶν, ἐπὶ τῆς αὐτῆς συλλαβῆς τῇ

πτώσει ἀσυναιρέτῳ ὁμοφωνεῖ. οἷον τὴν λητόα καὶ λητώ. πᾶσα γὰρ πτῶσις ἑτέρᾳ ὁμοφωνήσασα πτώσει, καὶ τὸν τόνον αὐτῆς ἔχει καὶ τὸν χρόνον. οὐκοῦν καὶ σαπφόα καὶ σαπφώ, ὀξυτόνως. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. τὸ δὲ δημοσθένης οὐκ ἐξ ὀξείας καὶ βαρείας. τοιοῦτο δὲ καὶ τὸ παιδὸς. καὶ δύγηρως. Περὶ δὲ τοῦ χρυσοῦς, καὶ χαλκοῦς καὶ τῶν τοιούτων, σκεπτέων. πολυειδὴς γε μὴν καὶ ἀόριστος τὰ πολλὰ τῆς εὐθείας ὁ τόνος. καὶ ἥκιστα ταύτων δι' ἀκριβείας οἷόν τε τύπους κοινοὺς, περὶ τούτου λαβεῖν. ὅπερ δὴ καὶ τὸ τὴν φωνὴν ταὐτὸ διαφόρως τονίσαι ἐξῆν, πρὸς σημασίαν διάφορον. οἷον, βίος, βιός. πονηρὸς, πόνηρος. λαοτρόφος, λαότροφος. ἁρπαγή, ἁρπάγη. ἐνναετὴς, ἐνναέτης.

Η δὲ γενικὴ ἀπαθὴς οὖσα, καὶ μὴ εἰς ος δισύλλαβος, ἐπὶ τῆς αὐτῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς καὶ ἡ εὐθεῖα, εἰ μὴ μακρὰ λήγουσα κωλύοι. μακρᾶς γὰρ οὔσης ἐπὶ τέλους, οὐ δύναται προπαροξυνθῆναι λέξις. δίκαιος ἄρα δικαίου. λόγος δὲ λόγου. καὶ ἀγαθὸς, ἀγαθοῦ. ἐξαιρείσθω τὸ μητέρος, καὶ θυγατέρος. καὶ γυναικός. αἵ γε μὴν εἰς ος δισύλλαβοι, ὀξύνονται. βοός. γραός. ἡ δὲ λᾶος, κατὰ συναίρεσιν ἐκ τρισυλλάβου τῆς λάος. καὶ ἡ κῆρος, καὶ ἦρος ὁμοίως ἐκ τῆς κέαρος, καὶ ἔαρος. τὸ δὲ μᾶς, ἰωνικὴν ἔχει τὴν τάσιν. ἐπὶ μέντοι τῶν μετοχῶν, καὶ αἱ εἰς ος δισύλλαβοι, βαρύνονται. βάντος, στάντος.

Τὰ δὲ εἰς ις ὑπερδισύλλαβα τῶν διὰ κλινόμενα ἢ τ, προπαροξύνεται· ἄδωνις. εὔπολις. εὔχαρις. ἔπηλις. καὶ ὅλως τὰ ἐκ δισυλλάβων περιττοκλίτων βαρυτόνων συντεθέντα ἀναβιβάζει τὸν τόνον. μῆτις. πολύμητις. Ἔτι τὰ ἐκ τῶν εἰς η θηλυκῶν συντιθέμενα ἀναβιβάζονται τὸν τόνον, προπαροξύνεται· ἀλκή, ἄναλκις· κνήμη, εὔκνημις. Τά γε μὴν ἀπὸ τῶν εἰς ης πρωτοκλίτων θηλυκὰ εἰς ις τῶν διὰ κλινόμενα, ἐπὶ τῆς αὐτῆς φυλάσσει τὸν τόνον, ἐφ᾽ ἧς τὸ ἀρσενικὸν ἔχει· στρατιώτης, στρατιῶτις.

Ἔτι τὰ πολλὰ τῶν ἀπὸ τῶν εἰς ης, εἰς εια, προπαροξύνεται· ἀσθενής, ἀσθένεια. Τὰ δὲ εἰς ᾶς καὶ εἰς ῦς καὶ εἰς οῦς μονοσύλλαβα, καὶ ὅλως τὰ ἆς ὅια ἅπαντα, περισπᾶται· πᾶς. μῦς. σῦς. δρῦς. βοῦς. τούτοις δ᾽ ἠκολούθησε καὶ τὸ ἰχθῦς καὶ ἀπφῦς, καὶ διογῦς, καὶ ὀσφῦς, καὶ ὀφρῦς. ἐξῃρείσθω τὸ πούς καὶ ὀδούς. Ἔτι ὅσα τῶν οὐδετέρων μονοσύλλαβα· πῦρ. πᾶν. σκῶρ. καὶ ὅσα εἰς ων συνῃρημένα· ποσειδῶν. ξενοφῶν. καὶ ὅλως τὰ ἐκ συναιρέσεως· παῖς. ῥοῦς. φθοῖς. πᾶσα γάρ τοι συναίρεσις ἐξ ὀξείας, καὶ βαρείας περισπωμένην ποιεῖ· ἑρμέας, ἑρμῆς· σημόεις, σημοῦς. ξενοφόων, ξενοφῶν. φάος, φῶς. βόαξ, βῶξ. κρέας, κρῆς. ὅθεν τινὲς καὶ τὸ ποδῆς εἶναι ἀξιοῦσι. ποδέας γάρ, ποδῆς, διὸ καὶ αἱ τῶν περιττοκλίτων συναιρούμεναι πτώσεις, περισπῶνται πᾶσαι. ἢν μὴ τοῦ συνῃρημένου ὁ τόνος ᾖ· λητόος, λητοῦς. πλὴν ἔνθα τὸ συναιρούμενον ἑτέρα

γῆς. Ἐπὶ τῶν εἰς ην· ὧν οὐκ ἔστι παρασχηματισμὸς οὐδετέρου, τὰ πολλὰ ἄπαντα ὄντα. αὐχήν· σωλήν. Ἐπὶ τὰ εἰς ηρ ὡς ἁπλῶς εἰπεῖν· σωτήρ· πατήρ, μήτηρ γε μὴν καὶ θυγάτηρ παροξυτόνως.

Ἐπὶ τὰ εἰς ιν δικατάληκτα ἄπαντα ὄντα ῥίν.

Ἐπὶ τὰ εἰς ις πατρωνυμικά· πριαμίς· ἢ καὶ ἀπὸ τῶν εἰς ος τριτοκλίτων ὄντα· δμῶος, δμωΐς· αἰχμάλωτος, αἰχμαλωτίς· λάλος, λαλίς.

Ἐπὶ τὰ εἰς υς τριγενῆ ἢ, τῶν δὲ κλινόμενα ἢ μακροκατάληκτα· ἡδύς· χλαμύς· πληθύς· τἄλλα δὲ παροξυτόνως. Ἐπὶ τὰ εἰς ων περιεκτικά, ἢ ὡς περιεκτικά· κοιτών· ἀπατεών. Ἐπὶ τὰ εἰς ω καὶ εἰς ως θηλυκά· λητώ· αἰδώς.

Ἐπὶ τὰ εἰς ευς ἀχιλλεύς· πηλεύς· δωριεῖς μέντοι, καὶ ταῦτα παροξύνουσιν ἀχίλλευς· πήλευς.

Τὰ δὲ εἰς αι σύνθετα παροξύνονται ἑρμόπαι.

Ἐπὶ τὰ εἰς ας δισύλλαβα· αἴας· κάλχας, ἄτλας.

Ἐπὶ τὰ εἰς ας οὐδέτερα· κρέας· κέρας.

Ἐπὶ τὰ εἰς αξ, καὶ ὅλως τὰ εἰς ξ λήγοντα ἄπαντα ὑπὲρ μίαν συλλαβὴν ἅρπαξ· πέρδιξ.

Ἐπὶ τὰ εἰς ιν σύνθετα ἢ ὧν οὐδετέρου παρασχηματισμὸς εἰς εν, ὀριαόχην· εὔριν· τέριν.

Ἐπὶ τὰ εἰς ης ἀπὸ τῶν εἰς ος οὐδετέρων σύνθετα κύρια· καὶ εἰς ις προσηγορικὰ καὶ κύρια ἄπαντα δισύλλαβα βραχυπαράληκτα· δημοσθένης· ὄφις· πάρις. Ἐπὶ τῶν εἰς ων ἀπαθὲς τὰ κύρια καὶ ἐπίθετα καὶ ἐθνικά· θέων· εὐδαίμων· τεύτων.

Τὰ δὲ

γως. ὥσπερ ἄρα καὶ τὰ ἐκ τοῦ πωλῶ μετὰ μὲν προθέσεως προπαροξύνεται. πρόπολος. ἀμφίπολος. μεθ' ἑτέρου δὲ παροξύνεται. ὀνδροπόλος. θυηπόλος. παροξύνεται δὲ τὰ πολλὰ τῶν δισυλλάβων προστηγορικῶν. λόγος. ὥσπερ ἄρα ὀξύτονα τὰ πολλὰ τῶν δισυλλάβων ἐπιθέτων. χρηστός. δεινός. τά γε μὴν δισύλλαβα τῶν ἐρωτηματικῶν, ποῖος. πόσος. ἀοριστούμενα ὀξύνεται ποιός. ποσός.

Καθόλου δὲ τὰ ἀπὸ παρακειμένου παθητικοῦ τῶν τριτοπροσώπων, ὀξύνεται. ἐπαινετός. θεατός. ἀροτός. τρυγητός. καὶ εἴ τι δὲ τῶν ὀξυτονουμένων ἔκθλιψιν πάθοι, ὁ αὐτὸς τόνος φυλάττεται ἀναβιβαζόμενος δεῖνα δ' εἶν' ἔπει πείλ.

Τεταρτόκλιτα.

Τῶν δὲ τεταρτοκλίτων ἀττικῶν ὑπὲρ δισυλλάβων. προπαροξύτονος ἀεὶ ἡ εὐθεῖα. καίτοι μακροκατάληκτος οὖσα. ἀττικῶν δὲ τὸ τοιοῦτο. μενέλεως εὔγεων. τὰ δὲ δωρικῶς ἀφαιρέσει τοῦ σ κλινόμενα διφορεῖται. τὰ μὲν γὰρ βαρύτονα διώνδας. τὰ δὲ περισπώμενα. ποδῆς. καὶ προπερισπώμενα δὲ ἐν τὸ ἄλλας.

Πεμπτόκλιτα.

Τῶν δὲ πεμπτοκλίτων τὰ μὲν εἰς αν ἅπαντα ὀξυτονεῖται ἐπ' εὐθείας πάντα. πᾶν. πλὴν τοῦ ἀπὸ τοῦ πᾶς. πᾶν. Ετι τὰ εἰς ας θηλυκὰ καὶ ὅλως τῷ δ κλινόμενα. τριάς. ἀρκάς. Ετι τὰ εἰς αυς καὶ αιξ μονοσύλλαβα ἀπαθῆ. ναῦς. γραῦς. αἴξ. Ετι τὰ εἰς ης τῷ καθαρῷ κλινόμενα, ἐπίθετα, εὐγε-

γρύσης ὁ τόνος ὡς ἀπὸ τοπολὺ μακρᾶς οὔσης. μοῦ/σα. χώρα. Τὰ δὲ εἰς η καθαρὸν, δισύλλαβα τῷ ο παραλήγοντα, οἷς προηγεῖται δασὺ, βαρύνεται ὡς ἀπὸ τὸ πλεῖστον, χνόη. φθόη. χλόη. καθόλου γε μὴν τοῖς ἀρσενικοῖς τὰ θηλυκὰ ἕπεται. ὥς τε καὶ σκεπτέον. ἔτι τῶν θηλυκῶν τριγενὲς. τὸ μὲν γὰρ θεία βαρύτονα. ὅτι καὶ τὸ θεῖος. τὸ δὲ καλὴ καὶ ἀγαθὴ ὀξύτονον, ὅτι τὸ καλὸς καὶ ἀγαθός.

Τριτόκλιτα.

Καὶ τῶν τριτοκλίτων δὲ τὰ μὲν, ὀξύτονα. χρηστός. τὰ δὲ παροξύτονα, λόγος. τὰ δὲ προπαροξύτονα δίκαιος. ὅσον, τῶν κτητικῶν, τὰ μὲν εἰς κον ὀξύτονα πάντα, ἀττικόν. τὰ δὲ, εἰς ειον προπαροξύτονα, αἰγύπτειον. καὶ τὰ ἀπὸ τόπων δὲ παρωνομασμένα εἰς ιον, προπαροξύτονα οὐράνιον. καὶ τῶν μετουσιαστικῶν, τὰ εἰς νον, λίθινον. καὶ τὰ ἀπὸ παρακειμένου παθητικοῦ τῶν τετραζύγων εἴτε κύρια, εἴτε ἐπίθετα, ἄφαντος. διόφαντος. ἄψαλτος. ἄσπαρτος. καὶ τὰ ὡς μετουσιαστικὰ συνθέσει τῆς εν λεγόμενα, ἔμμουσον. ἔμμετρον. καὶ ὅλως τὰ σύνθετα ὡς ἀπὸ τοπολὺ ἔνθυμον. παραπλήσιον. καὶ ἁπλῶς τὰ τροχαϊκὰ ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον. δοῦλος, σύνδουλος. ὥρα, πρόωρος. καὶ τὰ ἀπὸ τοῦ κτείνω σύνθετα παθητικὰ. ξιφόκτονος. λυκόκτονος. ἐνεργητικὰ δὲ παροξύνεται ξιφοκτόνος. λυκοκτόνος. ὡσαύτως δὲ καὶ τὰ ἀπὸ τοῦ τρέφω λαότροφος μὲν. λαοτρόφος δὲ παροξυτό/

τοι τῶν φωνηέντων ἀρκτικὸν ὄν, ἢ δασύνεται, ἢ ψιλοῦται, ἐπὶ τίνων δὲ πρότερον, ὕστερον ἐροῦμεν.

Περὶ χρήσεως τόνων ἐφ' ἑκάστης.

Τῶν πτώσεων.

Νῦν δὲ τὴν τῶν τόνων καὶ χρόνων χρῆσιν ὅπως ἔχει περὶ τὰ διῃρημένα μόρια τοῦ λόγου θεωρῶμεν. λαβόντες πάλιν τῶν ὀνομάτων τὰ μὲν, πρωτόκλιτα. τὰ δὲ, δευτερόκλιτα. τὰ δὲ, τριτόκλιτα. τὰ δὲ, τεταρτόκλιτα. τὰ δὲ, πεμπτόκλιτα. καὶ τῶν ῥημάτων δὲ ὁμοίως. τὰ μὲν, πρωτόζυγα. τὰ δὲ δευτερόζυγα. τὰ δὲ, τριτόζυγα. τὰ δὲ, τεταρτόζυγα. τὰ δὲ, πεμπτόζυγα. καὶ τὰ μὲν ὀνόματα εἰς πτώσεις κλινόμενα τὰ δὲ ῥήματα εἰς χρόνους καθάπερ, διαιροῦντες ὀνομάζομεν πρότερον.

Εὐθεῖα ἑνικῶν.

Κοινὸν μὲν οὖν τῶν ὀνομάτων, ἁπάντων πρὸ τὴν εὐθεῖαν μὴ ἐκ συναιρέσεως οὖσαν ὀξύνεσθαι. ἀλλ' ἐπὶ τῆς ἐσχάτης ὁ τόνος.

Πρωτόκλιτα.

Τῶν δὲ πρωτοκλίτων βαρύτονος ἀεὶ ἡ εὐθεῖα. παροξυτονουμένη, αἰνείας. χρύσης. πλὴν τῶν ἀπὸ παρακειμένου. ποιητής. κριτής. δικαστής.

Δευτερόκλιτα.

Τῶν δὲ δευτεροκλίτων, τὰ μὲν ὀξύτονα. ἀρετή. τὰ δὲ προπερισπώμενα καὶ παροξύτονα, μοῦσα. χώρα. καὶ προπαροξύτονα δὲ ἔνια τῶν συνθέτων. ἔμπουσα. ληγόντων γε μὴν εἰς α, ἐπὶ τῆς παραλη

Τριῶν δὲ ὄντων τόπων τῇ ὀξείᾳ, λήγοντος· παραλήγοντος· προπαραλήγοντος· ὀξύνεται μὲν ἡ λήγουσα, ἀεὶ οὖσα βραχεῖα, ἀγαθός· ἐπ᾽ αὐτῶ γάρ τοι βραχείας, περισπωμένη οὐ τίθεται· μακρὰ δὲ οὐκ ἀεί· ἡ παραλήγουσα δὲ, ὅταν ἡ αὐτή τε βραχεῖα ᾖ, καὶ ἡ λήγουσα· λόγος· ἢ αὐτή τε μακρὰ καὶ ἡ λήγουσα· ἥρως· μακρὰ γὰρ πρὸ μακρᾶς οὐ περισπᾶται· ἢ αὐτὴ μὲν βραχεῖα, ἡ λήγουσα δὲ μακρὰ, ἔρως· ἡ προπαραλήγουσα δὲ, ἣν μὴ ἡ λήγουσα μακρὰ οὖσα κωλύῃ, ἥρωος· μακρᾶς γὰρ οὔσης ἐπὶ τέλους οὐ δύναται προπαροξυνθῆναι λέξις κοινή·

Τὸ περὶ περισπωμένης·

Ἡ δὲ περισπωμένη τόπων δύο ὄντων ληγούσης καὶ παραληγούσης· πρὸ γάρ τοι δυοῖν συλλαβῶν περισπωμένη οὐ τίθεται, ἡ μὲν παραλήγουσα περισπᾶται, ὅταν αὐτή τε ᾖ φύσει μακρὰ, καὶ ἡ λήγουσα φύσει βραχεῖα· δῆμος· ἐπὶ γὰρ θέσει μακρᾶς περισπωμένη οὐ τίθεται· διὸ καὶ λέγεται ὅτι πᾶσα φύσει μακρὰ πρὸ βραχείας ληκτικῆς ἐν ἑνὶ μέρει λόγου οὖσα, καὶ ἐφ᾽ ἑαυτῆς ἔχουσα τὸν τόνον, περισπᾶται· ἡ δὲ λήγουσα βραχεῖα μὲν οὖσα, οὐδέποτε· μακρὰ δὲ, ἐκ συναιρέσεως ἀεί· εἰ δ᾽ ἄλλως φύσει οὐκ ἀεί·

Τὸ περὶ πνευμάτων·

Ἡ δὲ δασεῖα καὶ ἡ ψιλὴ κατ᾽ ἀρχὰς τῶν λέξεων ὡς προείρηται τίθεται ἐπὶ τῶν φωνηέντων· ἑκατὸν γὰρ

τὸ εὐφωνότερον. τὰ μὲν, μηκυνόμενα ἔχει. τὰ δέ, συστελλόμενα. καὶ τὰ μὲν, ὀξυνόμενα. τὰ δὲ, βαρυνόμενα. τὰ δὲ, περισπώμενα, ὥσπερ αὖ πάλιν. τὰ μὲν, δασυνόμενα. τὰ δὲ, ψιλούμενα.

Περὶ συλλαβῆς.

Συλλαβαὶ δὲ ταῦτα, ὅθεν αἱ λέξεις, μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου. ὥστε καὶ εἴη ἂν συλλαβὴ σύνελευσις μὲν τοὐλάχιστον δύο γραμμάτων, πρώτως δ' ὑποκειμένον προσῳδίαις. λέγεται μέντοι καταχρηστικῶς καὶ τὸ μονογράμματον συλλαβή. οἷον, ἄ ε. γίνεται δὲ πολλαχῶς κατὰ λόγον τῶν πολλῶν τε καὶ διαφόρων ἐπιπλοκῶν τῶν γραμμάτων. καὶ ἔστιν αὐτῆς τὸ μὲν, μακρόν. τὸ δὲ, βραχύ. τὸ δὲ, κοινόν.

Μακρὸν μὲν, τὸ ἔχον φύσει μακρὸν φωνῆεν. ἢ μίαν τινὰ τῶν διφθόγγων. αἱ γάρ τοι δίφθογγοι πᾶσαι μακραί εἰσι. φύσει μὲν τριχῶς. ἤτοι γὰρ φθόγγῳ μακροῦ φωνήεντος. οἷον, ἥρως. ἢ ἐκτάσει διχρόνου οἷον, καλός. ἢ διφθόγγῳ. οἷον, αἴας. θέσει δὲ, μοναχῶς. δυοῖν ἐπιφερομένοιν συμφώνοιν, ἤτοι ἐνεργείᾳ. ἄρτος. ἢ δυνάμει. ἄξω. τύψω.

Βραχὺ δὲ, τὸ ἔχον ἤτοι φύσει βραχὺ φωνῆεν. οἷον, λόγος. ἢ δίχρονον συστελλόμενον. οἷον, φιλία.

Κοινὸν δὲ τὸ δυνάμενον τὸ αὐτὸ μακρόν τε λαμβάνεσθαι καὶ βραχύ. τριχῶς δὲ τὸ τοιοῦτο. καὶ τὸ περὶ τούτων εἰπεῖν θεωρίας ἑτέρας.

Τόποι τῆς ὀξείας.

λα καὶ τὸ ᾱ καὶ ῑ καὶ ῡ. νῦν δὲ αὐτοὶ μὲν τὸ ε καὶ ο παρῆπται. τὸ γὰρ η καὶ ω, μεταλαμβάνοντες, γράφομεν. ἐπὶ δὲ τῶν καλουμένων διχρόνων χρῆσις οὐκ ἔστιν αὐτῶν οὐδεμία. ὥσπερ μόνῳ αἰεὶ τῷ μετρικῷ εἰ ἐν ἐγχρήσει. οὕτω μὲν οὖν ἡ προσῳδία εἰς τέτταρα διαιροῖτ' ἄν. οἷον εἰς τόνον. χρόνον, πνεῦμα. πάθος. Ἔστι δὲ τόνος, ἐπίτασις ἢ ἄνεσις, ἢ μεσότητος συλλαβῶν φωνὴν ἔχουσα. ἡ μὲν γὰρ ὀξεῖα, τὸ ἐπιτεταμένον ἔχει τοῦ φθόγγου, ἡ δὲ βαρεῖα τὸ ἀνειμένον. ἡ δὲ περισπωμένη τὸ μέσον.

Χρόνος δὲ ἔκτασις ἢ συστολὴ φωνήεντος. ἐκτείνεται μὲν γὰρ τῇ μακρᾷ. συστέλλεται δὲ τῇ βραχείᾳ.

Πνεῦμα δὲ ποιότης τρεπτικὴ συμφώνων. ἤτοι εἰς δασὺ ἢ εἰς ψιλόν. τῇ μὲν γὰρ δασείᾳ τὸ ψιλὸν τρέπεται εἰς δασὺ ἐν τῇ συνθέσει ἡγεμὼν, καθηγεμών. τῇ δὲ ψιλῇ φυλάττεται. ὄρο τῶ. ἐπόρω τῶ.

Πάθος δὲ, ποιότης φωνῆς πεπονθυίας ἤτοι δι' ἀφαίρεσιν φωνήεντος, ἢ διὰ σύνθεσιν λέξεως. ἢ δι' ὑποδιαστολήν. Ἡ μὲν γὰρ ἀπόστροφος ἀφαίρεσις ἢ φωνήεντος. τοῦτ' ἔστιν, ἢ φωνηέντων. βούλομ' ἐγώ. ἀφαιρεῖται δὲ τό, τε ᾱ καὶ ῑ βραχέα ὄντα. ἄρα οὗτος. ἄρ' οὗτος αὐτοὶ ἡμῖν ἐφ' ἡμῖν. καὶ τὸ ο καὶ ε τοῦτο ἐμόν. τοῦτ' ἐμόν. φέρε εἰπέ. φέρ' εἰπέ.

Ἡ δὲ ὑφὲν συνάφεια δυοῖν λέξεών ἐστιν. οἷον, ὁ προσῶν. ἡ δὲ ὑποδιαστολὴ, τὸ ἀνάπαλιν διαίρεσις γάρ τις δυοῖν. οἷον, ὅς, τις.

Τοιαύτῃ μὲν δὴ ποιᾷ τάσει τῶν συλλαβῶν, ἐπεὶ

ΘΕΟΔΩΡΟΥ ΓΡΑΜΜΑΤΙΚΗΣ ΕΙΣΑΓΩΓΗΣ ΤΩΝ ΕΙΣ ΤΕΣΣΑΡΑ ΤΟ Γ΄.



Φεξῆς δὲ κατὰ τὸν αὐτὸν περὶ προσῳδίας καὶ συλλαβῆς ποσότητός τε καὶ ὀρθογραφίας λεκτέον. ἵνα μὴ τὸ περὶ λέξιν ἁμάρτημα ὁ βαρβαρισμὸς συμβαίνῃ. βαρβαρίζων γάρ τις ἐλέγχεται. ἢ ἐνδείᾳ, δημοθένου. ἢ πλεονασμῷ, αἰσχίνοις. ἢ ἐναλλαγῇ. αἰνεία, ἢ χρόνῳ, ἢ προσῳδίᾳ, ἢ γραφῇ, νίκος τῷ ῑ δέον τῇ ει. καὶ εἰς μὲν τὸ ὀρθὸν, παρά τε ἔνδειαν καὶ πλεονασμὸν καὶ ἐναλλαγὴν, οἰκεῖα τὰ ἔμπροσθεν περὶ κλίσεως καὶ σχήματός που εἰρημένα. περὶ δὲ τῶν λοιπῶν, νῦν λεκτέον. διαιροῦντας ἕκαστα πρότερον καὶ ὁριζομένοις.

Ὅρος προσῳδίας.

Προσῳδία μὲν οὖν ἐστι τάσις ποιά τις φωνῆς ἐγγράμματου πρὸς εὐφωνίαν τοῦ ὅλου λόγου.

Ἔστι δὲ πρὸς ταῖς πρότερον εἰρημέναις ὀκτὼ, καὶ μακρά τις καὶ βραχεῖα, οὕτω γραφόμεναι. —. υ.

Χρόνοι δὲ αὗται καλοῦνται, ὅτι ἐπὶ τῶν φωνηέντων τιθέμεναι, θάτερον ἐμποιοῦσι τοῖν χρόνοιν, ἤτοι τὸν μακρὸν ἢ βραχὺ ὂν ἐπὶ τοῦ δὲ διορίζονται. τὸ δυνάμει ἀμφότερα ὄν. ἦν μὲν οὖν πάλαι ἴσως οὐ μόνον τὸ ε καὶ ο τότε τοῖς τοιούτοις σημείοις· ἀλλ

Παθητικῶς. παρεπομένως. ἀναφέρεται ἐπὶ τὸ πάσχειν

Συλλήβδην. ἀθρόως. αὐτοῦ. χωρίς. ἐφεξῆς. μίγδην. ἀναφέρεται ἐπὶ τὸ κεῖσθαι.

Ωπισμένως. ὑπερδεδεμένως. περιεκτικῶς. στεφανοφόρως. δαφνοφόρως. ἀναφέρεται ἐπὶ τὸ ἔχειν.

Σκεπτέον δὲ βέλτιον τὰς διαφοράς.

Περὶ συνδέσμων.

Σύνδεσμοι μὲν συμπλεκτικοί, καὶ ἠ μήν. ἠδέ. ἀτάρ. αὐτάρ. ἤτοι. Διαζευκτικὸς δέ, καὶ ἠέ. Αἰτιολογικὸς δέ, καὶ ὄφρα. ἕνεκα. οὕνεκα. Παραπληρωματικὸς δέ, καὶ ὅνυ. ὃς καὶ νῦν λέγεται καὶ θήν. αἶ. ἄρ. κέν. Εναντιωματικὸς δέ, καὶ ὅμως. καὶ ὅπην, καὶ πολλοὶ δὲ οἱ αὐτοὶ πολλασίμως λέγονται. οἷον, ὁ μὲν ἀλλά. καὶ συμπλεκτικῶς καὶ συλλογιστικῶς. ὁ δὲ γέ, παραπληρωματικῶς καὶ μειωτικῶς καὶ αἰτιολογικῶς. Ο δὲ αὖ παραπληρωματικῶς καὶ συλλογιστικῶς καὶ περιγραφικῶς.

Ο δὲ περ καὶ ἐναντιωματικῶς. καὶ μειωτικῶς.

Ο δὲ ὅτι καὶ αἰτιολογικῶς, καὶ ἐπιβεβαιωτικῶς.

Ο δὲ δὲ καὶ συμπλεκτικῶς, καὶ συλλογιστικῶς, καὶ περιγραφικῶς.

Καὶ περὶ μὲν τῶν ὀκτὼ τοῦ λόγου μερῶν, ταῦτα ἔτι τῆς κλίσεως τε καὶ σχηματισμὸν συμμέτρως εἰρήσθω καὶ ἱκανῶς, ὡς ἐν δευτέρᾳ εἰσαγωγῆς.

ΤΕΛΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ.

νως· ἀκονιτὶ, ἀπονητὶ, ἀμελητί. Καὶ ἀορίστως· ἄλλως, ἄτερ. Καὶ ἐξαιρετικὸν, τὸ πλήν. Καὶ ἀποστατικὸν τὸ ὥστε. Καὶ διακωλυτικὸν τὸ ἐμποδών. Καὶ ἀποκρυπτικὸν τὸ λάθρα. Καὶ ἐμφαντικὸν, τὸ διαῤῥήδην ἀναφανδόν. ἀνάγκη γὰρ τὸ πρὸς τὸ σημαινόμενον ὀνομάζειν καθ' ἕκαστον ἄπειρόν τε καὶ ὀνοματοθετεῖν ἀνάγκη. διὸ δὴ καὶ ἄμεινον ἴσως δέκα καὶ τῶν ἐπιῤῥημάτων γένη θέσθαι ἐκεῖνα· οὐσίαν· ποιόν· ποσόν· πρός τι· ποῦ· ποτέ· ποιεῖν· πάσχειν· κεῖσθαι· ἔχειν. Καὶ ἕκαστα ἐπί τι τούτων πειρᾶσθαι ἀνάγειν. Οἷον, οὐσιωδῶς· ἐμψύχως φυσικῶς· ἀναφέρεται ἐπὶ τὴν οὐσίαν.

Ε ὖ· ἡδέως· ῥᾳδίως κυνηδὸν ὥσπερ· ὥστε λίαν· πάνυ· ἠρέμα· πάντως· ἦ· δηλαδή· νή· ναί· ἥκιστα· οὐ μήν· μά· ἴσως· ἰδού· ὦ· ἀναγνωστέον· εἴθε· ἠού· φεῦ· ἆ· δεῦρο ἄγε· ἀναφέρεται ἐπὶ τὸ ποιόν.

Α παξ· δίς· τρίς· ἀναφέρεται ἐπὶ τὸ ποσόν.

Δ εσποτικῶς· δουλικῶς· ἴσως· ὁμοίως· πολλάκις, ὀλιγάκις· μεγάλως· μᾶλλον· ἧττον· ἅμα· ἀναφέρεται ἐπὶ τὸ πρός τι. Ἄνω, κάτω· ὧδε· ἐκεῖ· ἐνθάδε· πόῤῥω· ἐγγύς· χωρίς· ἔξω· ἔσω· ἐναντίον· χαμαί· ἄψ· ὅθεν· ἔνθα· ἐπέκεινα· πόῤῥω· μεταξύ· ἔνθεν· ὅθι· ἵνα· ἀναφέρεται ἐπὶ τὸ ποῦ. Νῦν· ποτέ· αὖθις· τέως· ἡνίκα· ἔπειτα· σήμερον· αὔριον· πάλιν· εὐθύς· ὕστερον· παραχρῆμα· ἐξαίφνης· αὐτίκα· ὄφρα· τόφρα· ἀναφέρεται ἐπὶ τὸ ποτέ. Δραστικῶς· θεωρητικῶς· τμήδην· ἀναφέρεται ἐπὶ τὸ ποιεῖν.

Περὶ προθέσεων.

Τῶν δὲ προθέσεων, ἡ ἐν, καὶ ἐνὶ εὕρηται ἐν τοῖς ποιήμασι κατ' ἐπέκτασιν λεγομένη. ἔνι μέντοι μεταθέσει τοῦ τόνου, οὐκ ἔτι πρόθεσις. ἀλλ' εἰς ῥηματικὸν μεταβαίνει. ὥσπερ ἀμέλει καὶ ἡ παρά. πάρα γὰρ ἀντὶ τοῦ πάρεστι. καὶ ἔπι ἀντὶ τοῦ ἔπεστιν. ἡ δὲ εἰς, καὶ ἐς λέγεται ἀττικῶς. καὶ ἡ πρός, προτί, καὶ προτὶ δωρικῶς. καὶ ἡ ὑπό, ὑπαί, καὶ ἡ ἀπό, ἀπαί.

Περὶ ἐπιρρημάτων.

Τῶν δὲ ἐπιρρημάτων σχηματισμὸς ἀπὸ πάντων τῶν τοῦ λόγου μερῶν γίγνοιτ' ἄν, ἀπὸ μὲν γὰρ τοῦ φρονίμου ὀνόματος, φρονίμως. ἀπὸ τοῦ ἄρω ῥήματος. τὸ ἄρδην. ἀπὸ δὲ τῆς εἰδότων μετοχῆς, εἰδότως. ἀπὸ τοῦ τῇ ἄρθρου τῇδε. ἀπὸ δὲ τῆς τούτων ἀντωνυμίας οὕτως. ἀπὸ δὲ τῆς ἀνὰ προθέσεως, ἄνω. ἀπὸ δὲ τοῦ ἐγγὺς ἐπιρρήματος, ἐγγύθεν. ἀπὸ δὲ τοῦ δὴ καὶ ποῦ καὶ θὲν συνδέσμων, δήπουθεν. εἰσὶ δ' αὖ καὶ θεματικὰ ἄλλα. οἷόν τι τὸ ἐγγὺς καὶ χαμαί.

Ἔστι δὲ χρόνου σημαντικὰ καὶ τὸ αὖ. ἔτι. πάλιν. μέχρι. τόπου δὲ καὶ τὸ ἵνα. καὶ ἀπαντικρύ. σχέσεις δὲ τῶν τοπικῶν, τρεῖς ἐν τόπῳ. ἐκ τόπου εἰς τόπον. οἷον, οἴκοι. οἴκαδε, οἴκοθεν. Ὁμοίως δὲ νῦ. νῦν τε.

Ἀθροίσεως δὲ διωρισμένου τοῦ. καὶ τὸ πανδημεί, καὶ πασσυδί, καὶ πανοικί. Παρακελεύσεως δὲ καὶ τὸ εἶα, καὶ ἴθι. Καὶ ἐκπληκτικὸν ἔτι τὸ ἔα. καλείσθω δὲ καί τι παρατατικὸν ἐπίρρημα. οἷον τὸ χρονίως καὶ ἐκτάδην. Καὶ διαιρετικὸν ὡρισμέ-

γίαι συμβαίνει, ἀλλὰ θετικῶς. Ὡσαύτως δὲ καὶ ὁ κατ' αὐτὰς ἀριθμός. Σύνθετοι.

Τῶν δὲ συνθέτων καὶ ἑαυτοῦ, καὶ χωρὶς τοῦ ε μεταλαμβάνοντος τὴν δασεῖαν τοῦ αυ. αὑτοῦ.

Κτητικαί.

Καθόλου δὲ αἱ κτητικαὶ ὁμοίως τοῖς εἰς ος τριγενέσιν ἁπλοῖς ὀνόμασι παρασχηματίζονται. ὡς γὰρ ἐκεῖνα μὲν ἄλλου τοῦ συμφώνου, τὸ θηλυκὸν παράγει εἰς η. ἔρημος. ἐρήμη. φρόνιμος. φρονίμη. μέσος, μέση. μέθυσος, μεθύση. μὲν δὲ τοῦ ρ εἰς α. λαμπρός, λαμπρά. σοφώτερος, σοφωτέρα. οὕτω καὶ αὗται. ὁ ἐμός, ἡ ἐμή, ὁ σός, ἡ σή, ἡμέτερος, ἡμετέρα. σφέτερος, σφετέρα. τὸ δὲ ἡμετέρη. καὶ σφετέρη. ἰωνικά. Τῶν δὲ δεικτικῶν ἡ ἐκεῖνος. ἐκείνη. ἐκεῖνο. καὶ ἄνευ τοῦ ε λέγεται αἰολέων ἔθει.

Τῆς δὲ τοῦ δευτέρου προσώπου δεικτικῆς, καὶ τὸ ι ἐνίοτε προσάπτοντες πληκτικὸν, ἐφ' ἑκάστης πτώσεως καὶ ἀριθμοῦ τε καὶ γένους λέγομεν. οὑτοσί. τουτουί ὥσπερ ἀμέλει καὶ ταῖς κατ' αὐτὸ πλοκὴν τοῦ συνδέσμου ἀρθρικαῖς ἀντωνυμίαις. ὁδί γὰρ φαμὲν καὶ τοδί. Λέγεται δ' ἡ γενικὴ τῆς δευτέρου προσωπούσης τῶν πρωτοτύπων. καὶ σέο. καὶ σεῖο, καὶ σέθεν. καὶ σεῦ. ὥσπερ ἄρα καὶ ἐπὶ τοῦ πρώτου προσώπου. ἐμέο. καὶ ἐμεῖο. καὶ ἐμέθεν. καὶ ἐμεῦ. κατὰ τὰς τῶν διαλέκτων διαφοράς. τὸ μέντοι περὶ τούτων διορίσασθαι οὐ τῇ παρούσῃ προθέσει οἰκεῖον.

γὰρ καὶ ταῦτα. Τὰ δὲ προτακτικὰ καὶ προτασσόμενα τῶν ἐπιρρημάτων κατὰ πᾶσαν πτῶσιν καὶ ἀριθμὸν ἀντὶ ἐπιθέτων λαμβάνεται ὀνομάτων. φυλαττομένου τοῦ τῶν ἐπιρρημάτων ἀκλίτου. ὁ πάλαι, τοῦ πάλαι ἡ πάλαι τῆς πάλαι. ὁ πέλας. ὁ πάνυ. ὁ ἄνω.

Περὶ τῶν ἀντωνυμιῶν.

Τῶν δὲ ἀντωνυμιῶν ἡ ἐγὼ τὸν γε προσλαβοῦσα σύνδεσμον, ἔγωγε ὑποβιβασμῷ τοῦ τόνου προφέρεται· καὶ οὐ μόνον μείωσίν τινα ταύτῃ διὰ τὸ τοῦ συνδέσμου μειωτικὸν δηλοῖ, ἀλλὰ καὶ κατάφασιν ἐνίοτε. οἷον, τὸ ναί. Ταύτης γὰρ ἡ σύζυγος γενικὴ ἐμοῦ. καὶ δοτικὴ, ἐμοί. καὶ αἰτιατικὴ, ἐμέ. ἐγκλινόμεναι ἀποβάλλουσι τὸ ε. οἷον, τοῦτό μου σκόπει. τοῦτό μοι λέγε. τοῦτό με δίδασκε. Τὰ δὲ δυϊκὰ καὶ πληθυντικὰ συνῃρημένως μὲν εἴρηται πρότερον. ἀσυναιρέτως δὲ ὧδε λέγομεν. νῶϊ, νῶϊν. ἡμέες. ἡμέων. ἡμέας. ἡμῖν γὰρ δοτικὴ, μοναχῶς πανταχοῦ. ὡσαύτως δὲ καὶ τοῦ δευτέρου προσώπου. σφῶϊ, σφῶϊν. ὑμέες. ὑμέων. ὑμέας. Καὶ τὰ τοῦ τρίτου. σφωὲ, ἐπὶ αἰτιατικῆς μόνως. ὡς καὶ σφῶϊν ἐπὶ δοτικῆς. σφέες. σφέων. σφέας.

Μοναδικαὶ κτητικαί.

Ἡ δὲ μὶν, καὶ νὶν, καὶ σφὲ μοναδικαὶ τὴν φωνήν. αἱ δὲ ἀπὸ τοῦ τρίτου κτητικαί. οἷον ἑός. ἡ ἑή. τὸ ἑόν. καὶ χωρὶς τοῦ ε λέγονται ὅς. ἥ. ὅν. κλίσις δὲ τῶν πρωτοτύπων αὐτῶν κατ' οὐδεμίαν κλητικὴν ἀνάλο-

καὶ οὐδέτερον ὁμοίως τοῖς ἀπὸ τῶν εἰς ην παθητικοῖς ὁ τιθεὶς, ἡ τιθεῖσα, τοῦ τιθέντος, τὸ τιθέν. ὁ ἱστὰς ἱστᾶσα, τοῦ ἱστάντος, τὸ ἱστάν. ὁ διδοὺς, ἡ διδοῦσα, τοῦ διδόντος, τὸ διδόν. ὁ ζευγνὺς, ἡ ζευγνῦσα, τοῦ ζευγνῦντος, τὸ ζευγνῦν.

Ἀπρόσωποι μετοχαί.

Εἰσὶ δὲ καὶ τῶν ἀπροσώπων μετοχαὶ ἀπρόσωποι. καὶ αὗται δῆλον ὅτι τῷ γένει οὐδέτεραι. δέον, προσῆκον, δοκοῦν, καὶ δόξαν, συμβάν, ἀκουσθέν, γνωσθέν, ἀποδειχθέν, καὶ τὰ τοιαῦτα. ἡ δέ τοι σχηματιστία οὐκ ἄδηλον. κατὰ ταυτὰ γὰρ τοῖς τῶν προσωπικῶν οὐδετέροις. αἱ δὲ τῶν προσωπικῶν ἅπασαι τρίτου προσώπου εἰσὶν, ὡς καὶ τὰ ὀνόματα.

Περὶ ἄρθρων.

Τὰ δ' ἄρθρα διήρηται μὲν πρότερον εἰς τὰ προτακτικὰ καὶ ὑποτακτικά. κωλύει δ' οὐδὲν καὶ τῷ ὑποτακτικῷ ὃ συνάπτοντα, τὸ προτακτικὸν τοῦ, καὶ τῷ, καὶ τῶν, προσφέρειν. ὅτου ἐπὶ γενικῆς, καὶ ὅτῳ ἐπὶ δοτικῆς ἑνικοῦ. καὶ ὅτων ἐπὶ γενικῆς πληθυντικῶν. ὃν δὴ τρόπον καὶ τὸ τὶς ὄνομα προστιθέμενον κλίνεται, σχηματιζόμενον ἀεὶ τῇ τοῦ ἄρθρου πτώσει. οἷον, ὅστις οὗτινος, ᾧτινι. καὶ τἄλλα ὡσαύτως. τοιοῦτο δὲ καὶ τὸ ἄττα.

Λαμβάνεται δὲ τὰ ἄρθρα καὶ ἀντὶ ἀντωνυμιῶν. ὃ γὰρ ἀντὶ τοῦ οὗτος. καὶ τὸν ἀντὶ τοῦ τοῦτον.

Ταυτὸ δὲ τοῦτο παρεμφαίνει καὶ τῷ δὲ συνδέσμῳ ἐπιπλεκόμενον. οἷον, ὅδε, ἥδε, τόδε. ἀντωνυμικὰ

ἔχουσι τὸ μ κλιτικὸν, μεταποιήσει τῆς ἐσχάτης εἰς μένος, ἡ τῆς ἀρσενικοῦ μετοχὴ γίνεται. τύπτομαι, ὁ τυπτόμενος. ἐτυψάμην, ὁ τυψάμενος.

Τοῖς δὲ μὴ ἔχουσιν ἀλλὰ εἰς ην λήγουσι, μεταβολῇ τῆς ἐσχάτης εἰς εἰς, ὁ σχηματισμός. ἐτύπην, ὁ τυπείς. Τὸ θηλυκὸν καὶ οὐδέτερον, ἔνθα μὲν τὸ μ κλιτικὸν ἀπὸ τοῦ ἀρσενικοῦ μεταποιήσει τῆς ἐσχάτης εἰς νη καὶ νον. ὁ τυπτόμενος, ἡ τυπτομένη, τὸ τυπτόμενον. ἔνθα δὲ μὴ, ὁμοίως καὶ ἐπὶ τῶν ἐνεργητικῶν, πλὴν μένοντος τοῦ λήγοντος αὐτοῦ φωνήεντος, ὡς ἔχει ὁ τυφθείς, ἡ τυφθεῖσα. τὸ τυφθέν. Τά γε μὴν τοῦ μέσου παρακειμένου ὁμοίως παντάπασι τοῖς τοῦ ἐνεργητικοῦ. τέτυπα, ὁ τετυπώς, τοῦ τετυπότος, ἡ τετυπυῖα, τὸ τετυπός. Μέσα καὶ παθητικὰ τῶν εἰς μι.

Τῶν δὲ εἰς μι, τὰ μὲν, παθητικὰ καὶ μέσα ὡς εἴρηται, τίθεμαι ὁ τιθέμενος. ἐθέμην, ὁ θέμενος. ἐτέθην, ὁ τεθείς. Τὰ δ᾽ ἐνεργητικὰ, ἀορίστων μὲν πρώτων ὁμοίως τοῖς τῶν εἰς ω ληγόντων σχηματιστέον.

Δευτέροις δὲ καὶ παρατατικοῖς, εἰς ς μὲν ὀξυτονούμενον πᾶσιν ὁ σχηματισμός. οὐκ ἐς συλλαβὴν δὲ τὴν αὐτὴν, ἀλλ᾽ ἢ ἀναλόγως. τὸ γὰρ ἴδιον ἑκάστοις ἀρχικὸν φωνῆεν ἐπαναλαμβάνεται. τὸ δὲ ἤτοι δίχρονον ἢ βραχὺ, καὶ δίχρονον μὲν οὖν, μακροκαταλήγει. βραχὺ δὲ ἀποδιφθογγοῦται, προσλήψει τοῦ ι. ἢ τοῦ υ. ἵστην, ὁ ἱστάς. ἐζεύγνυν. ὁ ζευγνύς. ἐδίδων, ὁ διδοὺς. ἐτίθην, ὁ τιθείς. Τὸ δὲ θηλυκὸν,

ἀπὸ τῆς γενικῆς ἀποκοπῇ τῆς ἐσχάτης τοῦ τύπτοντος, τὸ τύπτον, τοῦ τύψοντος, τὸ τύψον, τοῦ τυποῦντος, τὸ τυποῦν. Ἐγγὺς δὲ τούτων καὶ τὰ τοῦ δευτέρου ἀορίστου. τὸ μὲν γὰρ ἀρσενικὸν, μεταβολῇ τοῦ τῆς ἐσχάτης ο εἰς ω. ἔτυπον, ὁ τυπών. τὸ δὲ θηλυκὸν, καὶ οὐδέτερον, ὡς εἴρηται. Ἀπὸ δὲ τοῦ πρώτου ἀορίστου, τὸ μὲν ἀρσενικὸν προσλήψει τοῦ σ. ἔτυψα, ὁ τύψας. τὸ δὲ θηλυκὸν καὶ οὐδέτερον, ὡς εἴρηται. πλὴν ὅσον ἐνταῦθα ἡ παραλήγουσα μηκύνεται. μηδενὸς ἔξωθεν προσλαμβανομένου φωνήεντος. ὁ τύψας, ἡ τύψασα, τὸ τύψαν.

Ἀπὸ δὲ τοῦ παρακειμένου τὸ μὲν ἀρσενικὸν, μεταβολῇ τοῦ τελικοῦ α, εἰς ω. καὶ προσλήψει τοῦ σ. τέτυφα, ὁ τετυφώς. Τὸ δὲ θηλυκὸν, ἀπὸ τῆς γενικῆς τοῦ ἀρσενικοῦ, ἀποκοπῇ τῆς ἐσχάτης, καὶ μεταλήψει τοῦ α. καὶ ἐξαιρέσει μὲν τοῦ παραλήγοντος ο. μεταλήψει δὲ τῆς διφθόγγου υι. τοῦ τετυφότος, ἡ τετυφυῖα. Καὶ τὸ οὐδέτερον δὲ αὐτόθεν ἐξαιρέσει τοῦ τ. Τὸ δὲ γεγῶσα καὶ βεβῶσα, καὶ ἑστῶσα καὶ τὰ τοιαῦτα ποιητῶν. συγκοπὴν γὰρ ποιοῦντες μετασχηματίζουσι καὶ τὸ θηλυκὸν πρὸς τὸ πάθος. ἀπὸ μὲν γὰρ τοῦ γέγαα, ὅθεν τὸ γεγαῦα. τὸ γεγαώς. ὅθεν τὸ γεγῶσα. κἀπὶ τῶν ἄλλων ὁμοίως. οἷς δὴ ἠκολούθησε καὶ τό, τεθνεῶσα, καί τοι ἀπὸ τοῦ τέθνεα. ἀπαθοῦς ὄν.

Μέσα καὶ παθητικά.

Ἐπὶ δὲ τῶν μέσων καὶ παθητικῶν καθόλου τοῖς μὲν

ον. τὸ δεῖ, καὶ χρὴ, καὶ δοκεῖ, καὶ συμβαίνει, καὶ μέλλει, καὶ ἔξεστι καὶ ὅλως τὰ μηδὲν ἐμφαίνοντα πρόσωπον. τούτων δὲ τὰ μὲν ἐνεργητικοῦ προφορὰν ἔχοντα. οὐ πολλὰ ἅττα τὸν ἀριθμόν.

Τὰ δὲ παθητικοῦ πλεῖστα ὅσα δὴ καὶ τὰ προσωπικὰ τῶν παθητικῶν. τὸ γὰρ ἑνικὸν ἑκάστου τρίτον τῶν χρόνων, εἰς ἀπρόσωπον μεταλαμβανόμενον σημασίαν, οὔτε πρῶτον, οὔτε δεύτερον ἔχει πρόσωπον. ταύτῃ αὖ θεωροῖτο. οἷον, λέγεται. εἴρηται. γέγραπται. εἰρήσθω. πεποιήσθω.

Περὶ μετοχῶν.

Τῶν δὲ μετοχῶν οἱ σχηματισμοὶ ἀφ' ἑκάστων γίνονται χρόνων πλὴν τοῦ παρατατικοῦ καὶ ὑπερσυντελίκου. οὗτοι δὲ συνεζευγμένοι ὡς εἴρηται ὄντες, ὁ μὲν, τῷ ἐνεστῶτι. ὁ δὲ, τῷ παρακειμένῳ. κοινὰς δὴ ἔχουσι καὶ τὰς παρ' αὐτῶν μετοχάς. Κοινὸν δὲ καὶ ταῦθα τῶν παρῳχημένων ἁπάντων ἡ τῆς αὐξήσεως ἀποβολὴ πλὴν τοῦ παρακειμένου.

Ενεργητικά. Ενεστὼς, μέλλων.

Γίνεται δὲ ἐπὶ τῶν εἰς ω ἐνεργητικῶν ἀπὸ μὲν τοῦ πρώτου τῶν ἑνικῶν ἐνεστῶτος καὶ μέλλοντος ἑκατέρου μετοχή. προσλήψει τοῦ ν. τύπτω, ὁ τύπτων, τύψω, ὁ τύψων. τυπῶ, ὁ τυπῶν. Θηλυκὸν δὲ ἀπὸ τῆς τοῦ ἀρσενικοῦ εὐθείας. τροπῇ τοῦ λήγοντος ω, εἰς ου. καὶ τοῦ ν, εἰς σ, καὶ προσλήψει τοῦ α ληκτικοῦ. ὁ τύπτων, ἡ τύπτουσα. ὁ τύψων. ἡ τύψουσα. ὁ τυπῶν. ἡ τυποῦσα.. Τὸ δὲ οὐδέτερον

ἀπὸ

πίπτω, πέσουμαι, ἁλίσκω, ἁλώσω, ἔρχομαι, ἐλεύσομαι. πολλὰ δὲ τὰ τοιαῦτα. καὶ τὴν χρῆσιν δὲ παρατηρητέον τε ἐνταῦθα. Ὡς καθόλου μέντοι εἰπεῖν τὰ εἰς δύο σύμφωνα διάφορα ἐκ παραγωγῆς λήγοντα. κλίσιν οὐδεμίαν ἴσχει οἰκείαν. σχηματισμὸς δὲ τῶν τοιούτων τῷ τ, ἢ τῷ συγγενεῖ. σ. πλὴν τῶν τετραπτοζύγων ῥέπω, ῥίπτω. τέκω, τίκτω. ἔχω, ἴσχω. ἔπω, ἔσπω. πέτω. πίπτω. ἔσταχα, στάσκω. βέβοκα, βόσκω. τετέλεκα, τελέσκω. βούλεται δὲ προσλαμβάνειν ἐκ σχηματισμοῦ σύμφωνον ἢ τοῦ δευτέρου ἢ τοῦ τρίτου προσώπου τοῦ παθητικοῦ παρακειμένου. διὸ καὶ ἐν τετραπτοζύγοις ἐκ τοῦ μένω ἐσχημάτισται μίμνω, ὡς τοῦ μὲν σ ἀσυντάκτου ὄντος. τοῦ ν, ἀσυμβάτως μὲν καὶ αὐτοῦ ἔχοντος. οἰκείως δὲ μεταβάλλοντος εἰς τὸ μ. διαφερέτω δ' ἐγεμηθὲν, καὶ εἴ τις μὴ ἐκ μεταβολῆς εἶναι τὸ μ ἀξιοῖ, ἀλλ' ἀπὸ τοῦ πρώτου μεταλαμβάνεσθαι. μέμεμμαι, μίμνω. καλείσθω δὲ πλεοναστικά.

Συνηρημένα.

Α κλιτα δὲ τὰ συνηρημένα πάντα. πριῶ. βοῶ. ὡς προειρημένα.

Εφεκτικά.

Κ αἱ μὲν δὴ καὶ ἀπαθῆ ἄκλιτα τὰ ἐφεκτικὰ πάντα. μαθητιῶ, βασιλειῶ, πολεμησείω, ὀψείω. τούτοις δ' οἶμαι συντάττειν οἰκεῖον καὶ ὅσα τῶν ῥημάτων, τύπον μὲν ἔχει τρίτου προσώπου. ἔστι δὲ οὐδενός. ὅθεν δὴ καὶ ἀπρόσωπα ὀνομάζεται. δι-

φθόγγῳ τῇ ου, ἀεὶ ἡ συναίρεσις εἰς οῦς· ποιέομεν, οῦμεν. ποιέου, οῦ. Ἑπομένου δὲ τοῦ ε, εἴτε καθ᾽ αὑτὸ, εἴτε ἐν διφθόγγῳ, ἀεὶ ἡ συναίρεσις εἰς ει. ποιέεις, εῖς. ποιέεται, εῖται. Ἑπομένου δὲ η, εἴτε καθ᾽ αὑτὸ, εἴτε ἐν διφθόγγῳ, ἡ συναίρεσις εἰς ῆ. ἐὰν ποιέῃς, ῇς. ἐὰν ποιέηται, ῆται. Ἑπομένου δὲ τοῦ ο, ὡς ἐν διφθόγγῳ τῇ οι, ἡ συναίρεσις εἰς οῖ. ποιέοιμι. οῖμι. Τά γε μὴν δισύλλαβα ὄντα, τὸ πρῶτον οὐ συναιρεῖται πρόσωπον. πλέω. νέω. ῥέω. πλεῖς δὲ καὶ πλεῖ καὶ τὰ λοιπὰ ὁμοίως. Ἐπηγουμένου τοῦ ο, ἑπομένου μὲν τοῦ ο, εἴτε καθ᾽ αὑτὸ, εἴτε ἐν διφθόγγῳ πλὴν τῆς οι, ἡ συναίρεσις εἰς οῦ, χρυσόομεν, οῦμεν, χρυσόου, οῦ. ὡσαύτως δὲ, καὶ ἑπομένου τοῦ ε. χρυσόεται, οῦται. ἑπομένου δὲ τοῦ η, εἰς ῶ. ἢ εἰς οῦ. ἐὰν χρυσόηται, ἐὰν χρυσῶται, ἢ χρυσοῦται.

Ἑπομένου δὲ τοῦ ι ὡς ἐν διφθόγγῳ δηλονότι. ἡ συναίρεσις εἰς οῖ. χρυσόεις, οῖς. χρυσόοις, οῖς. ἐὰν χρυσόῃς, οῖς. πλὴν τῆς τοῦ ἀπαρεμφάτου. χρυσόειν, γάρ τοι χρυσοῦν. Κοινὸν δὲ τούτων ἁπάντων τὸ τὰ εὐκτικὰ προφέρεσθαι δι᾽ ἠ, καὶ μετὰ ποιῆσαι τῆς ἐσχάτης εἰς ην ἔθει Αἰολέων. ποιοῖμι, ποιοίην. βοῶμι, βοῴην. καὶ οὕτως εἰς τὴν τῶν εἰς ην ληγόντων εὐκτικῶν κλίσιν μεταβαίνειν δι᾽ ὅλου.

Περὶ ῥημάτων ἑτεροκλίτων.

Ὥσπερ δ᾽ ὀνόματα τὰ μὲν, ἑτερόκλιτα. τὰ δὲ, ἄκλιτα διὰ πάθος τε καὶ ἑτέρως. οὕτω καὶ ῥήματα ἑτερόκλιτα ἂν λέγοιτο. πέπτω, πέψω, πίπτω. πέξω.

Ἀνάγεται δὲ εἰς τὴν πέμπτην συζυγίαν καὶ τὸ εἰμὶ ὑπαρκτικὸν ῥῆμα. καὶ ὅλως οὐδὲν ἂν εἴη ἔξω τῶν εἰρημένων. Τὰ δὲ τῆς πέμπτης, παραλήγοντα τῷ ῡ. οἷον ζεύγνυμι. παρατατικὸν μόνον εὑρίσκεται ἔχοντα. καὶ ἀόριστον δεύτερον ἔφυ. ἔδυ. παρακειμένου δὲ καὶ τἄλλα τὰ περὶ τοὺς χρόνους οὐκ ἔχει τοῖς συζύγοις ὁμοίως. οὔτε μὴν ἔγκλισιν ὑποτακτικὴν ἔχει, οὐδὲ εὐκτικὴν εἰ μή τις ζευγνύην λέγοι, καὶ ζευγνύμην διφθόγγῳ παραληγούσῃ χρώμενος τῇ ῃ. οἷον, καὶ τὸ μεμνήμην. καὶ πεποιήμην οὖν καὶ τεθνήμην λέγειν αὐταύτῃ ἐξεῖν.

Περὶ τῶν συνῃρημένων.

Ὅσα δὲ τῆς τρίτης λήγοντα εἰς ω καθαρόν. τῷ α ἢ τῷ ε ἢ τῷ ο. παραλήγει. ὅτι μὲν συναιρεῖται ταῦτα εἴρηται πρότερον. τοῦτο δὲ περὶ τὸν ἐνεστῶτα καὶ παρατατικὸν μόνον συμβαίνει. Κοινὸν μὲν οὖν τὸ, ἡγουμένου οὑτινοσοῦν τῶν α. ε. ο. ἑπομένου δὲ τοῦ ω, ἀεὶ τὴν συναίρεσιν εἰς ω γίνεσθαι. Ἴδιον δὲ τὸ, ἡγουμένου τοῦ α, ἑπομένου δὲ τοῦ ο, εἴτε καθ' αὑτὸ εἴτε ἐν διφθόγγῳ, ἀεὶ τὴν συναίρεσιν γίνεσθαι εἰς ω. οἷον βοάομεν, ῶμεν. βοάου. ῶ. βοάοιμι, ῷμι. ἑπομένου δὲ τοῦ ε ἢ τοῦ η. εἴτε ἐν διφθόγγῳ, εἴτε καθ' αὑτὸ ἀεὶ εἰς α. βοάεις, ᾷς. βόαε, α. ὅθεν δὴ καὶ τὰ ὑποτακτικὰ ταὐτά. καὶ ὅλως τὰ ἐκ συναιρέσεως συμβαίνει μὴ ὑποκεῖσθαι τοῖς λεχθεῖσι περὶ τῶν ἀπαθῶν. Ἐπὶ ἡγουμένου τοῦ ε, ἑπομένου μὲν τοῦ ο, εἴτε καθ' αὑτὸ, εἴτε ὡς ἐν δι-

τὰ τρίτα τῶν πληθυντικῶν· καὶ εἰς σαν σχηματίζεται· τυφθείησαν· καὶ εἰς εν δὲ, ἀποβάλλοντα τὸ παραλῆγον η· τυφθεῖεν. Ληγόντων δὲ εἰς μην, τὸ μὲν δεύτερον τῶν ἑνικῶν ἀπὸ τοῦ πρώτου μεταποιήσει τῆς ἐσχάτης εἰς ο· τυπτοίμην, τύπτοιο.

Τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου, παρενθέσει τοῦ τ· τύπτοιο, τύπτοιτο. τῶν δυϊκῶν, τὸ μὲν πρῶτον ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν, μεταποιήσει τῆς ἐσχάτης εἰς μεθον· τυπτοίμην, τυπτοίμεθον.

Τὸ δὲ δεύτερον ἀπὸ τοῦ δευτέρου, μεταποιήσει τῆς ἐσχάτης εἰς σθον· τύπτοιο, τύπτοισθον. Τὸ δὲ τρίτον ἀπὸ τοῦ ἰδίου δευτέρου μεταποιήσει τῆς ἐσχάτης εἰς σθην· τύπτοισθον, τυπτοίσθην.

Τῶν δὲ πληθυντικῶν· τὸ μὲν πρῶτον ἀπὸ τοῦ πρώτου τῶν δυϊκῶν· μεταποιήσει τῆς ἐσχάτης εἰς θα· τυπτοίμεθον, τυπτοίμεθα. Τὸ δὲ δεύτερον ἀπὸ τοῦ δευτέρου μεταποιήσει τῆς ἐσχάτης εἰς σθε· τύπτοισθον, τύπτοισθε. Τὸ τρίτον, ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν· παρενθέσει τοῦ ν· τύπτοιτο, τύπτοιντο.

Υποτακτικῶν.

Τῶν δὲ ὑποτακτικῶν πάντα, ὁμοίως τοῖς τῶν ὁριστικῶν ἐνεστῶσι· πλὴν ὅσον ἔνθα μὲν ἐκεῖ τὸ ε κλιτικὸν ἔχει, ἐνταῦθα τὸ η· τύπτεις, ἐὰν τύπτῃς, τύπτεται, ἐὰν τύπτηται· ἔνθα δ᾽ ἐκεῖ τὸ ο, ἐνταῦθα τὸ ω· τύπτομαι, ἐὰν τύπτωμαι· πλὴν τῶν τῆς πέμπτης παραληγόντων τῷ ω· δίδωμι· ἐν τούτοις γὰρ ἀεὶ τὸ αὐτὸ φυλάττεται· ἐὰν διδῶ, διδῷς διδῷ

της εἰς σθον. τυπτέσθω, τυπτέσθον. καὶ τὸ τρίτον δὲ ἀπὸ τοῦ αὐτοῦ προσθέσει τοῦ υ. τυπτέσθω, τυπτέσθων. Τῶν δὲ πληθυντικῶν. τὸ μὲν δεύτερον, ἀπὸ τοῦ δευτέρου τῶν δυϊκῶν μεταποιήσει τῆς ἐσχάτης, εἰς σθε. τύπτεσθον, τύπτεσθε. Τὸ δὲ τρίτον ἀπὸ τοῦ τρίτου. παρενθέσει τῆς σα, τυπτέσθων τυπτέσθωσαν. τὸ τυπτέσθων ἀντὶ τοῦ τυπτέσθωσαν. ὡς περὶ τοῦ δὲ τυπτόντων εἰρήκαμεν.

Εὐκτικῶν, εἰς μι.

Τῶν δὲ εὐκτικῶν ληγόντων μὲν εἰς μι. τὸ δεύτερον τῶν ἑνικῶν ἀπὸ τοῦ πρώτου ἐξαιρέσει τοῦ ι καὶ τροπῇ τοῦ μ εἰς σ. τύπτοιμι, τύπτοις. Τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου ἐκβολῇ τοῦ σ. τύπτοις, τύπτοι.

Τῶν δὲ δυϊκῶν τὸ μὲν δεύτερον ἀπὸ τοῦ δευτέρου τῶν ἑνικῶν μεταβολῇ τοῦ σ εἰς τ. καὶ προσλήψει τῆς ον. τύπτοις, τύπτοιτον. Τὸ τρίτον ἀπὸ τοῦ ἰδίου δευτέρου μεταποιήσει τῆς ἐσχάτης εἰς την. τύπτοιτον. τυπτοίτην. Τῶν δὲ πληθυντικῶν. τὸ μὲν πρῶτον, ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν. μεταποιήσει τῆς ἐσχάτης εἰς μεν. τύπτοιμι, τύπτοιμεν. τὸ δεύτερον ἀπὸ τοῦ δευτέρου τῶν δυϊκῶν μεταποιήσει τῆς ἐσχάτης εἰς τε. τύπτοιτον, τύπτοιτε. τὸ τρίτον, ἀπὸ τοῦ ἰδίου πρώτου. ἐξαιρέσει τοῦ ληκτικοῦ μ. τύπτοιμεν, τύπτοιεν. ληγόντων δὲ εἰς ην, τὸ μὲν δεύτερον τῶν ἑνικῶν, ἀπὸ τοῦ πρώτου. τροπῇ τοῦ ληκτικοῦ ν εἰς σ. τυφθείην, τυφθείης. τὰ δ᾽ ἄλλα πάντα, ὁμοίως τοῖς τῶν εἰς μι. πλὴν ὅσον

ἀλλὰ μεταποιήσει τῆς ἐσχάτης, τὸν αὐτὸν ἔχει παρασχηματισμόν· τίθετι, τιθέτω· τύφθητι, τυφθήτω.

Τοῦ δὲ πρώτου ἀορίστου καὶ μεταποιήσει τοῦ τῆς λυγούσης ὑποτακτικοῦ εἰς α πανταχοῦ· τύψον, τυψάτω. Τῶν δὲ δυϊκῶν τὸ δεύτερον ἀπὸ τοῦ δευτέρου τῶν ἑνικῶν· προσλήψει τῆς τον· τύπτε, τύπτετον. Τὸ δὲ τρίτον ἀπὸ τοῦ τρίτου προσλήψει τοῦ ν, τυπτέτω, τυπτέτων.

Τῶν πληθυντικῶν, τὸ μὲν δεύτερον, ἀπὸ τοῦ δευτέρου τῶν ἑνικῶν· προσλήψει τῆς τε· τύπτε, τύπτετε. τύψον, τύψατε· καὶ μεταποιήσει ὡς εἴρηται.

Τὸ δὲ τρίτον, ἀπὸ τοῦ τρίτου, προσθέσει τῆς σαν, τυπτέτω, τυπτέτωσαν. Τὸ δὲ τυπτόντων, ἀντὶ τοῦ τυπτέτωσαν, κατὰ συγκοπὴν ἔοικε γεγονέναι, καὶ μεταβολὴν τῆς παραληγούσης εἰς μακράν· ὅτι τὰ τρίτα τῶν πληθυντικῶν ἐσχατοσυλλαβοῦντα τῷ τ, μακρᾷ ὁπωσοῦν παραλήγει. ἐξαιρείσθω τὸ ἰωνικὸν τετύφαται. ὡσαύτως δὲ καὶ τοῦ τυπτέσθων, ἀντὶ τοῦ τυπτέσθωσαν ὁ σχηματισμὸς ἂν εἴη.

Μέσων καὶ παθητικῶν.

Τῶν δὲ μέσων τε καὶ παθητικῶν, τὸ μὲν τρίτον τῶν ἑνικῶν ἐξαιρέσει τοῦ διφθογγοῦντος ὑποτακτικοῦ φωνήεντος· καὶ τροπῇ τοῦ ο εἰς ε, ἐὰν ὑπάρχῃ· καὶ προσλήψει τῆς σθω. τύπτου, τυπτέσθω. πλὴν τῶν εἰς θι ἀορίστων· ταῦτα γὰρ διόλου τοῖς εἰς θι ἐνεργητικοῖς, ὁμοίως. Τῶν δυϊκῶν τὸ δεύτερον, ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν μεταποιήσει τῆς ἐσχά

δευτέρου τῶν ὁριστικῶν, τροπῇ τοῦ τῆς ληγούσης φωνήεντος εἰς τὸ παραληκτικὸν τῆς ἀρχῆς. τίθεω, ἔθης, θές. δίδόω, ἔδος, δός.

Υποτακτικῶν.

Τὰ δὲ ὑποτακτικὰ, ὁμοίως τοῖς τῶν παθητικῶν ἀορίστοις τῶν εἰς ω. ἐτίθη, ἐὰν τιθῶ. τὸ δὲ δῶσι ἀντὶ τρίτου, καὶ δώησι, ποιητικά. πρὸς παράδειγμα τοῦ τρίτου τῶν ἑνικῶν. τοιαῦτα δὲ καὶ τὰ θείω. στήω. δώω. μονοσύλλαβα γὰρ ὄντα καὶ περισπώμενα τὰ θῶ. στῶ. δῶ. δισύλλαβα καὶ βαρύτονα ποιηταὶ ποιοῦσι. παρεντιθέντες οἰκείως τὰς τοιαύτας τῶν συλλαβῶν. ἑκάστῳ γὰρ τὸ ἴδιον ἀρχικὸν αὐξάνοντες πρὸς τιθέασι.

Εὐκτικῶν.

Καὶ τὰ εὐκτικὰ δὲ ὁμοίως, τοῖς τῶν αὐτῶν εὐκτικοῖς.

Απαρεμφάτων.

Τὰ δὲ ἀπαρέμφατα, ἐνεστῶτος μὲν ἀπὸ τῆς μετοχικῆς γενικῆς καὶ ταῦτα. ἐξαιρέσει τοῦ κλιτικοῦ ν, καὶ μετατροπῇ τῆς ἐσχάτης εἰς ναι. τιθέντος, τιθέναι. διδόντος, διδόναι. τὸ δὲ διδοῦναι κατὰ ποιητικὴν ἄδειαν.

Προστακτικῶν μέσων καὶ παθητικῶν.

Τὰ δὲ μέσα τε καὶ παθητικὰ, ὁμοίως καὶ ἐπὶ τῶν εἰς ω. Τὸ τοῖ δὲ σχηματισμοῖ κλίσεως προσωπικῆς τῆς ἐγκλίσεων τούτων, τοιοῦτοι.

Τῶν προστακτικῶν ἐνεργητικῶν. τὸ τρίτον τῶν ἑνικῶν ἀπὸ τοῦ ἰδίου δευτέρου προσθέσει τῆς τω. τύπτε, τυπτέτω. πλὴν τῶν εἰς θι ταυτὶ γὰρ οὐ προσθέσει,

γωσιν τοῦ παραλήγοντος φωνήεντος, τὸ δ᾽ εὐκτικὸν γίνεται. πεποιήμην. μεμνήμην. ἀόριστος δὲ ἀπὸ τῆς μετοχικῆς γενικῆς μεταποιήσει τῆς ληγούσης εἰς ην. καὶ ἐξαιρέσει τοῦ κλιτικοῦ ν, καὶ μεταλήψει τοῦ ι εἰς δίφθογγον. τυφθέντος, τυφθείην.

Ὑποτακτικῶν.

Τὰ δὲ ὑποτακτικὰ, ἐνεστῶτος μὲν τοῖς μέσοις ὁμοίως. ἀορίστων δὲ ἀπὸ τοῦ τρίτου τῆς ἀρχῆς. μεταποιήσει τοῦ ληκτικοῦ φωνήεντος εἰς ω. ἐτύφθη. ἐὰν τυφθῶ, καὶ παρακειμένου δὲ ὑποτακτικὸν γίγνοιτ᾽ ἄν, ἐὰν τὸ η καθαρὸν ἔχῃ ὡς εἴρηται. καὶ δίφθογγος οὐ κωλύῃ. τροπῇ τοῦ παραλήγοντος φωνήεντος εἰς ω. πεποίημαι, πεποιῶμαι. μέμνημαι, μεμνῶμαι.

Ἀπαρεμφάτων.

Τὰ δὲ ἀπαρέμφατα ἐνεστῶτος καὶ μέλλοντος ὁμοίως κατὰ τῶν μέσων. Καὶ παρακειμένου δὲ ὅμοιος ὁ σχηματισμός. πλὴν ὅσον τὸ σ οὐ προσλαμβάνεται. τέτυπται γὰρ, τετύφθαι. μεταβολῇ δηλονότι καὶ τοῦ ἡγουμένου ψιλοῦ εἰς δασύ. καθόλου γὰρ τὰ μὲν ψιλὰ ἡγεῖται ψιλῶν, τὰ δὲ δασέα δασέων. Ἀορίστων δὲ ἀπὸ τοῦ πρώτου τῆς ἀρχῆς προσθέσει τοῦ αι τελικοῦ. ἐτύφθην, τυφθῆναι.

Τῶν εἰς μι ἐνεργητικῶν προστακτικῶν.

Τῶν δὲ εἰς μι, τὰ μὲν ἐνεργητικὰ προστακτικὰ, ἀπὸ τῆς μετοχικῆς γενικῆς. ἐξαιρέσει τοῦ κλιτικοῦ ν, καὶ μεταποιήσει τῆς ἐσχάτης εἰς θι. τιθέντος, τίθετι. ἱστάντος, ἵσταθι. διδόντος, δίδοθι. ἢ ἀπὸ τοῦ

λως ἐντεῦθεν γίνοιτο οἰκειότερον. τοῦ δὲ παρα
κειμένου, ὁμοίως τῷ ἐνεργητικῷ. Εὐκτικῶν.

Τ τὰ δὲ εὐκτικὰ, ἀπὸ τοῦ α΄ τῆς ἀρχῆς, τροπῇ τῆς ἐ
σχάτης, εἰς μην. καὶ πρὸ τῆς μην τοῦ ι, εἰς δί
φθογγον προσλαμβανομένου. τύπτομαι, τυπτοί
μην, ἐτυψάμην, τυψαίμην. πλὴν τοῦ παρακειμένου
οὐδὲ γὰρ ὁμοίως τῷ ἐνεργητικῷ. Ὑποτακτικῶν.

Τ τὰ δὲ ὑποτακτικὰ, ἀπὸ τοῦ πρώτου εἰς μαι τῆς παρα
ληγούσης τῶν ἀρχῶν ἐφ' ὧν τὸ μ κλιτικὸν μεταβαλ
λούσης εἰς ω. τύπτομαι. ἐὰν τύπτωμαι. ἐτυψά
μην, ἐὰν τύψωμαι. Ἀπαρεμφάτων,

Τ τὰ δὲ ἀπαρέμφατα, ἀπὸ τοῦ γ΄ τῆς ἀρχῆς. μετα
ποιήσει τῆς ἐσχάτης εἰς σθαι. τύπτεται, τύπτεσθαι.
ἐτύψατο, τύψασθαι. πλὴν τοῦ παρακειμένου. οὐδὲ
γὰρ ὁμοίως τῷ ἐνεργητικῷ.

Παθητικῶν προστακτικῶν.

Τ τὰ δὲ παθητικὰ, τοῦ μὲν ἐνεστῶτος ὁμοίως καὶ ἐπὶ τῶν
μέσων. τοῦ δ' ἀορίστων ἀμφοτέρων, ἀπὸ τοῦ τρίτου
προσλήψει τῆς θι. ἐτύπη, τύπηθι. ἐφ' ὧν γε μὴν
τὸ αὐτὸ δασὺ ἡγεῖται. οὐ τὸ θ, ἀλλὰ τὸ τ προσ
λαμβάνεσθαι συμβαίνει. ἐτύφθην. τύφθητι. διὰ
τὸ δύσφωνον. τοῦ δὲ ὑπερσυντελίκου ἀπὸ τοῦ β΄.
ἐτέτυψο, τέτυψο. Εὐκτικῶν.

Τ τὰ δὲ εὐκτικὰ ἐνεστῶτος μὲν καὶ μέλλοντος ὁμοίως
καὶ ἐπὶ τῶν μέσων. παρακειμένου δὲ οὐκ ἔτι ἐὰν σύμ
φωνον ᾖ πρὸ τοῦ μαι. μὴ ὄντος δὲ καὶ διφθόγγου μη
δὲ μιᾶς κωλυούσης, προσλήψει τοῦ ι ὡς ἀποδιφθόγ

τύπτοντες, τύπτοιμι. τύψαντος, τύψαιμι. πετυφότος, πετύφοιμι. τυπόντος, τύποιμι. τυποῦντος τυποῖμι. Τῶν δὲ συνηρημένων τὰ εὐκτικὰ, καὶ τροπῇ τῆς μι εἰς ην αἰολικῶς λέγεται. ὡς εἴρηται πρότερον, ἀξιοῖμι, ἀξιοίην. τὸ δὲ, ἀξιῴην, καὶ βιῴην, δωρικὸν, τροπῇ τῆς οι εἰς ῳ. αἰολικὸν δὲ καὶ τὸ τύψειας. τύψειε. τύψειαν.

Τῶν ὑποτακτικῶν.

Τὰ δὲ ὑποτακτικὰ, ἀπὸ τοῦ πρώτου προσώπου τῶν ἰδίων ἀρχῶν. μεταποιήσει τῆς ἐσχάτης εἰς ω, ἔτυπτον, ἐὰν τύπτω. ἔτυψα, ἐὰν τύψω, πέτυφα, ἐὰν πετύφω.

Τῶν ἀπαρεμφάτων.

Τὰ δὲ ἀπαρέμφατα, ἐνεστῶτος μὲν ὄντα καὶ μέλλοντος πρώτου, ἀπὸ τοῦ τρίτου προσώπου τῆς ἀρχῆς προσθέσει τοῦ ν. τύπτει. τύπτειν. τύψει. τύψειν. καὶ παρακειμένου ἀπὸ τοῦ αὐτοῦ προσθέσει τῆς ναι. τέτυφε, τετυφέναι. ἀόριστος δὲ πρῶτος ἀπὸ τοῦ πρώτου προσθέσει τοῦ ι ἔτυψα, τύψαι. καὶ δευτέρου δὲ ἀπὸ τοῦ αὐτοῦ μεταποιήσει τῆς ἐσχάτης εἰς ειν. ἔτυπον, τυπεῖν. ὁ αὐτὸς δ' ἄρα τρόπος καὶ τοῦ δευτέρου μέλλοντος. μεταποιήσει τῆς ἐσχάτης εἰς ειν. τυπῶ, τυπεῖν.

Τῶν μέσων.

Τὰ δὲ μέσα προστακτικὰ, τοῦ μὲν παρατατικοῦ καὶ δευτέρου ἀορίστου, ἀπὸ τοῦ δευτέρου τῆς ἀρχῆς. ἐτύπτου, τύπτου. ἐτύπου, τυποῦ. Τοῦ δὲ πρώτου ἀορίστου, ἀπὸ τοῦ πρώτου ἐξαιρέσει τῆς μην, καὶ προσθέσει τοῦ ι. ἐτυψάμην, τύψαι. ἢ ὅπως αἱ ἄλ

κοῦ τεθνασοίμην. Τὸ ἀπαρέμφατον, τεθνάσεσθαι. Μετ' ὀλίγον μέλλων. Τὸ ὁριστικὸν, τεθέσομαι, καὶ τἄλλα ὡς ἐπὶ τοῦ τετύψομαι.

Κοινὰ ἁπασῶν τῶν ἐγκλίσεων.

Κοινὸν δ' ἁπασῶν τῶν ἐγκλίσεων, τὸ τὴν αὔξησιν τῆς ἀρχῆς ἐξαιρεῖσθαι. πλὴν τοῦ παρακειμένου. ἔτυπτον, τύπτε, ἔτυψα, τύψον, τύψαιμι. ἐὰν τύψω, τύψαι. Τέτυφα γεμήν. τέτυφε, τετύφοιμι. ἐὰν τετύφω, τετυφέναι. Ὁ δὲ παρατατικὸς, τῷ ἐνεστῶτι συνέζευκται. καὶ ὁ ὑπερσυντέλικος. τῷ παρακειμένῳ ὥστε τοὺς ἀπὸ θατέρων τούτων σχηματισμοὺς κοινὴν καὶ πρὸς θατέρους ἔχειν τὴν σημασίαν. Δῆλον δ' ὅτι καὶ ὁ μέλλοντος παρασχηματισμὸς, οὔτε προστακτικός ἐστιν οὔτε ὑποτακτικός. Σημασία δὲ τούτου ἐν τοῖς ἀπὸ τῶν ἀορίστων.

Σχηματισμοὶ τῶν προστακτικῶν ἐνεργητικῶν.

Γίνεται δὲ τῶν εἰς ω ἐνεργητικῶν, τὰ μὲν προστακτικὰ ἀπὸ τοῦ τρίτου προσώπου τῆς οἰκείας ἀρχῆς. ἔτυπτε, τύπτε. τέτυφε, τέτυφε, ὅτε μὴν πρῶτος ἀόριστος, καὶ τῆς ἐσχάτης μεταποιήσει εἰς ον γίγεται ἔτυψε, τύψον.

Εὐκτικῶν.

Τὰ δὲ εὐκτικὰ ἀπὸ τῆς μετοχῆς γενικῆς μεταποιήσει τῆς ἐσχάτης εἰς μι. καὶ ἐξαιρέσει τοῦ κλιτικοῦ ν, καὶ προσλήψει τοῦ ι εἰς δίφθογγον, ἢ καὶ τροπῇ τῆς ου εἰς οι, ἐν οἷς παραλήγουσα ὑπάρχει.

ρέμφατον, τυπήσεσθαι. Μετ' ὀλίγον μέλλων.
Τ ὁ ὁριστικὸν, πετύψομαι. Τὸ εὐκτικὸν, πετυψοί-
μην. Τὸ ἀπαρέμφατον, πετύψεσθαι.

Ενεργητικὰ ἐνεστώς.

Τ ὁ ὁριστικὸν, τίθημι. Παρατατικὸς, ἐτίθην.
Τ ὁ προστακτικὸν, τίθετι. Τὸ εὐκτικὸν, τιθείην.
Τ ὁ ὑποτακτικὸν, ἐὰν τιθῶ. Τὸ ἀπαρέμφατον, τιθέ-
ναι. Αόριστος α΄. Τὸ ὁριστικὸν, ἔθηκα. καὶ τὰ λ-
λα ὡς ἀπὸ τοῦ ἔτυψα. ἀόριστος β΄. Τὸ ὁριστικὸν ἔθην.
Τ ὁ προστακτικὸν, θέτι καὶ θές. Τὸ εὐκτικὸν, θείην.
Τ ὁ ὑποτακτικὸν, ἐὰν θῶ. Τὸ ἀπαρέμφατον θεῖναι.

Μέσα καὶ παθητικά. ἐνεστώς.

Τ ὁ ὁριστικὸν, τίθεμαι. παρατατικὸς, ἐτιθέμην.
Τ ὁ προστακτικὸν, τίθεσο καὶ τίθου. Τὸ εὐκτικὸν, τι-
θείμην. Τὸ ὑποτακτικὸν, ἐὰν τιθῶμαι.
Τ ὁ ἀπαρέμφατον τίθεσθαι. ἀόριστος δεύτερος.
Τ ὁ ὁριστικὸν, ἐθέμην. Τὸ προστακτικὸν, θέσο καὶ
θοῦ. Τὸ εὐκτικὸν, θείμην. Τὸ ὑποτακτικὸν, ἐὰν
θῶμαι. Τὸ ἀπαρέμφατον, θέσθαι.
παρακείμενος. Τὸ ὁριστικὸν, τέθειμαι. ὑπερσυντέ-
λικος, ἐτεθείμην. Τὸ προστακτικὸν, τέθεισο.
Τ ὁ εὐκτικὸν, τεθείμην. Τὸ ὑποτακτικὸν, ἐὰν τεθῶ-
μαι. Τὸ ἀπαρέμφατον, τεθεῖσθαι. ἀόριστος
α΄. Τὸ ὁριστικὸν, ἐτέθην. Τὸ προστακτικὸν,
τέθητι. Τὸ εὐκτικὸν, τεθείην. Τὸ ὑποτακτι-
κὸν, ἐὰν τεθῶ. Τὸ ἀπαρέμφατον, τεθεῖναι.
Μέλλων α΄. Τὸ ὁριστικὸν, τεθήσομαι. Τὸ εὐκτι-

ψαι. τὸ εὐκτικὸν, τυψαίμην. τὸ ὑποτακτι-
κὸν, ἐὰν τύψωμαι· τὸ ἀπαρέμφατον, τύψα-
σθαι. Παρακείμενος. τὸ ὁριστικὸν, τέτυπα.
ὑπερσυντέλικος, ἐτετύπειν. τὸ προστακτικὸν
τέτυπε. τὸ εὐκτικὸν, τετύποιμι. τὸ ὑποτα-
κτικὸν, ἐὰν τετύπω. τὸ ἀπαρέμφατον, τετυπέ-
ναι. Αόριστος β'. τὸ ὁριστικὸν, ἐτυπόμην.
T ὁ προστακτικὸν, τυποῦ. τὸ εὐκτικὸν, τυποί-
μην. τὸ ὑποτακτικὸν, ἐὰν τύπωμαι. τὸ ἀπα-
ρέμφατον, τυπέσθαι. Μέλλων δεύτερος.
T ὁ ὁριστικὸν, τυποῦμαι. τὸ εὐκτικὸν τυποίμην.
T ὁ ἀπαρέμφατον, τυπεῖσθαι.

Ενεστὼς παθητικῶν,

T ὁ ὁριστικὸν, τύπτομαι. καὶ τἄλλα ὡς εἴρηται.
Παρακείμενος. Τὸ ὁριστικὸν, τέτυμμαι. ὑπερ-
συντέλικος, ἐτετύμμην, τὸ προστακτικὸν, τέ-
τυψο. τὸ ἀπαρέμφατον, τετύφθαι. ἀόριστος.
α'. τὸ ὁριστικὸν, ἐτύφθην. τὸ προστακτικὸν,
τύφθητι. τὸ εὐκτικὸν, τυφθείην. τὸ ὑποτα-
κτικὸν, ἐὰν τυφθῶ. τὸ ἀπαρέμφατον, τυφθῆ-
ναι. ἀόριστος β'. τὸ ὁριστικὸν, ἐτύπην. τὸ προς-
τακτικὸν, τύπηθι. τὸ εὐκτικὸν, τυπείην.
T ὁ ὑποτακτικὸν, ἐὰν τυπῶ. τὸ ἀπαρέμφατον,
τυπῆναι. Μέλλων α'. Τὸ ὁριστικὸν, τυφθήσομαι.
T ὁ εὐκτικὸν, τυφθησοίμην. τὸ ἀπαρέμφατον.
τυφθήσεσθαι. Μέλλων β'. τὸ ὁριστικὸν, τυπή-
σομαι. τὸ εὐκτικὸν, τυπησοίμην. τὸ ἀπα-

Τῆς δ' ἐγκλιτικῆς κλίσεως ἀρχὴ μὲν ἡ ὁριστικὴ ἔγκλισις. αἱ γὰρ ἄλλαι πᾶσαι ἀπ' αὐτῆς ὧδε.

Τὸ ὁριστικὸν, τύπτω. παρατατικὸς, ἔτυπτον.

Τὸ προστακτικὸν, τύπτε. Τὸ εὐκτικὸν, τύπτοιμι.

Τὸ ὑποτακτικὸν ἐὰν τύπτω. Τὸ ἀπαρέμφατον, τύπτειν. Μέλλων α'. Τὸ ὁριστικὸν, τύψω.

Τὸ εὐκτικὸν, τύψοιμι. Τὸ ἀπαρέμφατον, τύψειν. ἀόριστος α'. Τὸ ὁριστικὸν, ἔτυψα.

Τὸ προστακτικὸν, τύψον. Τὸ εὐκτικὸν τύψαιμι.

Τὸ ὑποτακτικὸν, ἐὰν τύψω. Τὸ ἀπαρέμφατον τύψαι. παρακείμενος. Τὸ ὁριστικὸν, τέτυφα. ὑπερσυντέλικος, ἐτετύφειν. Τὸ προστακτικὸν τέτυφε. Τὸ εὐκτικὸν, τετύφοιμι. Τὸ ὑποτακτικὸν, ἐὰν τετύφω. Τὸ ἀπαρέμφατον, τετυφέναι. ἀόριστος β'. Τὸ ὁριστικὸν, ἔτυπον.

Τὸ προστακτικὸν, τύπε. τὸ εὐκτικὸν, τύποιμι. Τὸ ὑποτακτικὸν, ἐὰν τύπω. τὸ ἀπαρέμφατον τυπεῖν. Μέλλων β'. τὸ ὁριστικὸν, τυπῶ.

Τὸ εὐκτικὸν, τυποῖμι. τὸ ἀπαρέμφατον. τυπεῖν.

Ἐνεστώς. Μέσων.

Τὸ ὁριστικὸν, τύπτομαι. παρατατικὸς, ἐτυπτόμην.

Τὸ προστακτικὸν, τύπτου. Τὸ εὐκτικὸν, τυπτοίμην. τὸ ὑποτακτικὸν, ἐὰν τύπτωμαι. τὸ ἀπαρέμφατον, τύπτεσθαι. Μέλλων α'. τὸ ὁριστικὸν, τύψομαι. τὸ εὐκτικὸν, τυψοίμην.

Τὸ ἀπαρέμφατον, τύψεσθαι. Ἀόριστος α'.

Τὸ ὁριστικὸν, ἐτυψάμην. τὸ προστακτικὸν, τύ-

ν καὶ τροπῇ τοῦ ο, εἰς ε, τίθετον, τίθετε.

Τὸ τρίτον ἀπὸ τοῦ τρίτου τῶν δυϊκῶν ἐξαιρέσει τοῦ ν. καὶ μεταποιήσει τῆς το εἰς σι, καὶ παρενθέσει τοῦ α. τίθετον, τιθέασι. δίδοτον, διδόασι. τὸ δὲ ἱστᾶσι, καὶ ἱᾶσι, καὶ τὰ ὅμοια, ἐκ συναιρέσεως. Τοῦ δὲ παρατατικοῦ καὶ δευτέρου ἀορίστου, ὁμοίως τοῖς παρατατικοῖς, καὶ δευτέροις ἀορίστοις τῶν εἰς ω ῥημάτων. ἐτίθην, ἐτίθης. ἔθην, ἔθης. πλὴν ὅσον ἐνταῦθα ἡ τῶν ἑνικῶν παραλήγουσα συστέλλεται ἐπὶ τῶν δυϊκῶν καὶ πληθυντικῶν ὡς εἴρηται. Αὐτῶν δὲ τῶν εἰς μι ὁ σχηματισμὸς ὡς ἁπλῶς εἰπεῖν κατὰ ἀναδιπλασιασμὸν ἐκ τοῦ ἀρκτικοῦ συμφώνου. καὶ τοῦ ι. εἰ μὴ τὸ τῆς προφορᾶς δύσφθεγκτον κωλύοι. δῶ, δίδωμι. θῶ, τίθημι. στῶ μέντοι γε ἵστημι. διὰ τὸ δύσφθεκτον.

Μέσα καὶ παθητικά.

Ἐπὶ δὲ τῶν μέσων τε καὶ παθητικῶν ὁριστικῶν, τὸ μὲν τοῦ ἐνεστῶτος καὶ παρακειμένου δεύτερον. ἀπὸ τοῦ πρώτου. μεταβολῇ τῆς μαι εἰς σαι. τίθεμαι, τίθεσαι, τέθειμαι, τέθεισαι.

Τὸ δὲ τοῦ παρατατικοῦ καὶ δευτέρου ἀορίστου μεταποιήσει τῆς ληγούσης εἰς σο. ἐτιθέμην, ἐτίθεσο, ἐθέμην, ἔθεσο. Τὰ δ' ἄλλα πάντα κοινὰ πρὸς τὴν τρίτην. Ἔστι δὲ καὶ εἰς η προφέρειν τὸ δεύτερον τοῦ ἐνεστῶτος, τῶν ἀπὸ τοῦ ε καὶ α τίθεμαι, τίθῃ. ἵσταμαι, ἵστῃ.

Κλίσις ἐγκλιτικὴ ἐνεργητικῶν.

πέπλεχαι, τέτυφαται. πέπληκται, πεπλέχαται.

Καὶ τὰ τοῦ ὑπερσυντελίκου δὲ ὁμοίως τοῖς τοῦ παρακειμένου γίνεται. πλὴν ὅσον φωνῆεν ἐνταῦθα ληκτικὸν τὸ ο. ἔνθα ἐπ' ἐκείνου, τὸ αι. σχηματιστέον δ' ἄρα καὶ τὸ τρίτον τῶν δυικῶν τούτου εἰς θην. ἀπὸ τοῦ δευτέρου. καθόλου γὰρ τηνικαῦτα μόνον τὸ δεύτερον καὶ τρίτον τῶν δυικῶν ἀλλήλοις ὁμοφωνεῖτον ἡνίκα τὸ τρίτον τῶν πληθυντικῶν εἰς ι. ἢ εἰς αι λήγει.

Ἴδιον δὲ τῆς πέμπτης. Ἐνεργητικῶν ἐνεστώς.

Ἴδιον δὲ τῆς πέμπτης τὸ ἐπὶ τῶν ὁριστικῶν ἐνεργητικῶν τὸ μὲν δεύτερον πρόσωπον τοῦ ἐνεστῶτος γίνεσθαι ἀπὸ τοῦ πρώτου ἀφαιρέσει τοῦ ι. καὶ τροπῇ τοῦ μ εἰς σ. τίθημι, τίθης. Τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου, προσθέσει τοῦ ι, τίθης, τίθησι.

Τῶν δὲ δυικῶν τὸ δεύτερον καὶ τρίτον ἀπὸ τοῦ δευτέρου τῶν ἑνικῶν, τροπῇ τοῦ σ εἰς τ. καὶ προσθέσει τοῦ ον. καὶ μεταβολῇ τῆς παραληγούσης εἰς τὸ παραλῆγον φωνῆεν τοῦ ῥήματος, ὅθεν αὐτὸ παρεσχημάτισται τὸ εἰς μι. τιθέω, τίθημι, τίθης, τίθετον. ἱστάω, ἵστημι, ἵστης, ἵστατον. διδόω, δίδωμι, δίδως, δίδοτον. Τῶν δὲ πληθυντικῶν τὸ μὲν πρῶτον ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν μεταποιήσει τῆς ληγούσης εἰς μεν. καὶ μεταβολῇ τῆς παραληγούσης ὡς εἴρηται. τίθημι, τίθεμεν. Τὸ δὲ δεύτερον ἀπὸ τοῦ δευτέρου τῶν δυικῶν ἐξαιρέσει τοῦ

ν καὶ

τῇ τροπῇ τοῦ κλιτικοῦ μ εἰς σ. ἤτοι ἐνεργείᾳ, ἢ δυνάμει. ὧν γὰρ ὁ μέλλων διὰ τοῦ ψ. ἢ ξ. τούτων ὁ σχηματισμὸς τῷ αὐτῷ δευτέρῳ γίνεται. πέπλεγμαι, πέπλεξε. τέτυμμαι. τέτυψαι. Τὸ τρίτον ἀπὸ τοῦ δευτέρου τροπῇ τοῦ σ εἰς τ. ὅπως ἂν ἔχῃ, εἴτ' ἐνεργείᾳ. εἴτε δυνάμει. σύνεστι δ' ἐνεργείᾳ καὶ τὰ πρότερον δυνάμει σὺν αὐτῷ θεωρούμενα ἐν τῷ δευτέρῳ· οἷον τὸ π ἢ κ. τέτυψαι, τέτυπται, πέπλεξαι, πέπλεκται. ἔσπαρσαι, ἔσπαρται. καὶ τὸ σ δὲ, προσλαμβάνεται εὐλόγως. ἢν τοῦ πρώτου ἡ λήγουσα τῷ σμ συλλαβίζηται. ἤκουσμαι, ἤκουσαι. ἤκουσται. Τῶν δυϊκῶν τὸ πρῶτον, ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν, ὁμοίως τῷ ἐνεστῶτι, καὶ τὸ δεύτερον καὶ τρίτον ὁμοφώνως ἀπὸ τοῦ δευτέρου μεταποιήσει τῆς ληγούσης εἰς σθον. ἐν οἷς δηλονότι τὸ σ ἐνεργείᾳ. ἤκουσαι, ἤκουσθον. ἐν οἷς δὲ δυνάμει οὐ τὸ σ, ἀλλ' ἢ τὸ φ πρὸ τοῦ θ συλλαβιστέον. ἐὰν τὸ ψ ᾖ, τέτυψαι· τέτυφθον. ἢ τὸ χ ἐὰν τὸ ξ. πέπλεξαι, πέπλεχθον. Τῶν πληθυντικῶν, τὸ α΄ ἀπὸ τοῦ πρώτου τῶν δυϊκῶν μεταποιήσει τῆς ἐσχάτης εἰς θα ὁμοίως τῷ ἐνεστῶτι. τετύμμεθον, τετύμμεθα. τὸ δὲ δεύτερον, ἀπὸ τοῦ δευτέρου ἐκβολῇ τοῦ ν, καὶ τροπῇ τοῦ ο εἰς ε. τέτυφθον, τέτυφθε.

Τὸ τρίτον κοινῶς μὲν γενέσθαι, οὐχ οἷόν τε ἔνθα τὸ τρίτον τοῦ ἑνικοῦ συλλαβῇ λήγῃ δισυμφώνῳ· ἰωνικῶς δὲ ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν τροπῇ τοῦ ψιλοῦ ἐν οἷς αὐτῇ, εἰς δασὺ καὶ παρενθέσει τοῦ α. τέτυ-

καὶ δευτέρου ἀορίστου κοινόν, τὸ γὰρ δεύτερον τῶν ἑνικῶν γίνεσθαι ἀπὸ τοῦ πρώτου· ἐξαιρέσει τοῦ μ καὶ ν καὶ τροπῇ τοῦ η εἰς ε, καὶ διφθογγώσει τοῦ ο καὶ ε εἰς ου. ἐτυπτόμην, ἐτύπτοε ἐτύπτου. Τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου διαλύσει τῆς ου, εἰς εο, καὶ παρενθέσει τοῦ τ. ἐτύπτεο, ἐτύπτετο. Τὰ δ᾽ ἄλλα ὁμοίως κατὰ τοῦ ἐνεστῶτος. πλὴν ὅσον τῶν δυικῶν τὸ δεύτερον καὶ τρίτον οὐχ ὁμοφωνεῖτον. ἀλλὰ τὸ τρίτον ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν, μεταποιήσει τῆς ληγούσης εἰς σθην. ἢ ἀπὸ τοῦ ἰδίου δευτέρου. ἐτύπτετο, ἐτύπτεσθον, ἐτυπτέσθην. Τοῦ δὲ πρώτου ἀορίστου, τὸ μὲν δεύτερον τῶν ἑνικῶν ἀπὸ τοῦ πρώτου ἐξαιρέσει τοῦ μ καὶ ν, καὶ μεταβολῇ τοῦ η εἰς ε, καὶ τούτου πάλιν εἰς ο, καὶ συναιρέσει τοῦ α καὶ ο εἰς ω, ἐτυψάμην, ἐτύψαο, ἐτύψω. Τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου ἀναλύσει τῶν συνημμένων, καὶ παρενθέσει τοῦ τ. ἐτύψαο, ἐτύψατο. τὰ δ᾽ ἄλλα ὁμοίως τῷ δευτέρῳ ἀορίστῳ. πλὴν ὅσον ἐκεῖ μὲν τὸ παραλῆγον ο μεταβάλλει εἰς ε. καὶ τὸ ε πάλιν εἰς ο. ἐνταῦθα δὲ τὸ α ἀμετάβλητον μένει πάντα.

Παθητικῶν.

Τῶν δὲ παθητικῶν ὁ μὲν ἐνεστώς, καὶ οἱ μέλλοντες ἄμφω, τῷ ἐνεστῶτι τῶν μέσων συμφέρονται. ὁ δὲ παρατατικὸς τῷ παρατατικῷ. οἱ δὲ ἀόριστοι τῷ ὑπερσυντελίκῳ. ὁ δὲ παρακείμενος καὶ ὑπερσυντέλικος ἰδίαν εἰλήχασι κατατομήν. Τοῦ μὲν γὰρ παρακειμένου τὸ δεύτερον ἀπὸ τοῦ πρώτου. τρό-

ἑνικῶν γίνεσθαι ἀπὸ τοῦ πρώτου· ἐξαιρέσει τοῦ μ. καὶ τροπῇ τοῦ ο εἰς ε. καὶ κράσει τοῦ ε καὶ αι εἰς η. τύπτομαι, τύπτῃ. πλὴν τοῦ οἴομαι. βούλομαι. ὄψομαι. τούτων γάρ τοι τὸ δεύτερον, ἐξαιρέσει τοῦ α. καὶ συναιρέσει τοῦ ἐκ μεταβολῆς ε. καὶ τοῦ ι. εἰς ει. οἴει. βούλει. ὄψει. Τὸ δὲ τρίτον, ἀπὸ τοῦ δευτέρου. ἀναλύσει τῶν κεκραμένων. καὶ παρενθέσει τοῦ τ τύπτεαι, τύπτεται. Τῶν δυϊκῶν, τὸ μὲν πρῶτον ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν μεταποιήσει τῆς ληγούσης, εἰς μεθον. τύπτομαι, τυπτόμεθον. τὸ δὲ δεύτερον καὶ τρίτον ὁμοφωνεῖτον. καὶ ἀπὸ τοῦ τρίτου γίνεσθον μεταποιήσει τῆς ἐσχάτης εἰς σθον. τύπτεται, τύπτεσθον. Τῶν δὲ πληθυντικῶν, τὸ μὲν πρῶτον. ἀπὸ τοῦ πρώτου τῶν δυϊκῶν μεταποιήσει τῆς ληγούσης εἰς θα. τυπτόμεθον, τυπτόμεθα. Τὸ δὲ δεύτερον ἀπὸ τοῦ δευτέρου. μεταποιήσει τῆς ἐσχάτης εἰς σθε. τύπτεσθον, τύπτεσθε. Τὸ δὲ τρίτον, ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν τροπῇ τοῦ παραλήγοντος ε, εἰς ο, καὶ προσλήψει τοῦ ν. τύπτεται, τύπτονται. Κοινὰ δὲ ταῦτα καὶ πρὸς τὸν δεύτερον μέλλοντα. πλὴν ὅσον ἐπὶ τούτου τὸ δεύτερον τῶν ἑνικῶν. καὶ ἐξαιρέσει τοῦ υ γίνεται. τυποῦμαι, τυπέαι, τυπῇ. μαχοῦμαι, μαχέαι, μαχῇ. καὶ τὸ τρίτον, προσλήψει τοῦ ι εἰς δίφθογγον. τυπέαι, τυπεῖται. καὶ ἐπὶ τὸ τρίτον τῶν πληθυντικῶν τροπῇ τῆς ει διφθόγγου εἰς ου τυποῦνται. Τοῦ δὲ παρατατικοῦ

Τ οῦ δὲ ὑπερσυντελίκου, τὸ μὲν δεύτερον ἀπὸ τοῦ πρώτου· τροπῇ τοῦ ν εἰς σ, ἐτετύφειν, ἐτετύφεις.

Τ ὰ δ᾽ ἄλλα πάντα ὁμοίως τοῖς τοῦ δευτέρου ἀορίστου. πλὴν τοῦ μηδὲν ἐνταῦθα μεταβάλλειν τῶν φωνηέντων, καὶ τῶν πληθυντικῶν, τὸ τρίτον γίνεσθαι ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν· προσθέσει τῆς σαν ἐτετύφει, ἐτετύφεισαν.

Δ ῆλον οὖν ὅτι τοῦ ἐνεστῶτος, καὶ ἀμφοῖν τοῖν μελλόντοιν· καὶ τοῦ παρακειμένου τῶν ἐνεργητικῶν, ἴδιον πρὸς τοὺς ἄλλους χρόνους, τὸ τὰ β΄ καὶ τρίτα τῶν δυϊκῶν ἀλλήλοις ὁμοφωνεῖν· διὸ καὶ λέγεται ὡς ἐὰν εἰς σι λήγῃ τὰ τρίτα τῶν πληθυντικῶν, ὁμοφωνεῖν τὰ δεύτερα καὶ τρίτα τῶν δυϊκῶν· συμβαίνει δὲ καὶ ἰσοσύλλαβα καὶ ὁμόφωνα εἶναι τὰ τρίτα τῶν πληθυντικῶν τοῖς πρώτοις τῶν ἑνικῶν τοῦ παρατατικοῦ καὶ ἀμφοτέρων τῶν ἀορίστων.

Κ αθόλου γὰρ τῶν ἐνεργητικῶν παρῳχημένων, οἷς ἡ μετοχὴ οὐκ εἰς σ ὀξυτονούμενον λήγει, τούτοις τὰ τρίτα τῶν πληθυντικῶν ληκτικὴν ἔχει τὴν τῆς μετοχῆς γενικῆς παραληκτικὴν συλλαβήν· οἷον ὁ τύπτων, τοῦ τύπτοντος, ἔτυπτον· ὁ τύψας, τοῦ τύψαντος, ἔτυψαν.

Τῶν μέσων.

Τ ῶν δὲ μέσων ὁριστικῶν, ὁ μὲν παρακείμενος, καὶ ὑπερσυντέλικος, συμφέρονται τοῖς ἐνεργητικοῖς ὁμωνύμοις. Ἐνεστὼς καὶ μέλλων.

Ε νεστῶτος δὲ καὶ μέλλοντος κοινὸν, τὸ δεύτερον τῶν

Τὸ δὲ δεύτερον ἀπὸ τοῦ δευτέρου τῶν δυϊκῶν ὁμοίως, ὡς καὶ ἐπὶ τοῦ ἐνεστῶτος. Τὸ δὲ τρίτον, ὁμοφώνως τῷ πρώτῳ τῶν ἑνικῶν. Τὸ ἤλθοσαν, καὶ ἐμάθοσαν χαλκιδικῆς διαλέκτου ἐστὶ παρεσχηματισμένα, πρὸς τὸ ἔδοσαν.

Κοινὰ πρώτου ἀορίστου καὶ παρακειμένου.

Τοῦ δὲ πρώτου ἀορίστου καὶ παρακειμένου κοινὸν, τὸ τὸ μὲν δεύτερον τῶν ἑνικῶν, ἀπὸ τοῦ πρώτου γίνεσθαι. προσθέσει τοῦ σ. ἔτυψα, ἔτυψας. τέτυφα, τέτυφας. Τὸ δὲ τρίτον, ἐξαιρέσει τοῦ σ, καὶ τροπῇ τοῦ α εἰς ε ἔτυψε, τέτυφε. Τῶν δὲ δυϊκῶν τὸ μὲν δεύτερον ἀπὸ τοῦ δευτέρου τῶν ἑνικῶν. μεταποιήσει τῆς ἐσχάτης εἰς ατον. ἔτυψας, ἐτύψατον. τέτυφας, τετύφατον. Τὸ δὲ τρίτον οὐκ ἔτι κοινόν. ἀλλὰ τὸ μὲν παρακειμένου ὁμόφωνον τῷ ἰδίῳ δευτέρῳ. Τὸ δὲ ἀορίστου ἀπὸ τοῦ ἰδίου δευτέρου, μετακινήσει τῆς ἐσχάτης εἰς την. ἐτύψατον, ἐτυψάτην. Τῶν δὲ πληθυντικῶν. τὸ μὲν πρῶτον κοινὸν ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν. προσθέσει τῆς μεν, ἔτυψα, ἐτύψαμεν. τέτυφα, τετύφαμεν.

Τὸ δὲ δεύτερον, ἀπὸ τοῦ δευτέρου τῶν δυϊκῶν, ὁμοίως ὡς καὶ ἐπὶ τοῦ ἐνεστῶτος. Τὸ δὲ τρίτον, οὐκ ἔτι κοινόν. ἀλλὰ τὸ μὲν παρακειμένου, ἀπὸ τοῦ τρίτου τῶν δυϊκῶν, μεταβολῇ τῆς ἐσχάτης εἰς σιν. τετύφατον, τετύφασιν. Τὸ δὲ ἀορίστου, ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν. προσθέσει τοῦ ν. ἔτυψα, ἔτυψαν.

Τὸ δὲ τρίτον ὁμοφώνως τῷ δευτέρῳ. Τῶν πληθυντικῶν τὸ μὲν πρῶτον, ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν· τροπῇ τοῦ ω εἰς ο· καὶ προσθέσει τῆς μεν. τύπτω τύπτομεν. Τὸ δὲ δεύτερον, ἀπὸ τοῦ δευτέρου τῶν δυϊκῶν, μεταποιήσει τῆς ἐσχάτης εἰς τε· τύπτετον, τύπτετε. Τὸ δὲ τρίτον, ἀπὸ τοῦ τρίτου τῶν δυϊκῶν, μεταποιήσει εἰς ουσι, τύπτετον τύπτουσι· ἐφέλκεται δὲ ἀεὶ καὶ τὸ ν· τύπτουσιν· καθόλου γὰρ τὰ εἰς ι ἢ εἰς ε λήγοντα τρίτα πρόσωπα, ἐφέλκεται τὸ ν ἀττικῶς· καὶ φωνήεντος καὶ συμφώνου ἐπιφερομένου. ἴωνες δὲ ἄνευ τοῦ ν προφέρουσι· σημεῖον δὲ τὸ ἠτίμησ᾽ ἀρητῆρα· καὶ ἔαθ᾽ ὅτι.

Κοινὰ δὲ ταῦτα καὶ πρὸς τὸν δεύτερον μέλλοντα· πλὴν ὅσον ἐπ᾽ ἐκείνου ἐξαίρεσις τοῦ ι, οὐ γίνεται τοῦ δευτέρου τῶν δυϊκῶν· ἀλλὰ τοῦ τρίτου τῶν πληθυντικῶν· ἤτοι ἐξαίρεσις, ἢ μετάθεσις· τυπεῖς γὰρ τυπεῖτον, τυποῦσιν.

Παρατατικὸς καὶ δεύτερος ἀόριστος.

Τοῦ δὲ παρατατικοῦ καὶ δευτέρου ἀορίστου, τὸ μὲν δεύτερον τῶν ἑνικῶν, ἀπὸ τοῦ πρώτου προσώπου· τροπῇ τοῦ ον εἰς ες· ἔτυπτον, ἔτυπτες· τὸ δὲ τρίτον, ἀπὸ τοῦ δευτέρου ὡς εἴρηται. Τῶν δὲ δυϊκῶν, τὸ μὲν δεύτερον, ἀπὸ τοῦ δευτέρου τῶν ἑνικῶν· μεταποιήσει τῆς ἐσχάτης εἰς ετον. Τὸ δὲ τρίτον, ἀπὸ τοῦ τρίτου· προσθέσει τῆς την. Τῶν δὲ πληθυντικῶν, τὸ μὲν πρῶτον, ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν· παρενθέσει τῆς με· ἔτυπτον, ἐτύπτομεν.

τικός, ἀπὸ τοῦ παρατατικοῦ· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων συζυγιῶν· ἐτίθην, ἐτιθέμην. Ὡσαύτως δὲ καὶ ὁ τῶν μέσων πρῶτος, καὶ δεύτερος ἀόριστος, ἀπὸ τῆς συζυγῶν· ἔθηκα, ἐθηκάμην· ἔθην, ἐθέμην.

Ὁ δὲ τῶν παθητικῶν παρακείμενος, ἀπὸ τοῦ συνδιαθέτου ἐνεστῶτος, τροπῇ τῆς περὶ τὸν ἀναδιπλασιασμὸν ι εἰς ε· τίθεμαι, τέθειμαι· δίδομαι, δέδομαι· ἵσταμαι, ἕσταμαι. Ὁ δ' ἀόριστος, ἀπὸ τοῦ παρακειμένου ὡς ἐπὶ τῆς τρίτης· δέδομαι, ἐδόθην· τέθειμαι, ἐθέθην· ἐτέθην δὲ, διὰ τὸ δύσφθεγκτον.

Κλίσις προσωπικὴ τῶν εἰς ω ἐνεργητικῶν.

Τῆς δὲ προσωπικῆς κλίσεως, τρόπος μὲν ὁ αὐτὸς περὶ τὰς τέσσαρας τῶν εἰς ω ῥημάτων συζυγιῶν· διαφορὰ δὲ κατὰ τοὺς χρόνους. οἱ μὲν γὰρ, ὁμοίως προσωποκλινοῦνται· οἱ δὲ διαφόρως. τὸ μέντοι ὅθεν ἅπασι τὸ αὐτὸ, καθ' ἑκάστην διάθεσιν.

Κοινὸν μὲν οὖν ἐνεστῶτος καὶ μέλλοντος πρώτου τῆς ὁριστικῆς τῶν ἐνεργητικῶν ἐγκλίσεως, τὸ μὲν δεύτερον τῶν ἑνικῶν πρόσωπον, γίνεσθαι ἀπὸ πρώτου, μεταποιήσει τῆς ἐσχάτης εἰς εις· τύπτω, τύπτεις· τύψω, τύψεις· τὸ δὲ τρίτον, ἀπὸ τοῦ δευτέρου, ἐξαιρέσει τοῦ σ· τύπτει, τύψει.

Τῶν δὲ δυϊκῶν τὸ μὲν δεύτερον, ἀπὸ τοῦ δευτέρου τῶν ἑνικῶν, μεταποιήσει τῆς ἐσχάτης εἰς ετον· τύπτεις, τύπτετον· τύψεις, τύψετον· τὸ γὰρ πρῶτον ἀπ' οὐδενὸς τῶν ἐνεργητικῶν γίνεται.

Τίθημι, ἐτίθην. ἵστημι, ἵστην. δίδωμι, ἐδίδων. ζεύγνυμι, ἐζεύγνυν. Ἔτι τὸ τὸν πρῶτον ἀόριστον πρὸ τοῦ λη κτικοῦ α τὸ κ ἔχειν συλλαβιζόμενον. πλὴν οὐκ ἐπὶ πάντων, ἀλλ' ἐπὶ τῶν ἀπὸ τῶν ε καὶ ο παρεσχη ματισμένων. Τιθέω, τίθημι. ἔθηκα. διδόω, δίδωμι, ἔδωκα. Εἴρηται δὲ πρότερον καὶ ὅτι τὰ εἰς μι ῥήματα ἐπὶ τῶν παθητικῶν τε καὶ μέσων καὶ δυϊκῶν καὶ πληθυντικῶν συστέλλεται. καί τοι μὴ καθόλου οὖν μὴ δὲ τοῦτο, τίθημαι γὰρ καὶ ἀκάχημαι, καὶ δίζημαι τῷ ποιητῇ εἴρηται. καὶ ἐκίχημεν. καὶ βήτην στήτην, συναντήτην. ὥς τε πλὴν τῶν δυϊκῶν, καὶ πληθυντικῶν, τῶν ἀπὸ τοῦ ἄλφα δευτέρων ἀορίστων λεκτέον. ἔστημεν γὰρ, καὶ ἔστητον, καὶ ἔβημεν, ἔβητον. Κοινόν γε μὴν σχεδόν τι ἁπάντων ἐστὶ τὸ τοιοῦτο. ἡ συστολὴ δὴ αὕτη ἀναλόγως. ὁ γὰρ τοῖς εἰς ω, ο. ἢ εἰς ει, ε. τοῦτο τοῖς εἰς μι. η, ε. ἢ η, α. ἢ ω ο. ἢ υυ. διὸ καὶ εἰς ἕκαστα τῶν βραχέων τούτων ἡ συστολὴ ἑκάστοις δηλονότι εἰς τὸ βραχὺ τῆς ἰδίας ἀρχῆς φωνῆεν, ὅθεν παρῆκται μηκυνόμενον. τιθέω, τίθημι, τίθεμαι. ἱστάω, ἵστημι, ἵσταμαι. διδόω, δίδωμι, δίδομαι. ζευγνύω, ζεύγνυμι, ζεύγνυμαι.

Παθητικῶν καὶ μέσων ἐνεστώς.

Γίνεται μὲν οὖν ἐπὶ τούτων ὁ τῶν παθητικῶν τε καὶ μέσων ἐνεστὼς, ἀπὸ τοῦ ἐνεργητικοῦ παρεντιθεμένου τοῦ α, τῷ ληκτικῷ ι, καὶ συστελλομένης τῆς παραληγούσης, τίθημι, τίθεμαι. Ὁ δὲ παρατα

Ἴδια τῆς τετάρτης.

Τῆς δὲ τετάρτης ἴδιον, τὸ τὸν ἐνεργητικὸν μέλλοντα πρὸ τοῦ ληκτικοῦ ω τὸ σύμφωνον ἔχειν τοῦ ἐνεστῶτος, καὶ βραχὺ παραλήγειν, σπείρω, σπερῶ. καὶ φύρω γε μὴν, φύρσω. καὶ ὄρω, ὄρσω. καὶ φθείρω, φθόρσω. λεγόμενον, εἴρηται δωρικῶς. Ἴδιον δὲ ἔτι καὶ τὸ τὸν α' ἀόριστον τῇ ει μὲν παραλήγειν. εἰ τῷ ε ὁ μέλλων. τῷ η δὲ, εἰ τὸ α μένω, ἔμεινα. ψαλῶ, ἔψηλα. Καὶ τὸ ἀπὸ τοῦ ἐνεργητικοῦ παρακειμένου, καὶ δευτέρου ἀορίστου, μεταβάλλειν εἰς α τὸ τοῦ μέλλοντος παραληκτικὸν ε. σπερῶ, ἔσπαρκα. φθερῶ, ἔφθαρκα. κτενῶ, ἔκτανον. καὶ τὸ, τὸν μέσον παρακείμενον τρέπειν τὴν αι παραλήγουσαν εἰς η. χαίνω, κέχηνα. φαίνω, πέφηνα. Καὶ τὸ ἀπὸ τῶν ληγόντων μὲν εἰς νω. παραληγόντων δὲ τῷ ι ἢ τῇ ει διφθόγγῳ, μὴ τρέπειν τὸ ν, ἀλλ᾽ ἀποβάλλειν. κρίνω, κέκρικα. τείνω, τέτακα. Ἐφ᾽ ὧν δὴ καὶ ὁ παθητικὸς παρακείμενος ἀκολούθως οὐκ ἔχει αὐτὸ τετραμμένον. κέκριμαι. οὐδ᾽ ὁ ἀόριστος ἄτρεπτον, ἐκρίθην. διὰ τὸ δύσφθεγκτον.

Ἴδια τῆς πέμπτης.

Η δὲ πέμπτη ὅτι μὲν τῶν μα ῥημάτων ἐστὶν ἀπὸ τῶν τῆς τρίτης α. ε. ο. υ. παραγομένων. καὶ ὅτι οὐ πάντας ἔχει τοὺς χρόνους, εἴρηται πρότερον.

Ἴδιον δ᾽ ἔχει τὸ ἀπὸ τοῦ ἐνεργητικοῦ ἐνεστῶτος τὸν παρατατικὸν γίνεσθαι. ἐξαιρέσει τοῦ ι καὶ τροπῇ τοῦ μ εἰς ν.

εἰς τὰ δασέα καὶ μέσα, ἐνταῦθα τὸ σ ἢ τὸ αὐτὸ οὐ φυλάττεται, ἢ εἰς κ μεταβάλλει, ἢ παντελῶς ἐκλείπει. Μεταβάλλει μὲν γὰρ ἀπὸ τοῦ ἐνεργητικοῦ παρακειμένου εἰς κ ἤκουκα. Ἐκλείπει δὲ καὶ φυλάττεται ἀπὸ τοῦ παθητικοῦ παρακειμένου, πεποίημαι. ἤκουσμαι. εἰ μὲν γὰρ τὸ τελικὸν ω τοῦ ἰδίου ἐνεστῶτος καθαρὸν ᾖ, ὡς ἐπὶ τὸ πλεῖστον ἐκλείπει. βοάω, βεβόημαι. τοξεύω, τετόξευμαι. ἐπ᾽ ἐνίων μέντοι καὶ σώζεται. ἑλκύω, εἵλκυσμαι. ἀκούω, ἤκουσμαι. καὶ τῶν α καὶ ε, ἐφ᾽ ὧν τὸ λ, τὴν παραλήγουσαν συλλαβίζει. γελάω, γεγέλασμαι. τελέω, τετέλεσμαι. Σκεπτέον δὲ βέλτιον. εἰ δὲ μὴ καθαρὸν τὸ τοιοῦτο ω ἀεὶ τὸ σ φυλάττεται. ᾄδω, ᾖσμαι. πείθω, πέπεισμαι. πλάττω, πέπλασμαι. φράζω, πέφρασμαι. Ἀνάγκη δ᾽ ἄρα καὶ τὸν ἀόριστον ἔχειν μὲν τὸ σ ἐφ᾽ ὧν καὶ ὁ παρακείμενος ἔχει ἤκουσμαι ἠκούσθην. μὴ ἔχειν δὲ, ἐφ᾽ ὧν οὐδ᾽ ὁ παρακείμενος. πεποίημαι. ἐποιήθην. Ἴδιον δ᾽ ἐστὶ ταύτης καὶ τὸ τοὺς μέλλοντας τῶν α. ε. ο. ῥημάτων, τροπῇ τοῦ ε, καὶ α εἰς η, καὶ τοῦ ο, εἰς ω προφέρεσθαι. ποιέω, ποιήσω. βοάω, βοήσω, χρυσόω, χρυσώσω. πλὴν τοῦ καλέω, τελέω, ἐπαινέω, φορέω. ξέω. ἀκέομαι. καὶ γελάω. ἐλάω. δράω. περάω. αἰάω. ἰάομαι. κλάω. πετάω. κεράω. σπάω. ἀρόω. ὀμόω. ὀνόω. ἐνόω. βόω. καὶ ἐπαινήσω μέντοι. καὶ φορήσω. καὶ περήσω. καὶ πειρήσω. καὶ ἰήσομαι. τῷ ποιητῇ εἴρηται. ἰωνικῶς.

τοῦ μέλλοντος, ληκτικῷ διπλῷ· ὡς δυνάμει τὸ ψι-λὸν ὄντι. τύψω, τέτυφα, λέξω, λέλεχα.

Καὶ τοῦ παθητικοῦ παρακειμένου πρὸ τοῦ ληκτικοῦ μαι, μεταβάλλειν τὸ τοῦ ἐνεργητικοῦ ἐκεῖνο δασὺ, εἰς τὸ οἰκεῖον μέσον. τέτυφα, τέτυβμαι. διὰ δὲ τὸ ἐπαγόμενον μ, τέτυμμαι. λέλεχα, λέλεγμαι. Καὶ ἐπὶ τοῦ ἀορίστου πάλιν τὸ μέσον εἰς τὸ οἰκεῖον δασύ. τέτυβμαι, ἐτύφθην. λέλεγμαι ἐλέχθην. Διαφέρουσι δὲ ἡ τῆς μὲν πρώτης τὰ ψ. β. φ. τύψω, τέτυφα, τέτυβμαι ἐτύφθην, τῆς δὲ δευτέρας τὰ ξ. χ. γ. λέξω, λέλεχα, λέλεγμαι, ἐλέχθην.

Κοινὸν τρίτης καὶ τετάρτης.

Τῆς δὲ τρίτης καὶ τετάρτης κοινὸν, τὸ τὸν ἐνεργητικὸν παρακείμενον πρὸ τοῦ ληκτικοῦ α ἔχειν τὸ κ συλλαβιζόμενον. βεβασίλευκα, ἔψαλκα, διαφέρουσι δὲ, ἡ μὲν τρίτη αὐτὸ ἔχει πρὸ τοῦ σ, βασιλεύσω, βεβασίλευκα. ἡ δὲ τετάρτη, προσθέσει. ψαλῶ, ἔψαλκα. Τρέπεται δ' ἐπὶ τῆς τετάρτης καὶ τὸ πρὸ τοῦ ληφθέντος κ συμφώνου ν, εἰς γ, διὰ τὸ ἐπαγόμενον κ, ῥανῶ, ἔρραγκα. καὶ τὸ παθητικὸν ἔρραμαι διὰ τὸ ἐπαγόμενον μ. ὁ μέντοι ἀόριστος πάλιν τὸ ν ἔχει ἐρράνθην.

Ἴδιον δὲ τῆς τρίτης καὶ τὸ ἐπὶ τοῦ ἐνεργητικοῦ μέλλοντος ἐνεργείᾳ ἔχειν τὸ σ. ἔνθα αἱ πρότεραι δυνάμει τὸ αὐτὸ ἔχουσιν. ἀκούσω, ποιήσω. καὶ ὅλως δι' ἐφ' ὧν ταῖς προτέραις ἡ τοῦ διπλοῦ μεταβολὴ

καὶ σὺν αὐξήσει συλλαβικῇ ἂν ἀπὸ συμφώνου τυγχάνῃ ἀρχόμενος, τέτυμμαι, ἐτετύμμην. ὅλως τῆς αὐξήσεως ἐστὶ δεικτικός. καὶ ἀπὸ φωνήεντος σὺν ὁ παρακείμενος, τὴν μέσην αὐξάνεσθαι, εἰ δυνατὸν χρή. ἔοικα, ἐῴκειν. ἔολπα, ἐώλπειν.

Ἀόριστος α΄. Καὶ τὸν πρῶτον δὲ ἀόριστον ἀπὸ τοῦ αὐτοῦ παρακειμένου, μεταβολῇ τῆς ἐσχάτης εἰς θην, καὶ ἀποβολῇ τῆς συλλαβικῆς αὐξήσεως. ἐν οἷς δῆλον ὅτι ὑπάρχει. ἀεὶ δὲ σὺν αὐξήσει ἤτοι συλλαβικῇ ἢ χρονικῇ. τέτυπται ἐτύφθην. ὥρισται, ὡρίσθην. γίγνοιτο δ᾽ ἂν καὶ ἀπὸ τοῦ πρώτου τῶν ἐνεργητικῶν καθόλου, εἰ τὸ σ ἐν παντὶ μέλλοντι. μεταβολῇ γὰρ τῆς σα εἰς θην καὶ τοῦ ὑπάρχοντος ψιλοῦ εἰς τὸ οἰκεῖον δασύ. ἔτυψα, ἐτύφθην. ἔψαλα, ἐψάλθην. Μετ᾽ ὀλίγον μέλλων.

Καὶ ἔτι τὸν μετ᾽ ὀλίγον μέλλοντα ἀπὸ τοῦ δευτέρου προσώπου, προσθέσει τοῦ ομ. τέτυψαι, τετύψομαι. πέπλεξαι. πεπλέξομαι. Μέλλων α΄, καὶ β΄.

Τὸν δὲ πρῶτον καὶ δεύτερον μέλλοντα ἀπὸ τῶν συστοίχων ἀορίστων προσλήψει τοῦ ομαι. καὶ ὑφαιρέσει τῆς αὐξήσεως. ἐτύφθης, τυφθήσομαι. ἐτύπης, τυπήσομαι.

Κοινὸν πρώτης καὶ δευτέρας.

Τῆς δὲ πρώτης καὶ δευτέρας κοινόν, τὸ ἐπὶ τοῦ ἐνεργητικοῦ μέλλοντος δυνάμει ἔχειν τὸ σ ἐν τῷ δευτέρῳ. κατὰ τὸ τοῦ παρακειμένου τὸ ληκτικὸν α ἔχειν συλλαβιζόμενον τῷ δασεῖ τῷ ἀντιστοιχοῦντι τῷ

ρὸν τὸ ῥῆμα. καλείσθω δὲ τὸ σύμπαν χαρακτηριστικόν. τέτυφα, τέτυπα. ἔψαλκα, ἔψαλα. ἤκουκα, ἤκουα. καὶ δύο σύμφωνα ἢ ἤτοι ἐνεργείᾳ, ἢ δυνάμει διὰ τὸ δηλοῦν τὸ μᾶλλον χαρακτηριστικὸν τῆς συζυγίας λαμβάνεσθαι. τύπτω, τέτυπα. φράζω, πέφραδα. πήττω, πέπηγα. ἐὰν τὸ δὲ μέλλων παραλήγει τὸ ε ἢ μόνῳ, ἢ σὺν τῷ ι. μεταβολῇ τοῦ τοιούτου ε εἰς ο τὴν παραλήγουσαν γίνεσθαι. πείσω, πέποιθα. φθερῶ, ἔφθορα. ἔλπω, ἔολπα. τοιοῦτο δὲ καὶ τὸ εἴωθα, καὶ εἶκα, καὶ ἔοικα.

A τὸ δὲ τοῦ ὑπερσυντελίκου τὸν ὑπερσυντέλικον μεταλαμβάνοντα τὸ χαρακτηριστικὸν ἐτετύφειν, ἐτετύπειν. ἠκούκειν, ἠκούειν. ἐψάλκειν, ἐψάλειν.

A τὸ δὲ τοῦ δευτέρου μέλλοντος. τὸν δεύτερον μέλλοντα. μεταβολῇ τοῦ ω εἰς ου, καὶ προσλήψει τῆς μαι. τυπῶ, τυποῦμαι. H

Σχηματισμοὶ τῶν παθητικῶν χρόνων.

E ἐπὶ δὲ τοῦ ὁριστικοῦ παθητικοῦ κοινὸν, τὸν μὲν ἐνεστῶτα καὶ παρατατικὸν ἀπὸ τῶν ὁμωνύμων γίνεσθαι ἐ- T
νεργητικῶν ὁμοίως τοῖς μέσοις. γράφω, γράφομαι, ἔγραφον, ἐγραφόμην. Καὶ τὸν παρακείμενον ἀπὸ τοῦ παρακειμένου τροπῇ τῆς ἐσχάτης εἰς μαι. τέτυφα, τέτυμμαι. πεποίηκα, πεποίημαι. Καὶ ἔτι τὸν δεύτερον ἀόριστον ἀπὸ τοῦ τοιού- T
του. μεταβολῇ τῆς ἐσχάτης εἰς ην. ἔτυπον, ἐτύπην. Τὸν δὲ ὑπερσυντέλικον ἀπὸ τοῦ συστοίχου παρακειμένου μεταβολῇ τῆς ἐσχάτης εἰς μην.

λήγων δὲ ἐνεστὼς δισύλλαβος τυγχάνει, ἀμεταβό-
λου δηλονότι, ἢ προηγουμένου ἢ ἐπιφερομένου, ὡς
ἐπιτοπλεῖστον. μεταβολῇ τοῦ ε εἰς α. πέρθω, ἔπαρ-
θον. δέρκω, ἔδαρκον. σπείρω, ἔσπαρον. φθείρω, ἔφ-
θαρον. τὸ δὲ ἤγαγον, καὶ ἐπέπληγον. κατὰ ἀναδι-
πλασιασμόν. καὶ τὸ ἔσχον, παρενθέσει τοῦ σ ἰδιο-
σχηματίστως. Ἔτι τὸ ἀπὸ τοῦ δευτέρου ἀορίστου
τὸν δεύτερον μέλλοντα γίνεσθαι εἰς ω περισπώ-
μενον, ἐκβολῇ τῆς αὐξήσεως. ἔτυπον, τυπῶ.

Σχηματισμοὶ τῶν μέσων χρόνων.

Ἔτι δὲ τοῦ ὁριστικοῦ μέσου κοινὸν, τὸ ἑκάστους τῶν χρό-
νων ἀφ᾽ ἑκάστου τῶν ὁμωνύμων ἐνεργητικῶν γίνε-
σθαι ὧδε. Ἀπὸ τοῦ ἐνεστῶτος, τὸν ἐνεστῶτα μετα-
βολῇ τοῦ ω εἰς ο, καὶ προσλήψει τῆς μαι. βιά-
ζω, βιάζομαι. Ἀπὸ τοῦ παρατατικοῦ τὸν παρατα-
τικὸν ἐνθέσει τῆς μην. ἐβίαζον, ἐβιαζόμην.

Ἀπὸ τοῦ πρώτου μέλλοντος, τὸν α΄ μέλλοντα μετα-
βολῇ τοῦ ω εἰς ο, καὶ προσλήψει τῆς μαι. τύψω
τύψομαι. Ἰδίᾳ γε μὴν ἐπὶ τῆς τετάρτης, καὶ τὸ
υ προσλαμβάνεται. ψαλῶ, ψαλοῦμαι.

Ἀπὸ τοῦ πρώτου ἀορίστου τὸν πρῶτον ἀόριστον καὶ ἀπὸ
δευτέρου, τὸν δεύτερον, προσλήψει τῆς μην, ἔτυ-
ψα, ἐτυψάμην, ἔτυπον, ἐτυπόμην. Ἀπὸ τοῦ πα-
ρακειμένου τὸν παρακείμενον, ἔχοντα πρὸ τοῦ α-
πὸ τῆς συζυγίας χαρακτηριστικὸν σύμφωνον, ἢ
καὶ μηδὲν τῶν συμφώνων ἔχοντα. ἐὰν εἰς ω καθα-

ἵνα μὴ δύσφωνος ᾖ· ἔψαλκα. ἔσπαρκα. ἔρριφα.

K Καὶ ἐφ' ὧν δὲ δασὺ οὐ τὸ αὐτὸ προσλαμβάνει. ἀλλὰ τὸ ἀντιστοιχοῦν ψιλὸν, διὰ τὴν αὐτὴν αἰτίαν. φράζω, πέφρακα. χωρίζω, κεχώρικα. θηρεύω, τεθήρευκα. Ἐφ' ὧν δὲ τὸ α, ἢ τὸ ε, ἢ τὸ ο, ἀρκτικὸν ἴδιον, ἀττικοὶ παρακείμενον ποιοῦσι. τὰ ἀρκτικὰ τοῦ ἐνεστῶτος γράμματα, τῷ κοινῷ προστιθέντες. καὶ τὴν τρίτην συστέλλοντες, συλλαβήν, οἷον ἐλεύθω, ἤλευκα, ἐλήλυκα. ἀκούω, ἤκουκα ἀκήκοκα. ὀρύσσω, ὤρυχα, ὀρώρυχα. ἔστι γε μὴν ἐφ' ὧν τῶν ἀπὸ τοῦ ο ἀρχομένων, οὐ τὰ ἀρκτικὰ προστιθέασιν. ἀλλὰ ε μόνον ὁμοίως τοῖς παρατατικοῖς τε καὶ ἀορίστοις. ὦσμαι, ἔωσμαι. ὤνημαι, ἐώνημαι. ὥρακα, ἑώρακα. αἰῶγα, αἰέωγα. ὧν δὴ καὶ ὁ παρατατικὸς τὸ τοιοῦτο ἔχει. ἐωνούμην. ἑώρων. ὁμοίως δὲ τούτοις καὶ τὸ οἶκα, ἔοικα. τὸ δὲ ξυνέηκε, καὶ προσέτι ποιητικὰ καθ' ὁμοιότητα. Ἔτι τὸ ἀπὸ τοῦ παρακειμένου τὸν ὑπερσυντέλικον γίνεσθαι εἰς ειν ἢ. καὶ μετ' αὐξήσεως δὴ συλλαβικῆς, ἣν ἀπὸ τοῦ συμφώνου ὁ παρακείμενος ἄρχηται. τέτυφα, ἐτετύφειν. Ἔτι τὸ ἀπὸ τοῦ πρώτου ἀορίστου τὸν δεύτερον γίνεσθαι εἰς ον βραχείᾳ παραλήγοντα, καὶ πρὸ τοῦ ον ἔχοντα τὸ αὐτὸ τοῦ ἐνεστῶτος δηλωτικὸν τῆς συζυγίας σύμφωνον. ἐὰν δὲ εἰς ω καθαρὸν λήγῃ ὁ ἐνεστώς, καθαρῶς καὶ τὸ αὐτὸ προφερόμενον. ἔτυψα, ἔτυπον. ἤκουσα, ἤκοον βραχυπαραλήκτως. καὶ εἰ τῷ ε ὁπωσοῦν παρα-

γάπων. εἰ μὴ ἄρα τὸ, κατέαξα συλλαβικῇ ἔχει ἀμάτισαι αὐξήσει, καὶ ἐάγην, καὶ ἑάλων, καὶ τὰ τοιαῦτα. ταύτῃ δὲ οὐδ᾽ ἂν τοῦτο εἴη καθόλου.

Μέλλων πρῶτον.

Ἔτι τὸν πρῶτον μέλλοντα εἰς ω λήγειν, καὶ συνάρχεσθαι τῷ ἐνεστῶτι, καὶ πρὸ τοῦ ω ἔχειν τὸ σ ἤτοι ἐνεργείᾳ· ἀκούω, ἀκούσω· ἢ δυνάμει· τύπτω, τύψω. πλὴν τῆς τετάρτης ἐκ χρήσεως· ἐπεὶ τό γε πεφυκός, καὶ αὐτὴ τὸ σ ἂν δέχοιτο. ὅθεν καὶ ὄρω, ὄρσω· καὶ ἔλω, ἔλσω, οἱ δωριεῖς λέγουσιν. οὐκοῦν καὶ μηνύω, μηνύσω· καὶ κρίνω, κρίνσω· ἀλλὰ διὰ τὸ δύσφθεγκτον, οὐκ ἐν χρήσει. Τὸ δὲ βαδιῶ, ἀττικόν. τῶν γὰρ εἰς ιζω ὑπὲρ δισυλλάβων, τοὺς μέλλοντας, ἐξαιρέσει τοῦ σ προφέρουσιν ἀθηναῖοι, βαδίσω, βαδιῶ· ἐλπίσω, ἐλπιῶ. τὸ δὲ αὔξω, καὶ ἕψω, καὶ ἀλέξω, ἐκ πάθους.

Ἀόριστος α.

Ἔτι τὸν πρῶτον ἀόριστον ἀπὸ τοῦ μέλλοντος γίνεσθαι, ἀμοιβῇ τοῦ ἐσχάτου ω εἰς α. καὶ αὐξήσει χρονικῇ ἢ συλλαβικῇ· ἀκούσω, ἤκουσα· τύψω, ἔτυψα. τὸ δὲ ἑλέλιξα, κατὰ ἀναδιπλασιασμόν.

Ἔτι τὸν παρακείμενον ἀπὸ τοῦ μέλλοντος γίνεσθαι εἰς α. καὶ ἄρχουσαν τὴν αὐτὴν ἔχειν τῷ παρατατικῷ, χρονικῶς ηὐξημένῳ· ὁμιλήσω, ὡμίληκα. συλλαβικῶς δὲ καὶ τὸ τοῦ ἐνεστῶτος ἀρκτικὸν σύμφωνον προσλαμβάνειν· τύψω, τέτυφα. ἐφ᾽ ὧν γε μὴν ἀρκτικὸν σύμφωνον διπλοῦν ἢ τὸ ρ, οὐδέποτε προσλαμβάνει τὸ τοιοῦτο ὁ παρακείμενος.

ἵνα

λου, πολύ, πολλοῦ. Ἔτι τὸ φρέαρ. καὶ ἧπαρ. καὶ δέλεαρ. καὶ ὕδωρ. οὐ γὰρ φρέαρος. ἥπαρος. δελέαρος. ὕδαρος. ἀλλὰ φρέατος. ἥπατος. δελέατος. ὕδατος. τὸ γοῦν δ᾽ αὐτῶν τούτων καὶ ὅλον κανόνα οὐδένα ἐστὶ λαβεῖν. ἀλλὰ μόνον τὴν χρῆσιν παρατηρητέον. ἕτερα δ᾽ αὖ ἀποκοπὴν ἢ ἕτερόν τι πεπονθότα πάθος, ἄκλιτά ἐστιν, οἷον τὸ δῶ, καὶ κρῖ, καὶ λίπα, καὶ κρῆς. ἀπαθῆ δὲ ἄκλιτα, τὸ σέβας. ὄφελος. ὄναρ. δέμας καὶ ὅλως τὰ εἰς ας οὐδέτερα μὴ καθαρὸν ἔχοντα τὸ ας. σέλας, δέπας, βρέτας.

Περὶ ῥήματος.

Τὸ δὲ ῥῆμα, εἴρηται μὲν πρότερον, καὶ ἅττα παρεπόμενα ἔχει, διώρισται.

Κοινὰ τῶν τεσσάρων συζυγιῶν.

Κλίσεων δὲ πέντε καὶ τοῦδε οὐσῶν, ἃς δὴ καὶ συζυγίας καλοῦμεν. τεσσάρων μὲν τῶν εἰς ω ληγόντων ῥημάτων, μιᾶς δὲ τῶν εἰς μι.

Σχηματισμοὶ ἐνεργητικῶν χρόνων.

Κοινὸν τῶν τεσσάρων πρῶτον ἐστί, τὸ αὐτοῦ τοῦ ὁριστικοῦ ἐνεργητικοῦ, τὸν παρατατικὸν γίνεσθαι ἀπὸ τοῦ ἐνεστῶτος μεταποιήσει τῆς ἐσχάτης εἰς ον, καὶ αὐξήσει ἤτοι συλλαβικῇ ἢ χρονικῇ.

Καθόλου γὰρ εἰ μὲν ἀπὸ συμφώνου τὸ ῥῆμα ἄρχεται, αὔξησις γίνεται συλλαβική, προσλήψει τοῦ ε κατὰ τὴν ἀρχήν. οἷον τύπτω, ἔτυπτον.

Εἰ δὲ ἀπὸ φωνήεντος, χρονική. μεταβολῇ τοῦ βραχέος ἀρκτικοῦ φωνήεντος εἰς μακρόν, ἀγαπῶ ἠ-

τῶν ὀνομάτων καὶ τὸ τὴν ἑνικῶν αἰτιατικὴν, ἀφαιρέσει τῆς ἐσχάτης, καὶ μεταλήψει τοῦ ν γίνεσθαι· παρίδα, πάριν· μήνιδα, μῆνιν. Καὶ ἔτι τῶν καλουμένων ι· ὄφια ὄφιν· καὶ τῶν υ ἑκατέρων· ἡδέα, ἡδύν· βότρυα, βότρυν.

Περὶ τῶν συγκοπὴν παθόντων.

Πάσχει δὲ καὶ τῶν εἰς ηρ ἔνια συγκοπήν· οἷον τὸ ἀνήρ, πατήρ· μήτηρ· ἀνέρος γὰρ καὶ ἀνδρός· πατέρος καὶ πατρός· μητέρος καὶ μητρός· καὶ τῶν ἄλλων ὡσαύτως πτώσεων, εἰ μή τι κωλύοι.

Καὶ ἡ τοῦ πληθυντικοῦ δὲ δοτικὴ τούτων γίνεται μὲν ἀπὸ τῆς τῶν ἑνικῶν, καθάπερ καὶ ἡ τῶν ἄλλων· ἤτοι δὲ ἀπὸ τῆς πεπονθυίας ἤδη παρενθέσει τοῦ α, οἷον πατρὶ πατράσιν· ἢ ἀπὸ ἀπαθοῦς ἔτι, μεταθέσει καὶ τροπῇ τοῦ ε· πατέρι, πατράσιν· καὶ ἀνέρι, ἀνδράσιν· εἴρηται δὲ τῷ ποιητῇ καὶ ἄνδρεσι. Τό γε μὴν πλοῦς· καὶ νοῦς καὶ τὰ τοιαῦτα, οὐ πάθη τῆς πέμπτης, ἀλλὰ τῆς τρίτης· ἀπὸ γὰρ τοῦ πλόος καὶ νόος· διὸ καὶ βέλτιον κλίνειν κατὰ τὴν τρίτην· νοῦς, νοῦ.

Περὶ ἑτεροκλίτων.

Ἔστι δὲ καὶ ἃ τῶν ὀνομάτων, οὐ τὸ οἰκεῖον καὶ ὁμαλὸν φυλάσσει τῆς κλίσεως· ἀλλ' ἑτέρως πως κλίνεται, ὅθεν καὶ ἑτερόκλιτα καλεῖται· οἷον τὸ Ζεύς· οὐ γὰρ Ζέος· ἀλλὰ Διός, μεθαρμοζόμενον κλίνεται· καὶ τὸ μέγας, οὐ γὰρ μέγαντος, ἀλλὰ μεγάλου· καὶ τὸ πολύς· οὐ γὰρ πολέος, ἐν τῷ πεζῷ λόγῳ, ἀλλὰ πολλοῦ· καὶ τὰ ἀπὸ τούτων οὐδέτερα· μέγα, μεγά-

ος καθάρου ληγούσας πλαγίους τε καὶ ὀρθὰς, προτάσει τοῦ βραχέος ο εἰς τὸ μακρὸν, καὶ τοῦ παραλήγοντος φωνήεντος α ἢ ι, εἰς ε, προφέρειν εἰώθασιν, μενέλαος, μενέλεως. ὄφιος, ἔφεως.

Τῶν δὲ η. ε. ο. καὶ α. κοινὸν μὲν τὸ, τι δι᾽ ὅλου συναιρεῖσθαι. πλὴν εἴπου τὸ οὐδέτερον κωλύοι, καὶ τὸ τὰς γενικὰς τῶν πληθυντικῶν συναιρεῖσθαι εἰς ω.

Διαφέρει δ᾽ ἢ τὰ μὲν η. ε. ο. συναιρεῖται. εἰς ου. ει. η. οι. Τὰ δὲ α, εἰς ω α. Ἴδιον δὲ τῶ ω τὸ τὰ ἑνικὰ μόνον συναιρεῖσθαι. τὰ δὲ δυϊκὰ καὶ πληθυντικὰ ἀσυναίρετα κλίνεται κατὰ τὴν τρίτην.

Τῆς αὐτῆς δὲ πάθη, καὶ τὸ τὴν ἑνικὴν αἰτιατικὴν τῶν συγκριτικῶν συναιρεῖσθαι εἰς ω ἀττικῶς. ἀμείνονα, ἀμείνω. ἐξαιρέσει δηλονότι τοῦ ν, καὶ κράσει τοῦ ο καὶ α. καὶ ἔτι τὴν εὐθεῖαν καὶ αἰτιατικὴν τῶν πληθυντικῶν, εἰς ους. ἀμείνονες', ἀμείνους. ἀμείνονας, ἀμείνους. Καὶ τὸ ἔνια τῶν εἰς ις τῷ δ κλινομένων. ἐπί τι εὐθείας καὶ αἰτιατικῆς τῶν πληθυντικῶν συναιρεῖσθαι. φθοΐδες, φθοῖς φθοΐδας, φθοῖς. ὄϊδες. οἶς. ὄϊδας, οἶς. ἀττικὸν δὲ καὶ τοῦτο. Καὶ ἔτι τὸ τὰς ἀπὸ τῶν εἰς ης, καὶ εἰς ευς καθαρῶν αἰτιατικὰς, συναιρεῖν εἰς α. ὑγιέα, ὑγιᾶ. πειραιέα, πειραιᾶ. ἰώνων δὲ ἡ περὶ τὰ τοιαῦτα τῶν ὀνομάτων ἐξαίρεσις τοῦ δ. πάριος. θέτιος. Καὶ ἡ περὶ τὰ τῷ τ κλινόμενα ἐξαίρεσις τοῦ τ. κρέατος, κρέαος. Καὶ τὸ τὰ ι, καὶ υ, κλίνεσθαι τῷ ε καὶ η. πόλεος. βασιλῆος. Τῶν αὐτῶν δὲ τοῦ

ρον τὸ τῆς ἑνικοῦ ι, τὸ σ δὴ προσλαμβάνεται· δημοσθένει, δημοσθένεσιν· ἔστι δ' οὗ καὶ τὸ υ, ὡς ἐφ' ὧν ἡ εὐθεῖα εἰς ους ἀπαθές, ἢ εἰς ευς· βοΐ, βουσί· πηλεῖ, πηλεῦσιν· εἰ δὲ μὴ καθαρὸν, εἰ μὲν τὸ τ, ἢ τὸ θ, ἢ τὸ δ, ἢ τὸ ν· συνέζευκται, τρέπεται εἰς σ· καὶ τὸ ν ἐκβάλλεται, εἰ πρὸ τοῦ τ κεῖται· γίγαντι, γίγασιν· ἔστι δ' οὗ καὶ τὸ υ ἀντιλαμβάνεται· ὡς ἐφ' ὧν ἡ εὐθεῖα εἰς ων· λέοντι, λέουσιν· εἰ δ' ἕτι ἕτερον ἢ ἀμετάβολον, ἢ ψιλὸν, ἢ δασὺ, ἢ μέσον παρὰ τὰ εἰρημένα, τὸ σ πάλιν προσλαμβάνεται· ἁλί, ἁλσί· πόρδικι, πόρδιξι· βηχὶ, βηξί· μάστιγι, μάστιξι· πλὴν ὅσον τὸ δασὺ καὶ μέσον εἰς τὸ ἀντίστοιχον ψιλὸν τρέπεται καὶ μεταλαμβάνεται τὸ διπλοῦν.

Ἔτι τὸ τὴν αἰτιατικὴν τῶν ἑνικῶν προσλήψει τοῦ σ γίνεσθαι αἰτιατικὴν τῶν πληθυντικῶν.

Ἰδίᾳ δὲ τῆς πέμπτης, καὶ τὰ κατὰ συναίρεσιν πάθη τῶν ὀνομάτων, σχεδὸν τι ἅπαντα.

Περὶ συνῃρημένων.

Εἰς ὀκτὼ δὲ μάλιστα διῃρημένων τῶν συναίρεσιν ἀναδεχομένων ὀνομάτων· κοινὸν μὲν ἁπάντων ἓν, οὐδὲ ἕν ἐστι. Τῶν δὲ ι καὶ ευ καὶ πρώτου υ κοινὸν τὸ τέσσαρας μόνας συναιρεῖσθαι πτώσεις εἰς ει· οἷον τὴν δοτικὴν τῶν ἑνικῶν· καὶ τὴν εὐθεῖαν, καὶ αἰτιατικὴν καὶ κλητικὴν τῶν πληθυντικῶν· πλὴν τῶν οὐδετέρων. Κοινὸν δὲ τούτων, καὶ εἰς μακρὸν τὸ τῆς γενικῆς βραχὺ ο, μεταβάλλειν ἀττικῶς πλὴν τῶν πρώτου υ· καθόλου γὰρ οἱ ἀττικοὶ τὰς εἰς

ρὶς τοῦ σ ληγόντων μετὰ διφθόγγου εἰ μή τι κωλύοι. καὶ γὰρ ὦ πούς καὶ ὦ ὀδούς μόνως. ἵνα μὴ συνεμπέσῃ τῷ ποῦ καὶ ὀδοῦ. Καὶ τῶν εἰς ις προσηγορικῶν βαρυτόνων μὴ φύσει μακροπαραλήκτων, καὶ ὅλως τῶν εἰς ις βαρυτόνων ὁ ὄφις, ὦ ὄφι.

Καὶ τῶν εἰς υς βαρυτόνων. ὁ βότρυς, ὦ βότρυ.

Καὶ τῶν ὀξυτόνων δὲ τριγενῶν ὄντων. ὁ ἡδύς, ὦ ἡδύ.

Τῶν δὲ εἰς ως ἀρσενικῶν μακροπαραλήκτων, ὁμόφωνος τῇ εὐθείᾳ μόνως. καὶ ὅλως τῶν εἰς ως μὲν ληγόντων, κλινομένων δὲ ἢ τῷ καθαρῷ, ἢ τῷ τ. πλὴν τῶν θηλυκῶν ὀξυτόνων ὁ ἥρως, ὦ ἥρως. καὶ τῶν εἰς ης βαρυτόνων ἰαμβικῶν. καὶ ὅλως τῶν εἰς ης μὲν ληγόντων κλινομένων δὲ τῷ τ, ὁ λάχης, ὦ λάχης. Καὶ τῶν εἰς ας ὀξυτόνων. ἡ παλλάς, ὦ πάλλας. Καὶ τῶν εἰς ις ὀξυτόνων. ἡ πριαμίς. ὦ πριαμίς. Καὶ τῶν εἰς υς ὀξυτόνων. ἡ χλαμύς, ὦ χλαμύς. Καὶ τῶν εἰς λς. ὁ ἅλς, ὦ ἅλς.

Καὶ τῶν εἰς διπλοῦν ὁ αἴαξ, ὦ αἴαξ. Καὶ τῶν εἰς ἀμετάβολον, ὁ ἕλλην, ὦ ἕλλην. πλὴν τῶν ἀνωτέρω εἰρημένων. Ἔτι ἴδιον τὸ τὴν εὐθεῖαν καὶ αἰτιατικὴν τῶν δυϊκῶν, ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν γίνεσθαι. τροπῇ τοῦ ι εἰς ε. αἴαντι, αἴαντε. Ἔτι τὸ τὴν εὐθεῖαν καὶ αἰτιατικὴν τῶν δυϊκῶν προσλήψει τοῦ σ γίνεσθαι εὐθεῖαν τῶν πληθυντικῶν. αἴαντε, αἴαντες. Ἔτι τὸ τὴν δοτικὴν τῶν πληθυντικῶν, ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν γίνεσθαι εἰς σι. ἤτοι ἐνεργείᾳ, ἢ δυνάμει. αἴασι. φοίνιξι. διὸ καὶ εἰ μὲν καθα-

τῆς γενικῆς γίνεσθαι εἰς ι. αἴαντος, αἶαντι.

Ἔτι τὸ τὴν αἰτιατικὴν, ἀπὸ τῆς δοτικῆς εἰς α. αἴαντι αἴαντα. τὸ δὲ ποσειδῶ καὶ κυκεῶ. καὶ ἱδρῶ ἐξ ἀποκοπῆς. οἷον καὶ τὸ ἀπόλλω. Ἔτι τὸ τὴν κλητικὴν ἐπὶ μὲν τῶν διὰ τοῦ ντ κλινομένων ἀπαθῶν, ἀφαιρέσει τῆς ἐν τῇ γενικῇ ἐσχάτης συλλαβῆς γίνεσθαι, αἴαντος, ὦ αἶαν. χαρίεντος, ὦ χάριεν. τοῦ γε μὴν πλακοῦς, καὶ σιμοῦς, καὶ τῶν ὁμοίων, ἀφαιρετέον καὶ τὸ τῆς παραληγούσης υ. σιμοῦντος. ὦ σιμοῦ. ἐξαιρείσθω δὲ καὶ τὸ ὀδούς. μία γὰρ τούτου γε κλητικὴ ἡ αὐτὴ τῇ εὐθείᾳ.

Ἐπὶ δὲ τῶν τῷ εος κλινομένων καὶ συναιρουμένων εἰς ους, ἀπὸ τῆς εὐθείας. τροπῇ τοῦ η εἰς ε δὴ μοσθένης, ὦ δημόσθενες. Ἐπὶ δὲ τῶν εἰς ω ἢ ὡς ως θηλυκῶν, ἀπὸ τῆς εὐθείας τροπῇ τοῦ ληκτικοῦ ω, εἰς οι, ἡ λητώ, ὦ λητοῖ. καὶ ἀφαιρέσει τοῦ σ αὐτῆ. ἡ αἰδώς. ὦ αἰδοῖ. Ἐπὶ δὲ τῶν εἰς ην ἢ εἰς εις ληγόντων. ὧν οὐδέτερον παρεσχηματισμένον εἰς εν, τὴν κλητικὴν ἀπὸ τῆς γενικῆς γίνεσθαι. ἀποκοπῇ τῆς ἐσχάτης. τέρην, τέρενος, ὦ τέρεν. χαρίεις, χαρίεντος, ὦ χάριεν. Ἐπὶ δὲ τῶν εἰς ηρ βαρυτόνων εἰς ερ. ἡ μήτηρ, ὦ μῆτερ. πλὴν τοῦ σωτῆρ. οἷς δὴ συμφέρεται καὶ τῶν ὀξυτόνων, πατὴρ, ἀνὴρ, δαὴρ, σωτὴρ, καὶ γὰρ ὦ πάτερ. ἄνερ. δᾶερ. σῶτερ. Ἔτι τὸ ἐπὶ μὲν τῶν, ὁμοφωνεῖν τὴν κλητικὴν τῇ εὐθείᾳ ὅλως. ἐπὶ δὲ τῶν, καὶ χωρὶς τοῦ σ προφέρεσθαι. τῶν μὲν γὰρ εἰς ευς, ἢ εἰς οις, καὶ χα

ἀπὸ τῶν ἐχόντων πρὸ τ, ἢ ἐθνικῶν ὄντων, οὐ μόνον ἀφαιρέσει τοῦ σ, ἀλλὰ καὶ τροπῇ τοῦ η εἰς α. ὁ προφήτης, ὦ προφῆτα. ὁ πέρσης. ὦ πέρσα.

Τῆς αὐτῆς δὲ καὶ τὸ τὴν γενικὴν τοῦ ἑνικοῦ λήγειν εἰς εω, ἔθει ἰώνων. οἰκέτου, οἰκέτεω. πηλείδου, πηλείδεω. ὅθεν παρενθέσει τοῦ α πηλειάδεω.

Ἴδιον τῆς δευτέρας.

Τῆς δὲ δευτέρας, τὸ προσλήψει τοῦ σ, κλίνεσθαι. μαῖα, μαίας. τιμή, τιμῆς. καὶ σώζεσθαι δὴ τὸ α, καὶ ἐπὶ γενικῆς καθαρὸν ὂν ἢ μετὰ τοῦ δ, ἢ τοῦ θ, ἢ τοῦ ρ. μὴ οὕτω δ' ἔχον τρέπεσθαι εἰς η. μοῦσα μούσης.

Ἴδιον τῆς τρίτης.

Τῆς δὲ τρίτης, τὸ τὴν δοτικὴν τῶν ἑνικῶν, ἀπὸ τῆς γενικῆς γίνεσθαι εἰς ω. λόγου, λόγῳ. Ἔτι τὸ τὴν κλητικὴν εἰς ε λήγειν. ὦ λόγε. Ἔτι τὸ ἐκ τῆς εὐθείας καὶ αἰτιατικῆς τῶν δυικῶν γίνεσθαι εἰς οι δίφθογγον τὴν εὐθεῖαν τῶν πληθυντικῶν, τὼ λόγω, οἱ λόγοι. Ἔτι τὸ ἐκ τῆς εὐθείας τῶν πληθυντικῶν. προσλήψει μὲν τοῦ σ, τὴν δοτικὴν γίνεσθαι τῶν πληθυντικῶν, λόγοι, λόγοις, εἰς ους δὲ τὴν αἰτιατικήν.

Ἴδιον τῆς τετάρτης.

Τῆς δὲ τετάρτης ἴδιον, ἐξαιρέσει τοῦ σ, κλίνεσθαι μενέλεως, μενέλεω. καὶ τὸ τὴν εὐθεῖαν τῶν πληθυντικῶν ὁμοφωνεῖν τῇ δοτικῇ τῶν ἑνικῶν. καὶ τῇ εὐθείᾳ τῶν δυικῶν.

Τῆς δὲ πέμπτης ἴδιον, τὸ τὴν γενικὴν τῶν ἑνικῶν εἰς ος ἔχειν. αἴας, αἴαντος. Ἔτι τὸ τὴν δοτικὴν ἀπὸ

τοὺς αἰνείας. αἱ μοῦσαι, τὰς μούσας. οἱ μενέλεῳ, τοὺς μενέλεως.

Κοινὰ πρώτης καὶ τρίτης.

Τῆς δὲ πρώτης καὶ τρίτης κοινὸν. τὸ, τροπῇ τῆς ἐσχάτης ας εἰς ου κλίνεσθαι. αἰνείας, αἰνείου. λόγος. λόγου.

Κοινὰ πρώτης καὶ πέμπτης.

Τῆς δὲ πρώτης, καὶ μέχρι τοῦ τῆς πέμπτης κοινὸν τὸ ἀπὸ τῆς εὐθείας, τὴν κλητικὴν γίνεσθαι ἀφαιρέσει τοῦ σ. ὁ αἰνείας. ὦ αἰνεία, ὁ χαρίεις. ὦ χαρίει.

Κοινὰ δευτέρας καὶ πέμπτης.

Τῆς δὲ δευτέρας, καὶ μέχρι τοῦ τῆς πέμπτης κοινὸν, τὸ ὁμόφωνον ὅλως ἔχειν τὴν κλητικὴν τῇ εὐθείᾳ. ἡ μαῖα. ὦ μαῖα. ὁ λάχης ὦ λάχης.

Κοινὰ τρίτης καὶ τετάρτης.

Τῆς δὲ τρίτης καὶ τετάρτης κοινὸν, τὸ τὴν δοτικὴν τῶν ἑνικῶν ὁμοφωνεῖν τῇ εὐθείᾳ καὶ αἰτιατικῇ τῶν δυϊκῶν. τῷ λόγῳ, τὼ λόγω. τῷ μενέλεῳ, τὼ μενέλεω. Ἔτι τὴν εὐθεῖαν τῶν πληθυντικῶν προσλήψει τοῦ σ γίνεσθαι δοτικὴν τῶν πληθυντικῶν. οἱ λόγοι. τοῖς λόγοις. οἱ μενέλεῳ. τοῖς μενέλεως.

Κοινὰ τρίτης καὶ πέμπτης.

Τῆς δὲ τρίτης καὶ πέμπτης, τὸ ἀπὸ τῆς εὐθείας, καὶ αἰτιατικῆς τῶν δυϊκῶν γίνεσθαι εἰς οιν τὴν γενικὴν καὶ δοτικὴν τῶν δυϊκῶν. τὼ λόγω, τοῖν λόγοιν. τὼ αἴαντε, τοῖν αἰάντοιν.

Ἴδιον τῆς πρώτης.

Ἴδιον δὲ τῆς μὲν πρώτης τὸ τὴν κλητικὴν γίνεσθαι

ῖς ι ἀνεκφωνήτου λήγουσαι, μετὰ τοῦ φωνήεντος τῆς δοτικῆς, ἢ καὶ μετὰ μείζονος αὐτοῦ στοίχου. αἰνείας, αἰνείᾳ. λόγος, λόγῳ. καὶ τὸ τὴν αἰτιατικὴν εἰς ν λήγειν μετὰ τοῦ φωνήεντος τῆς δοτικῆς. αἰνείαν. λόγον. σεσημειώσθω ἐπὶ τῶν τετάρτοκλίτων. ἄθω. κῶ. τέω. λαγώ. αἰτιατικολογούμενα αὐτοῦ τοῦ ν ἀττικῶς. Κοινὰ τῆς πρώτης καὶ δευτέρας.

Τῆς δὲ πρώτης καὶ δευτέρας κοινὸν, τὸ τὴν δοτικὴν τῶν ἑνικῶν λήγουσαι μὲν εἰς α ὁμόφωνον ἑαυτῇ ἔχειν τὴν δυϊκὴν καὶ αἰτιατικὴν τῶν δυϊκῶν. τῷ αἰνείᾳ, τὼ αἰνεία. τῇ μαίᾳ. τὰ μαία. λήγουσαι δὲ εἰς η. μεταβολῇ τοῦ η εἰς α καὶ ἀφαιρέσει τοῦ ἀνεκφωνήτου ι γίνεσθαι τὴν δυϊκὴν καὶ αἰτιατικὴν τῶν δυϊκῶν. τῷ χρύσῃ, τὼ χρύσα. τῇ μούσῃ. τὰ μούσα. Κοινὰ πρώτης καὶ β' καὶ δ'.

Τῆς δὲ πρώτης καὶ δευτέρας καὶ τετάρτης κοινὸν, τὸ τὴν δυϊκὴν καὶ αἰτιατικὴν τῶν δυϊκῶν προσλήψει μὲν τοῦ ι καὶ ν γίνεσθαι γενικὴν καὶ δοτικὴν τῶν δυϊκῶν τὼ αἰνεία, τοῖν αἰνείαιν. τὰ μούσα. ταῖν μούσαιν. Τὼ μενέλεω, τοῖν μενέλεων. προσλήψει δὲ τοῦ ι μόνου γίνεσθαι δυϊκὴν τῶν πληθυντικῶν. τὼ αἰνεία. οἱ αἰνεῖαι. τὰ μούσα, αἱ μοῦσαι. τὼ μενέλεω. οἱ μενέλεῳ. Ἔτι τὸ τὴν δυϊκὴν τῶν πληθυντικῶν, προσλήψει μὲν τοῦ σ δοτικὴν γίνεσθαι τῶν πληθυντικῶν. οἱ αἰνεῖαι, τοῖς αἰνείαις. αἱ μοῦσαι, ταῖς μούσαις. οἱ μενέλεῳ. τοῖς μενέλεως. ἐκβολῇ δὲ τοῦ ι, καὶ προσλήψει τοῦ σ, αἰτιατικὴν οἱ αἰνεῖαι,

τῶν ἄλλων ὁμοίως. τούτοις δὲ καὶ τὸ τῆς μονοκαταλήκτου παρακολουθεῖ. τινὸς γάρ. Τὸ δὲ κτεὶς ἐπαμφοτερίζει. ὡς μὲν γὰρ εἰς ς λῆγον, κοινωνεῖ τοῖς δικαταλήκτοις. ὡς δὲ τῷ ε κλινόμενον, κοινωνεῖ τοῖς εἰς ην. κτενὸς γάρ. Τῶν δὲ εἰς ων ἔνια καὶ τὸ τ προσλαμβάνει. οἷον τὰ περισπώμενα. ξενοφῶν, ξενοφῶντος. πλὴν τοῦ ποσειδῶν, ποσειδῶνος γάρ. καὶ τὰ ἔχοντα θηλυκὰ εἰς αινα μετασχηματιζόμενα. λέων γὰρ λέοντος ὅτι λέαινα. καὶ δράκων, δράκοντος ὅτι δράκαινα. καθόλου δὲ οὐδὲ τοῦτο. λάκων καὶ λάκωνος. καίτοι τὸ θηλυκὸν ὑπάρχον τὸ λάκαινα.

Ἀριθμητικά.

Ἀνάγοιτο δ' αὖ πως καὶ τὰ ἀριθμητικὰ ἐπὶ τὴν πέμπτην. εἷς, ἑνός. τρεῖς, τριῶν. τρισί. τέσσαρες, τεσσάρων. τέσσαρσι. πλὴν τοῦ δύω, δυοῖν. τρίτης γὰρ τὸ τοιοῦτο σχῆμα. οἷον καὶ τὸ ἄμφω, ἀμφοῖν. δύο δὲ οὐ μόνον ἐπὶ αἰτιατικῆς λέγεται. ἀλλὰ καὶ ἐπὶ γενικῆς καὶ δοτικῆς.

Κοινὰ τῶν κλίσεων ἁπασῶν.

Κοινὸν δ' ἁπασῶν τῶν κλίσεων. τὸ τὴν γενικὴν τῶν πληθυντικῶν ἔχειν λήγουσαν εἰς ων. Καὶ τὸ τὴν αὐτὴν ἔχειν εὐθεῖαν καὶ κλητικὴν ἐπὶ παντὸς ἀριθμοῦ. πλὴν ὅσον ἐπὶ μὲν ἑνικοῦ ἀττικῶν. ἐπὶ δὲ δυϊκοῦ καὶ πληθυντικοῦ ὅλως.

Κοινὰ τῶν ἰσοσυλλάβων.

Τῶν δὲ ἰσοσυλλάβων κοινὸν, τὸ τὴν δοτικὴν ἔχειν

μύρμηκος. σύνθετα δὲ τῷ γ. βουπλὴξ, βουπλῆγος. καὶ τὰ εἰς ιξ δὲ τῷ κ. πλὴν τοῦ τέττιξ. τέττιγος. καὶ θρὶξ. τριχὸς γάρ. Ἐπὶ τὰ εἰς υξ φύσει μακρᾷ παραλήγοντα. καὶ ὅσα διὰ δυοῖν συμφώνοιν προφέρεται, ὧν θάτερον τῆς πρώτης συζυγίας, τῷ κ. δοίδυκος. βέβρυκος. ἄμπυκος. τὰ δὲ μὴ οὕτως ἔχοντα τῷ γ. ἄντυξ, ἄντυγος. Ἐπὶ τὰ εἰς ωξ ἅπαντα. πλὴν τοῦ θρώξ. Τὰ δὲ εἰς ψ, τῷ π κλίνεται ὡς ἐπὶ τὸ πλεῖστον. κύκλωψ, κύκλωπος. ἄραψ μέντοι, ἄραβος. χάλυψ, χάλυβος. λὶψ, λιβός. φλὲψ, φλεβός. κίνυψ, κίνυφος. Τὰ δὲ εἰς ν καὶ ρ, τῷ αὐτῷ κλίνεται ἀμεταβόλῳ. ἕλλην, ἕλληνος. νέστωρ, νέστορος. τρέπεται δὲ καὶ τῶν εἰς ην βαρυτόνων τὸ η αὐτὸ εἰς ε, παρασχηματισμὸν οὐδετέρου ἐχόντων. τέρην, τέρενος. τέρεν γὰρ, καὶ τῶν ὀξυτονουμένων, οἷς τὸ μ κλιτικόν. ποιμὴν, ποιμένος. πλὴν τοῦ μὴν, μηνός. καὶ τῶν μὴ ἐχόντων δὲ τὸ μ κλιτικόν. αὐχὴν καὶ φρὴν οὕτω κλίνεται αὐχένος. φρενός. Ὁμοίως δὲ καὶ τῶν εἰς ηρ ἔνια μεταβάλλει τὸ η οἷον, ὅσα βαρύτονα ὄντα μακρὰν ἔχει τὴν παραλήγουσαν. αἰθὴρ, αἰθέρος, καὶ τῶν εἰς τηρ ἄστηρ. πατήρ. μήτηρ, θυγάτηρ, καὶ τῶν εἰς θηρ. ἀθήρ. Τὰ δὲ εἰς ιν καὶ τροπῇ ἔτι τοῦ ν εἰς σ διθυολεκτεῖται. ὅθεν καὶ δικατάληκτα ὀνόμασι. τῇ γε μὴν κλίσει ἐμμένει τῇ αὐτῇ. ὡς γὰρ δελφὶν, δελφῖνος. οὕτω καὶ δελφὶς, δελφῖνος. ὥστε καὶ θὶς, θινός. καὶ σαλαμὶς, σαλαμῖνος. καὶ ἄλλα

κλίνεται κοινῶς. πατρίς, πατρίδος.

Ἔτι τὰ εἰς ις. θηλυκὰ μακροπαράληκτα μῆνις. μήνιδος. νεᾶνις, νεάνιδος. Ἔτι τὰ εἰς ις ὀξύτονα μονοπαράληκτα. πριαμὶς, πριαμίδος.

Ἔτι τὰ εἰς εις μὴ καθαρά. κλεὶς, κλειδός. αὐτήρεις, αὐτήρειδος. Ἔτι τὰ εἰς υς θηλυκὰ ὀξύτονα βραχυκατάληκτα. χλαμὺς, χλαμύδος. καὶ προπαροξύτονα. τὸ ἔπηλυς. ἐπήλυδος γάρ.

Τὰ δὲ εἰς ις. προσηγορικὰ βαρύτονα μακροπαράληκτα τῷ θ. ὄρνις, ὄρνιθος. ὁμοίως δὲ, καὶ τὰ εἰς νς ἕλμινς, ἕλμινθος. Τά γε μὴν εἰς λς, ἐκβολῇ τοῦ σ τῷ ὑπάρχοντι ἀμεταβόλῳ κλίνεται ἅλς, ἁλός. Τὰ δὲ, εἰς ξ τῇ μὲν τῷ κ ψιλῷ κλίνεται. τῇ δὲ τῷ χ δασεῖ, ἢ τῷ γ μέσῳ. βαρύτονα μὲν γὰρ ὄντα ὡς τύπῳ εἰπεῖν τῷ κ. θώραξ, θώρακος. πλὴν τῶν ἐχόντων τὸ ῥῆμα εἰς ζω. ἢ εἰς γω. ταῦτα γὰρ τῷ γ. ἅρπαξ, ἅρπαγος. ὅτι ἁρπάζω. τέττιξ, τέττιγος. ὅτι τεττίζω. σάλπιγξ, σάλπιγγος, ὅτι σαλπίζω. λέλεξ, λέλεγος, ὅτι λέγω. καὶ πλὴν τοῦ ἄναξ, ἄνακτος γάρ. ἵνα μὴ συνεμπέσῃ τῷ ἄνακος.

Ὀξύτονα δὲ ὄντα, τῷ γ. βουπλὴξ, βουπλῆγος. αἲξ, αἰγός. ῥὼξ, ῥωγός. καὶ πλὴν τοῦ βὴξ, βηχός. πτὼξ, πτωκός, καὶ πλὴν τῶν πρὸ τοῦ ξ σύμφωνον ἐχόντων, ἕτερόν τι τοῦ γ οἷον σάρξ. σαρκὸς γάρ. ἀκριβέστερον δὲ τὰ εἰς αξ, τῷ κ ἄνθραξ, ἄνθρακος. θρὰξ, θρακός. πλὴν τοῦ ἅρπαξ. καὶ ἄναξ. καὶ τὰ εἰς ηξ. ἅπαντα μὲν ὄντα τῷ κ. μύρμηξ,

λαῖος· ὅτι μέλαινα καὶ ὑπὲρ δύο δὲ συλλαβὰς ὄντα, εἰ ἀπὸ δισυλλάβου τοιούτου τυγχάνει συγκείμενα, οὕτω κλίνεται πολυδάμας, πολυδάμαντος.

Παραπλησίως δὲ τούτοις, καὶ τὰ εἰς ας ὀξύτονα, καὶ μὴ καθαρὰ ἀρσενικά· οἷον, ἱμάς, ἱμάντος, καὶ τὸ πᾶς δὲ περισπώμενον ὁμοίως· παντὸς γὰρ καὶ τὸ ἀπ' αὐτοῦ οὐδέτερον, πᾶν.

Ἔτι τὰ εἰς εις καθαρὸν, ἀποβάλλοντα τὸ ὑποτακτικὸν αὐτῶν φωνῆεν· χαρίεις, χαρίεντος· συμβαίνει δ' ἄρα, καὶ τοῖς ἀπὸ τούτων παρεσχηματισμένοις, εἰς εν οὐδετέροις κλίνεσθαι ὁμοίως· τὸ γὰρ ν ἀμφίβολον· χαρίεις, χάριεν· χαρίεντος· ἐξαιρείσθω τὸ μείς· αἰολικόν· μηνὸς γάρ.

Καὶ τὰ εἰς οις δὲ συνῃρημένα, τῶν ἐντελῶν ἔχει τὴν κλίσιν· πλακόεις, πλακόεντος· πλακοῦς, πλακοῦντος. Ἔτι τὰ εἰς ης βαρύτονα, ἰαμβικὰ τουτέστι τὰ βραχείᾳ παραλήγοντα· μὴ ἔχοντα συλλαβοῦντα τῷ τ, λάχης, λάχητος. Ἔτι τὰ εἰς της θηλυκὰ ἰαμβοκατάληκτα, φιλότης, φιλότητος. Ἔτι τὰ εἰς ως ὀξύτονα· ὑπὲρ μίαν συλλαβήν· ἱδρώς, ἱδρῶτος. Ἔτι τὰ εἰς ως ἀρσενικὰ βαρύτονα βραχείᾳ παραλήγοντα· γέλως, γέλωτος. Ἔτι τὰ εἰς αις ἀπαθῆ, οἷον δάϊς, δαϊτός· σταίς, σταιτός· τὸ γὰρ παῖς, παιδός, ἐκ συναιρέσεως. Ἔτι τὰ εἰς ας ὀξύτονα· παλλάς, παλλάδος· τριάς, τριάδος· ἀρκάς, ἀρκάδος· πλὴν τοῦ κράς, κρατὸς γάρ. Τὰ δὲ εἰς ις κύρια τῷ δ

Ἔτι τὰ εἰς ως μονοσύλλαβα ἀπαθῆ· θώς, θωός· δμώς, δμωός. Τὰ γὰρ ἐκ συναιρέσεως τῷ τ κλίνεται· φῶς, φωτός· ἐφ᾽ ἃ δὴ ἀναφέροιτ᾽ ἂν καὶ τὸ οὖς, ὠτός. Καὶ ἄλλως τὰ εἰς ως μονοσύλλαβα. ἔχοντα μὲν τὸ δ, ἢ θ, ἢ τ, τῷ καθαρῷ κλίνεται· δμώς. θώς. τρώς. ἄλλο δέ τι ἔχοντα σύμφωνον, τῷ τ· χρώς. φώς. συντετάχθω δὲ τοῖς εἰρημένοις, καὶ τὸ λᾶς μονοσύλλαβον· λαὸς γάρ. Ἔτι τὰ εἰς ως θηλυκὰ ὀξύτονα ὄντα· αἰδώς· αἰδόος· ἠώς, ἠόος, βαρύτονα δ᾽ ὄντα ἐπὶ τὴν τετάρτην ἀνάγεται· κέως, κέω· ἕως, ἕω. Ἔτι τὰ εἰς ις προσηγορικὰ βαρύτονα μὴ φύσει ὄντα· μακροκατάληκτα· ὄφις, ὄφιος· ὕβρις, ὕβριος· πλὴν τοῦ χάρις, παῖς, χάριτος γάρ τοι καὶ παιδός.

Ἔτι τὰ εἰς υς βαρύτονα. βότρυς, βότρυος· πλὴν τοῦ κόρυς, κόρυθος· τούτων δ᾽ ἔνια καὶ μεταβολῇ τοῦ υ εἰς ε κλίνεται· πῆχυς, πήχεος· πέλεκυς, πελέκεος· ὡσαύτως δὲ καὶ ὀξύτονα ὄντα μονογενῆ· ἢν μακρὸν ἔχῃ τὸ υ. πληθύς, πληθύος· ἀχλύς, ἀχλύος ὀϊζύς, ὀϊζύος· ὀαρυστύς, ὀαρυστύος· τριγενῆ δὲ ὄντα καὶ τροπῇ τοῦ υ εἰς ε κλίνεται· ἡδύς, ἡδέος.


Τὰ δὲ εἰς ας οὐδέτερα, τῷ τ κλίνεται· κρέας, κρέατος· οὖας, οὔατος. Ἔτι τὰ εἰς ας ἀρσενικὰ δισύλλαβα βαρύτονα, μακροκατάληκτα· ἃ δὴ καὶ τὸ ν πρὸ τοῦ τ προσλαμβάνει· αἴας, αἴαντος· κάλχας, κάλχαντος· πλὴν τῶν ἐχόντων θηλυκὰ εἰς αινα μετασχηματιζόμενα· μέλας γάρ, μέ-

ταῦτα γὰρ τὴν τοῦ ἀρσενικοῦ κλίσιν φυλάττει ὅθεν παρῆκται· τὶ· τινός· ὅτι· τις· τινός· εὔχαρι, εὐχάριτος. ὅτι εὔχαρις εὐχάριτος. βάρβαρα δὲ, ἢ τῷ καθαρῷ σίνηπι, σινήπιος. Τὰ δὲ εἰς υ τῷ καθαρῷ· γόνυ, γόνυος. καὶ μακρᾷ τὴν παραλήγουσαν ἔχοντα· ἢ τριγενῆ ὄντα τροπῇ τοῦ υ εἰς ε· πῶϋ, πώεος. ἡδύ, ἡδέος. ὀξύ, ὀξέως. Τὰ δὲ εἰς ω τῷ καθαρῷ λητώ, λητόος. Πάλιν δὲ τὰ εἰς σ λήγοντα· τῇ μὲν τῷ καθαρῷ κλίνεται· τῇ δὲ τῷ τ ψιλῷ ἢ τῷ θ δασεῖ, ἢ τῷ δ μέσῳ. Τὰ μὲν γὰρ εἰς ες τῷ καθαρῷ ἀληθές, ἀληθέος. Ἔτι τὰ εἰς ευς, ἢ εἰς αυς. ἀποβάλλοντα τὸ υ ὑποτακτικὸν αὐτῶν φωνῆεν. βασιλεύς, βασιλέως· ναῦς, ναός.

Ἔτι τὰ εἰς ους, ὁμοίως· βοῦς, βοός· πλὴν τοῦ πούς, ποδός· καὶ ὀδούς, ὀδόντος. Ἐκ συναιρέσεώς γε μὴν ὄντα· περὶ τὴν τρίτην ἀνάγεται· νοῦς, νοῦ, νῷ. ἔστι μέντοι καὶ ὡς ἀπαθῆ κλίνειν τὰ τοιαῦτα· νοῦς νοός. Συντετάχθω δὲ τοῖς τοιούτοις καὶ τὰ εἰς οις κατὰ συναίρεσιν, οἷς γὰρ οἰός· καὶ φθοῖς, φθοιός.

Ἔτι τὰ εἰς ος οὐδέτερα, σθένος, σθένεος· φάος, φάεος, καὶ ὅσα ἐκ τούτων σύγκειται εἰς ης δημοσθένης, δημοσθένεος· καὶ ὅλως τὰ εἰς ης λήγοντα ὧν οὐδέτερον παρεσχηματισμένον εἰς ες· ἀληθής ἀληθέος, τούτοις δ' ἠκολούθησε καὶ τὸ ἄρης.

Ἔτι τὰ εἰς ως ἀρσενικὰ μακρᾷ παραλήγοντα· μίνως, μίνωος· ἥρως· ἥρωος, κοινῶς δηλονότι. ἀττικῶς γὰρ τετάρτης γίνεται κλίσεως· μίνως, μίνω.



Ὅσα ὑπὸ τὴν τρίτην.

Τὰ δὲ εἰς ος ἀρσενικὰ καὶ θηλυκὰ καὶ τὰ εἰς ον οὐδέτερα, ὑπὸ τὴν τρίτην θεὸς ἀγαθόν.

Ὅσα ὑπὸ τὴν τετάρτην.

Τὰ δὲ εἰς ως ἀρσενικὰ καὶ θηλυκὰ ἀττικῶς, καὶ τὰ εἰς ων οὐδέτερα, ὑπὸ τὴν τετάρτην· ἀφαιρέσει γὰρ τοῦ ληκτικοῦ συμφώνου κλίνεται· μενέλεως, μενέλεω· ἀνώγεων, ἀνώγεω· ἀλλά γιτοδ' αὖ πως ὑπὸ ταύτην καὶ τὰ κλινόμενα, δωρικῶς ἀφαιρέσει τοῦ σ· λάας, λάα· προδῆς, προδῆ· θωμᾶς, θωμᾶ.

Ὅσα ὑπὸ τὴν πέμπτην.

Τὰ δὲ παρὰ τὰ εἰρημένα δὴ πάντα σχηματιζόμενα ἀρσενικά τε καὶ θηλυκά, καὶ οὐδέτερα· ὑπὸ τὴν πέμπτην· τὴν γὰρ γενικὴν πάντα ταῦτα ἔχει εἰς ος διαφόρως μέντοι· ἢ τὰ μέν, εἰς καθαρόν· τὰ δέ, μή· ἀλλὰ σιωποῦντος συμφώνου, ἢ ψιλοῦ, ἢ δασέος, ἢ ἀμεταβόλου, ἢ μέσου.

Τῶν μὲν οὖν φωνηέντων τελικὰ ἴσθι τοιούτων ὀνομάτων α. ι. υ. ω. τῶν δὲ συμφώνων· σ. νς. λς. ξ. ψ. ν. ρ. Καὶ δὴ τὰ μὲν εἰς α λήγοντα ἀπαθῆ τῷ τ κλίνεται, βῆμα, βήματος· πλὴν εἴ τι ἀπὸ ἀρσενικοῦ παρασχηματισμένον ἐστί· τὸ γὰρ τοιοῦτο τὴν τοῦ ἀρσενικοῦ κλίσιν ἔχει ὅθεν παρῆκται· μέγα, μεγάλου, ὅτι μέγας· μεγάλου· καὶ πλὴν τῶν ὑπὸ γραμμάτων· ἄλφα· βῆτα· ἄκλιτα γάρ.

Τὰ δὲ εἰς ι ἑλληνικὰ μὲν ὄντα· τῷ τ μέλι, μέλιτος, πλὴν τῶν ἀπὸ ἀρσενικοῦ παρεσχηματισμένων,

ταῦτα

ρας συνθέτου γένη. οἷον ἀπὸ τοῦ συνθέτου παραγόμενον. φίλιππος, φιλιππίδης.

Ἐφ' ἃς τῶν κλίσεων ἕκαστον τῶν ὀνομάτων ἀνάγεται.

Εἰς πέντε δὲ τοὔνομα ἐπιμεριζόμενον κλίσεις ὡς εἴρηται. ὅπως ἀνάγοιτ' ἂν ἐφ' ἑκάστης καὶ κοινῇ τε καὶ ἰδίᾳ θεωροῖτο ἂν ὧδε.

Ὅσα ἐπὶ τὴν πρώτην.

Τὰ μὲν οὖν εἰς ας καθαρὸν ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ βαρύτονα ὀνόματα, ἀνάγεται ἐπὶ τὴν πρώτην. αἰνείας. Ἔτι τὰ εἰς ης βαρύτονα ἁπλᾶ μονογενῆ σπονδειακά. τουτέστιν ὅσα δὴ καὶ τὴν παραλήγουσαν ἔχει μακρὰν χρύσης. καὶ μὴ ἁπλᾶ δὲ ὧν μὴ ἐξ οὐδετέρου εἰς ος λήγοντος συγκέηται τελώνης. ὀλυμπιονίκης. Ἔτι τὰ εἰς δης ἐσχηματισμένα, εἴτε πατρωνυμικά, εἴτε κύρια, πριαμίδης. πριαμίδου, παλαμίδης παλαμίδου. πλὴν τῶν ἀπὸ τῶν εἰς δος οὐδετέρου συνθέτων. τὸ δὲ ὑπερείδης, καὶ ἀριστείδης, καὶ ἕτερα ἄττα τοῖς πατρωνυμικοῖς ἀκολουθοῦντα τυγχάνει.

Ἔτι τὰ εἰς της ἰαμβοκατάληκτα, τουτέστι τὰ βραχεῖα παραλήγοντα οἷον δεσπότης, δεσπότου πλὴν τοῦ κράτης. κράτητος γάρ.

Ὅσα ἐπὶ τὴν δευτέραν.

Τὰ δὲ εἰς α ἢ εἰς η θηλυκά, μαῖα, τιμή. ἐπὶ τὴν δευτέραν.

ματος καὶ εἴη αὖ ἀφ᾽ ἑκάστου τῶν ὀνομάτων, παράγειν. ἀρσενικὸν μὲν εἰς ων μονογενές. φίλος, φίλων. θηλυκὸν δὲ εἰς ότης μονογενές. φιλότης. οὐδέτερον δὲ εἰς ιον. καὶ ὅλως εἰς ον τριγενές. φίλιον, φιλικὸν οὐχ ἁπλῶς μέντοι τριγενὲς ἀλλ᾽ ὡς τὰ τῶν εἰδῶν ληκτικά τε καὶ παραληκτικά. ἀνθρωπικὸν γοῦν καὶ ἀνθρώπειον, καὶ ἀνθρωπῶδες, καὶ πήλινον, καὶ ἀνθηρὸν, καὶ ὅλως κατὰ τὸν ἀποδοθέντα σχηματισμὸν τῶν εἰδῶν τοῦ ὀνόματος. σκοπεῖν δὲ χρὴ καὶ εἰ δεικτικὸν τριγενείας τὸ εἶδος. οὐ γὰρ καθόλου τὰ εἰς ον οὐδέτερα, τριγενῆ. ζωΰφιον γοῦν καὶ μειρακύλλιον, καὶ λεβήτιον, καὶ ὅλως τὰ ὑποκοριστικά. μονογενῆ. Θεωρητέον δὲ καὶ τοὺς λοιποὺς τῶν παρωνύμων σχηματισμοὺς κατὰ τὴν διαφορὰν τῶν εἰδῶν, οἷον ἐπὶ μὲν τοῦ ὑποκοριστικοῦ λίθαξ. ἀνθρωπίσκος. μηνάς. ἐπὶ δὲ τοῦ πατρωνυμικοῦ, εἰς δης.

Σχηματισμοὶ ῥηματικοί.

Τὰ δὲ ῥηματικά, ὡς καθόλου εἰπεῖν ἀπὸ τοῦ παθητικοῦ παρακειμένου ἤτοι πρώτου προσώπου, ἢ δευτέρου, ἢ τρίτου. τὰ μὲν δὲ πολλὰ τῶν ῥηματικῶν, ἀπὸ τοῦ πρώτου πεποίημαι. ποίημα. λελόγισμαι λογισμός. τὰ δὲ εἰς σις θηλυκὰ ἀπὸ τοῦ δευτέρου λέλυσαι, λύσις. τὰ δὲ εἰς τος τριγενῆ. ἀπὸ τοῦ τρίτου ἤκουσται, ἀκουστός, καὶ πρὸς τούτοις τὰ εἰς ηριον προσηγορικά πέποται, ποτήριον.

Σχῆμα δ᾽ αὖ παρὰ τὰ πρότερον εἰρημένα, καίτοι πα-

πῖλος. ὁ ναύτης. Τῶν δὲ θηλυκῶν τρία. εἰς ω. ὑ/ λώ ἡ ὑψηλὴ πύλη. εἰς ις θεραπευὶς, ἡ θεράπαινα. εἰς κη παιδίσκη. ἡ παῖς. Τῶν δὲ οὐδετέρων ἐγὸ εἰς ον, μειρακύλλιον.

Σχηματισμοὶ κτητικῶν.

Καὶ τὰ κτητικὰ δὲ ἀπὸ κυρίων καὶ προσηγορικῶν παράγεται. καὶ εἰς ειον μὲν ἀπὸ τῶν εἰς ευς, νηλεὺς, νηλέως, νήλειον. ἀλλ' οὐ μόνον. ἀπὸ τοῦ ἀνθρώπου γὰρ τὸ ἀνθρώπειον.

Τὰ εἰς κος δὲ καὶ εἰς ωδες. ἀπὸ τῶν εἰς ος. λόγος, λογικός. ἀλλ' οὐ μόνον. βασιλέως γὰρ βασιλικόν. καὶ δεκέλεια, δεκελεικόν. γραμματικοῦ δὴ καὶ ταῦθα μηδὲν ὑπὸ τοῦ ἀχρήστου παρακωλυόμενον, θέ/ σθαι. ἄμφω τὰ εἴδη ἀφ' ἑκάστου τῶν εἰρημένων παράγεσθαι ὀνομάτων. ὡς γὰρ ἀπὸ τοῦ ἄνθρωπος, ἀνθρωπικὸν. καὶ ἀνθρώπειον. οὕτω καὶ ἀπὸ τοῦ ὁ/ μήρου ὁμηρικὸν καὶ ὁμήρειον. καὶ ἀπὸ τοῦ αἴαντος, αἰαντικὸν καὶ αἰάντειον. καὶ ἀπὸ πλάτωνος, πλα/ τωνικὸν καὶ πλατώνειον, ἔνιοι δὲ καὶ τὰ παρωνύ/ μως ἀπὸ τόπου λεγόμενα κτητικὰ, οἰκειοματι/ κὰ ὀνομάζουσιν. οἷον τὸ οὐράνιος, καὶ θαλάσσιος. καὶ τὰ ὅμοια. ὥστε καὶ εἶεν ἂν οὕτω τὰ κτητικὰ τριχῶς. ἢ γὰρ οἰκειοματικῶς. οὐράνιον. ἢ συνεκ/ φαντικῶς γραμματικὸν, ἢ μετουσιαστικῶς λι/ θώδες.

Σχηματισμοὶ παρωνύμου.

Παρωνύμου δὲ τόποι σχηματιστικοὶ, ὅσα καὶ εἴδη ὀνό/

ὅτι πέμπτης, ἀπὸ τῶν γενικῶν ὁ σχηματισμὸς εἰς ιδης. ἔνθα δὴ καὶ συναίρεσις γίγνεται. ἐφ᾽ ὧν τὸ ε παραλήγει. καὶ σχηματισμὸς ἕτερος, εἰς ων ἰώνων. πέλοψ πέλοπος πελοπίδης. πηλεύς, πηλέος, πηλεΐδης, καὶ πηλείδης κατὰ συναίρεσιν, καὶ πηλείων.

Τῆς δὲ πρώτης. εἰς άδης. αὐγείας, αὐγειάδης. ἰφίτας, ἰφιτάδης.

Περὶ θηλυκῶν πατρωνυμικῶν σχηματισμῶν.

Τὰ δὲ θηλυκὰ πατρωνυμικὰ ἀπὸ τῶν ἰδίων ἀρσενικῶν. ἐκβολῇ τοῦ δη. ἠλιάδης, ἠλιάς. νεστορίδης νεστορίς, καὶ ἔστι τὰ μὲν ἀρσενικὰ κλίσεως πρώτης. τὰ δὲ θηλυκὰ πέμπτης. πριαμίδης, πριαμίδου, πριαμίς, πριαμίδος. ἔστι δὲ καὶ ἑτέρου πατρωνυμικοῦ εἶδος καταχρηστικῶς. τοῦ μὲν ἀρσενικοῦ εἰς διος. οἷον ὑῤῥάδιος. τοῦ δὲ θηλυκοῦ εἰς νη. οἷον ἀδραστίνη. καὶ ἠετιώνη. ὡς θ᾽ οὕτω τριχῶς ἂν εἴη, τό τε ἀρσενικὸν καὶ τὸ θηλυκόν.

Σχηματισμοὶ ὑποκοριστικῶν.

Τὰ δὲ ὑποκοριστικὰ ἀπὸ κυρίων τε καὶ προσηγορικῶν σχηματίζεται. οἷον ἀπὸ μὲν τοῦ ζηνόδωρος, ζηνᾶς. ἀπὸ δὲ τοῦ ἄνθρωπος, ἀνθρωπίσκος.

Εἴδη δὲ τῶν μὲν ἀρσενικῶν, ἕξ, εἰς ων δισυλλάβως βάκχων ὁ βακχυλίδης. εἰς ων παραλῆγον τῷ ι, μωρίων. ὁ μωρός. εἰς αξ. ῥόδαξ, ὁ ῥόδιος. εἰς ᾶς ζηνᾶς. μητρᾶς. εἰς κος ἀνθρωπίκος. εἰς λος. νεαν

ὑπερθετικὸν ποιεῖται. τὰ δὲ, διπλοῦν. ἁπλοῦν μὲν τὸ εὐρὺς, εὐρύτερος γὰρ εὐρύτατος μόνον. διπλοῦν δὲ τὸ ἡδὺς, καὶ γλυκὺς, καὶ ὠκύς. ταῦτα γὰρ οὐ μόνον εἰς τερος καὶ τατος. ἀλλὰ καὶ εἰς ων, καὶ εἰς ιστος γλυκίων, γλύκιστος ὠκίων ὤκιστος. ὁμοίως δὲ τούτοις, καὶ αἰσχρὸς καὶ ἐχθρός. εἰ δὲ καὶ τὸ βραάσσων, καὶ θάσσων, καὶ πάσσων οὐ παραλιπεῖν δέοι. εἴη ἂν οὕτω καὶ ἔτι καὶ τριπλοῦν τὸ σχῆμα παρέχοιτο, ἀπὸ γὰρ, τοῦ βραδὺς καὶ βραχύς. τὸ βραάσσων συγκριτικὸν, καὶ ἀπὸ τοῦ ταχὺς, τὸ θάσσων, καὶ ἀπὸ τοῦ παχὺς, τὸ πάσσων.

Τὰ δὲ εἰς ἄλλο τι λήγοντα τῷ ἔστερος. καὶ ἔστατος, ὡς ἐπὶ τὸ πλεῖστον εἰς συγκριτικὰ μετασχηματίζονται, ὧδε σώφρων, σώφρονος, σωφρονέστερος, σωφρονέστατος. χαρίεις, χαρίεντος, χαριέστερος, χαριέστατος. καὶ χωρὶς δὲ τοῦ ε, εὔνους, εὐνούστερος, εὐνούστατος. οὐ μόνον δ᾽ ἀπὸ ὀνομάτων συγκριτικὰ, ἀλλὰ καὶ ἀπὸ μετοχῶν, ἐρρωμενέστερος, καὶ ἔτι ἀπὸ προθέσεων, πρότερος, καὶ ὑπέρτερος. καὶ ἀπὸ ἐπιρρημάτων, ἐγγύτερος. πορρώτερος. αἰώτερος.

Σχηματισμοὶ πατρωνυμικῶν.

Πατρωνυμικοὶ δὲ σχηματισμοὶ τοιοῦτοι. ὅσα μὲν τῶν ὀνομάτων εἰς ος καθαρὸν λήγει, εἰς αδης μετασχηματιζόμενα. τὸ ἀρσενικὸν πατρωνυμικὸν ποιεῖ. ἥλιος. ἡλιάδης. ὅσα δὲ μὴ εἰς καθαρὸν, εἰς ιδης. κρόνος, κρονίδης. τοῖς γε μὴν κλίσεως οὐ-

Παραγωγοῦ δὲ ἑπτὰ μάλιστα εἴδη τὰ πρότερον εἰρημένα. ὧν τοῦ συγκριτικοῦ τι καὶ ὑπερθετικοῦ σχηματισμοὶ ὧδε.

Σχηματισμοὶ συγκριτικῶν. καὶ ὑπερθετικῶν.

Τὰ εἰς ος λήγοντα τῶν ἁπλῶν τριγενῶν ὀνομάτων μεταβολῇ τοῦ σ εἰς τ, καὶ προσλήψει τοῦ ερος συγκριτικὰ γίνεται. οἷον ἔνδοξος ἐνδοξότερος. προσλήψει δὲ τοῦ ατος, ὑπερθετικά. ἔνδοξος ἐνδοξότατος. παλαιός παλαιότατος. πλὴν τοῦ καλός καὶ κακός, καὶ ἑτέρων τινῶν. καλλίων γὰρ κάλλιστος, κακίων κάκιστος, βελτίων βέλτιστος, ἀμείνων κρείττων, ἄριστος. χείρων, ἐλάττων. ἥσσων, μείων, ἐλάχιστος, μείζων μέγιστος, ῥᾷον ῥᾷστος.

Εἰ δὲ εἰς τὸ ης θετικὸν διὰ τοῦ εος τυγχάνει κλινόμενον. ἀπὸ τοῦ ες οὐδετέρου τὸ συγκριτικὸν καὶ ὑπερθετικὸν γίνεται, προσλήψει ὡς εἴρηται. εὐγενής εὐγενές, εὐγενέστερος, εὐγενέστατος. ἀληθής, ἀληθές, ἀληθέστερος, ἀληθέστατος.

Εἰ δὲ εἰς υς εἴη τριγενές. δῆλον ὅτι καὶ τοῦτο ἀπὸ τοῦ οὐδετέρου ὁμοίως. βραχύς, βραχύ, βραχύτερος, βραχύτατος. πλὴν τοῦ ἡδύς. πολύς. ταχύς. ἡδίων γὰρ ἥδιστος. καὶ πλείων πλεῖστος. καὶ ταχείων. τάχιστος, ἢ καὶ ταῦτα προσθέσει ἔτι τοῦ τερος. καὶ τατος εἶναι σχηματίσαι. πλὴν τοῦ πολύς. ἡδύτερος, ἡδύτατος. ταχύτερος, ταχύτατος.

Γ ὧν εἰς ις ἄρα τὰ μὲν ἀπὸ οὐ τὸ συγκριτικὸν καὶ

Τὰ δὲ περιληπτικὰ εἴτ' οὖν συστηματικά, μονογενῆ· δῆμος, πλῆθος.

Τά γε μὴν συμμεριζόμενα τριγενῆ· ἕτερος, ἑτέρα, ἕτερον, ἄλλος, ἄλλη, ἄλλο. τετραχῶς δὲ τὰ συμμεριζόμενα· ἢ γὰρ ἓν ἐκ δυοῖν, οἷον τὸ ἕτερον· ἢ δύο καθ' ἕν, οἷον τὸ ἑκάτερον· ἢ ἓν ἐκ πολλῶν, οἷον τὸ ἄλλο, ἢ πολλὰ καθ' ἕν, οἷον τὸ ἕκαστον.

Τριγενῆ δὲ καὶ τὰ τακτικά· πρῶτος, πρώτη, πρῶτον, καὶ τὰ μετουσιαστικά· λίθινος, λιθίνη, λίθινον. ταῦτα δέ, καὶ ἀπὸ μόνων τῶν ὁμοιομερῶν σχηματίζεται. ξύλον γὰρ καὶ ὀστοῦν καὶ γὰρ σὰρξ τῶν ὁμοιομερῶν· ὅθεν τὸ ξύλινον καὶ ὀστέινον· καὶ σάρκινον. ὡσαύτως δὲ καὶ τὰ τῶν ἄλλων, εἰς δύο δὲ μάλιστα καταλήξεις ἀναμερίζεται· ἤτοι γὰρ εἰς ινον, πήλινον, ἢ εἰς ωδες· πηλῶδες, γεῶδες. Τῶν γε μὴν ἐκ μετάλλων ἰδία κατάληξις εἰς εον καὶ οὖν κατὰ συναίρεσιν χρύσεον σιδήρεον χάλκεον ἀργύρεον· οἷς καὶ τὸ κεραμεοῦν ἠκολούθησεν.

Καθόλου δὲ τῷ ὀνόματι ἕπεται ταυτὰ πρότερον εἰρημένα πέντε· ὧν τὸ γένος, καταχρηστικῶς καὶ κοινόν τι καὶ ἐπίκοινον ἔσται. τὸ μὲν γὰρ ἀρσενικῷ μόνως ὑποτασσόμενον ἄρθρῳ ἀρσενικόν· τὸ δὲ θηλυκῷ μόνως θηλυκόν· τὸ δὲ οὐδετέρῳ, οὐδέτερον· τὸ δέ, ἀμφοῖν, ἀρσενικῷ τε καὶ θηλυκῷ, κοινόν· τὸ δὲ συνθατέρῳ ἄμφω τὰ γένη σημαῖνον, ἐπίκοινον· οἷον ἀετός· χελιδών. Εἶδος δὲ τὸ μὲν πρωτότυπον οἷον πᾶς· τὸ δὲ παράγωγον οἷον λόγιος.

Τῶν δὲ προσηγορικῶν, ὅσα σημαντικὰ ζώων, κοινὰ τῷ γένει ὡς ἐπὶ τὸ πλεῖστον ἐστίν. ἔνια μέντοι καὶ ἐπί

Τὰ δὲ κυρίως ἐπίθετα τριγενῆ πάντα. (κοινά. σοφός. σοφή. σοφόν. τὰ δὲ ἐπαμφοτερίζοντα καὶ νῦν μὲν ὡς ἐπίθετα λαμβανόμενα, νῦν δὲ ὡς προσηγορικά. οἷον τὸ εὐεργέτης. καὶ πολίτης. καὶ βασιλεύς. καὶ τὰ τοιαῦτα, διγενῆ ἐστιν. τοιοῦτο δὲ καὶ τὸ πρήρων καὶ πλώξ.

Τὰ μὲν οὖν εἰς ος καθαρόν. ἅπαντα τριγενῆ, εἰς α τὸ θηλυκὸν παρασχηματίζει. δίκαιος, δικαία.

Ὡσαύτως δὲ καὶ εἰ τῷ ρ συλλαβιζομένην ἔχει τὴν λήγουσαν. αἰθηρός, αἰθηρά. τὸ δέ, ὀλβίη καὶ τὰ τοιαῦτα ἰωνικά. τὰ δὲ εἰς μὴ καθαρὸν λήγοντα, εἰς η τὸ θηλυκὸν ἔχει σχηματιζόμενον. οἷον ὄβριμος, ὀβρίμη. φρόνιμος, φρονίμη.

Τὰ δὲ ἐρωτηματικὰ εἴτ' οὖν πευστικὰ τριγενῆ καὶ αὐτά ἐστιν. τίς, τί. ποῖος, ποία, ποῖον. κλητικὴν τε οὐκ ἔχει. λαμβάνεται δὲ ἢ κατ' οὐσίαν. οἷον τὸ τίς, ἢ κατὰ ποιόν. οἷον ποῖος, ἢ κατὰ ποσόν. οἷον τὸ πόσον, καὶ πηλίκον, καὶ πόστον. καὶ πότερον ἢ κατὰ τόπον, ποδαπός. ὡσαύτως δὲ καὶ τὰ ἀόριστα τριγενῆ ἐστι, καὶ ἕκαστα ἀφ' ἑκάστων τῶν πευστικῶν σχηματίζεται. προσθέσει τοῦ ο ποῖος, ὁποῖος. πότερος, ὁπότερος. Τριγενῆ δὲ καὶ τὰ ἀναφορικά, καὶ ἢ κατὰ τὸ ποιὸν ἢ κατὰ τὸ ποσὸν λαμβανόμενα. τοιοῦτος. οἷος. τηλικοῦτον ἡλίκον τόσον, ὅσον.

Τῆς δὲ βαρείας τόπος, πᾶσαι αἱ ὁμαλῶς ἀναγινωσκόμεναι συλλαβαί. διὸ καὶ συλλαβικὸς ὀνομάζεται τόνος. τίθεται δὲ αὐτῶν μόνων τῶν ὀξυτονουμένων, ὅταν κατὰ συνέπειαν ἀναγινώσκωνται ὁμαλῶς. οἷον τοὺς περὶ τὸν ἄρχοντα.

Τῆς δὲ περισπωμένης τόπος, ἡ λήγουσα. ὅθεν τὸ περισπώμενον, ποιῶ. καὶ ἡ παραλήγουσα, ὅθεν τὸ προπερισπώμενον, ποιοῦμαι.

Τῆς δὲ δασείας τε καὶ ψιλῆς. τὰ ἀρκτικὰ φωνήεντα. αὐτὸς. ὅμηρος. καὶ τῶν συμφώνων τὸ ρ. ῥῆμα.

Τῆς δὲ ἀποστρόφου. ἔνθα τι ἐκθλίβεται. ἄρα οὗτος, ἄρ' οὗτος.

Τῆς δὲ ὑφέν. ὑπὸ τοῖς ἐκ δυοῖν τινῶν ἢ καὶ πλειόνων συνθέτοις. οἷον πασιμέλουσα.

Τῆς δὲ διαστολῆς. ὑφ' ἃ τῶν συντιθεμένων διάκρισιν τινα δεῖ ἐμποιεῖν ὅ, τι

Περὶ τῶν τοῦ λόγου μερῶν.

Περὶ ὀνόματος.

Τῶν δὲ τοῦ λόγου μερῶν τοὔνομα δὴ παρὰ τὰ προειρημένα, καὶ ἐθνικόν ἐστιν. οἷον φρύξ. καὶ ἀόριστον ὁποῖός τις. καὶ περιληπτικόν, δῆμος. καὶ ἀπομεριζόμενον. ἕτερον. ἑκάτερος. ἕκαστος, ἄλλος. καὶ περιεκτικόν, ἀμπελών. καὶ πεποιημένον. φλοῖσβος. καὶ τακτικὸν πρῶτος, δεύτερος καὶ πρός τι πατήρ. καὶ ὡς πρός τι. νύξ. θάνατος.

Τὰ μὲν δὴ κύρια ἀεὶ μονογενῆ ἐστί. καὶ ἤτοι ἀρσενικὸν μόνον, ἢ θηλυκόν. οἷον ὅμηρος. καλλιόπη.

τὸ δὲ, ξ, ἐκ τοῦ κ, καὶ σ. τὸ δὲ ψ, ἐκ τοῦ π καὶ σ.

Τὰ δὲ λ μ ν ρ. ἀμετάβολα, οὔτε παρ' ἐπὶ τῶν ῥηματικῶν σχηματισμῶν μεταβάλλει· οὔτ' αὖ ἐπὶ τῶν ὀνοματικῶν κλίσεων. ψάλλω, ψαλῶ· νέμω, νεμῶ· κρίνω, κρινῶ· σπείρω, σπερῶ· νέστωρ, νέστορος· ἕλλην ἕλληνος.

Τὰ δὲ ψιλὰ, καὶ δασέα, καὶ μέσα, οὕτω πως ἔχει. ὥς τε τὸ μὲν β, μέσον τοῦ π καὶ φ εἶναι τὴν φωνήν. τὸ δὲ γ, μέσον τοῦ κ καὶ χ. τὸ δὲ δ, μέσον τοῦ θ καὶ τ.

Περὶ συλλαβῆς.

Συλλαβῆς δὲ, τὸ μέν τοι μακρόν. τὸ δὲ, βραχύ. τὸ δὲ, κοινόν. καὶ τοῦ μακροῦ, τὸ μὲν, φύσει ἥρως. τὸ δὲ θέσει, ἄπους. συνίστησι δὲ τὴν μὲν λέξιν, ἡ συλλαβή· ἐπιπλοκή δή τις οὖσα γραμμάτων, μὴ παρέχουσα, τὸν δὲ λόγον, ἡ λέξις.

Λόγος δὲ, τῇ μὲν, ἐντεινόμενος· τῇ δὲ, ἀνιέμενος, ταῖς καλουμέναις προσῳδίαις τυγχάνει.

Περὶ προσῳδίας.

Τῶν δὲ προσῳδιῶν, ἡ μὲν ὀξεῖα καὶ ἡ βαρεῖα. καὶ ἡ περισπωμένη, τόνοι. ἡ δὲ δασεῖα, καὶ ἡ ψιλὴ, πνεύματα. ἡ δὲ ἀπόστροφος, καὶ ἡ ὑφὲν, καὶ ἡ διαστολὴ, πάθη.

Τρεῖς τῆς μὲν ὀξείας, ἡ λήγουσα. ὅθεν τὸ ὀξύτονον, ἀγαθός. ἡ παραλήγουσα, ὅθεν τὸ παροξύτονον καὶ βαρύτονον, λόγος. ἡ προπαραλήγουσα. ὅθεν τὸ προπαροξύτονον, δίκαιος.

ΘΕΟΔΩΡΟΥ ΓΡΑΜΜΑΤΙΚΗΣ ΕΙΣΑΓΩΓΗΣ ΤΩΝ ΕΙΣ ΤΕΣΣΑΡΑ ΤΟ Β΄.



Ετὰ δὲ ταῦτα πάλιν ἀπὸ τῶν πρώτων ἀρξάμενοι, λέγωμεν περὶ τῶν αὐτῶν, ὥσπερ τινὰς τόπους τῶν εἰρημένων τιθέντες καὶ πλείω αἴτια τῶν καθ᾽ ἕκαστον ἀνάγοντες εἰς αὐτά. Τῶν τοίνυν φωνηέντων· τὰ μὲν, ᾱ. η. ε. ο. ω. προτακτικά· τὰ δὲ, ῑ. ῡ. ὑποτακτικά· οὕτω γάρ τοι συμπλεκόμενα, συνίστησι τὰς διφθόγγους. ἐνίοτε δὲ καὶ τὸ ῡ προτακτικόν, ὡς ἐν τῷ υἱός· ἅρπυια· μυῖα. δίφθογγοι γὰρ καὶ αἱ. ῃ. ῳ. ηυ. ᾳ. υι. καταχρηστικῶς. ἡ δὲ ωυ ἰώνων. Ετι τῶν φωνηέντων, τὰ μὲν. ᾱ. ε. ο. μεταβολικά. μεταβάλλει γὰρ ἐπὶ τῶν παρῳχημένων τὸ μὲν ᾱ. καὶ ε. εἰς η. ἀθενῶ, ἠθένουν. ἐθέλω, ἤθελον. τὸ δὲ ο. εἰς ω. ὀφείλω. ὤφειλον. τὰ δὲ, η. ι. υ. ω, ἀμετάβολα, ὡς μὴ μεταβάλλοντα. ἡγεμονεύω γὰρ, ἡγεμόνευον. ἰξεύω, ἴξευον. ὑβρίζω, ὕβριζον. ὠφελῶ, ὠφέλουν. Μεταβάλλει τοιγαροῦν εἰς η τὸ ε πανταχοῦ. πλὴν τῶν τεσσάρων καὶ δέκα τινῶν. ἐφ᾽ ὧν τὸ ι προσλαμβάνει.

Των δὲ συμφώνων τὰ μὲν ζ. ξ. ψ. διπλᾶ ἐκ συμφώνων δυοῖν σύγκειται. τὸ μὲν ζ. ἐκ τοῦ σ καὶ δ.

Ὁ δὲ, παρασυναπτικός· οἷον, ἐπεί· ἐπειδή·

Ὁ δὲ, αἰτιολογικός· οἷον· ἵνα· γέ· ὅπως· γάρ· ὅτι· διότι·

Ὁ δὲ, ἀπορηματικός· οἷον, ἆρα· εἶτα· μῶν· μή·

Ὁ δὲ, συλλογιστικός· οἷον, ἄρα· ἀλλά· ἀλλὰ μήν· οὖν· τοίνυν· τοιγάρτοι· τοιγαροῦν·

Ὁ δὲ, παραπληρωματικός· οἷον, δή· που· τί· δῆτα· πέρ· πω· μήν· οὖν· γέ·

Ὁ δὲ, δυνητικός· οἷον, ἄν·

Ὁ δὲ, διακριτικός· εἴτ' οὖν διαζευκτικός· οἷον, ἤ·

Ὁ δὲ, ἐλαττωτικός· οἷον, πέρ· γοῦν· γέ·

Ὁ δὲ, ἐναντιωματικός· οἷον, ὅμως· καίτοι· καίπερ·

Ἔχει δὲ παρεπόμενον, σχῆμα· ὁ μὲν γὰρ ἁπλοῦς· οἷον, ἐπεί· ὁ δὲ σύνθετος, οἷον ἐπειδή· περὶ μὲν οὖν τῶν ὀκτὼ τοῦ λόγου μερῶν ταύτῃ διωρίσθω τὸ πρῶτον·

ΤΕΛΟΣ ΤΟΥ ΠΡΩΤΟΥ·

Τὸ δὲ συγκρίσεως, οἷον μᾶλλον, ἧττον.

Τὸ δὲ ἐπιτάσεως, οἷον λίαν, ἄγαν, μάλιστα, πάνυ, σφόδρα. Τὸ δὲ ἀνέσεως. οἷον, ἠρέμα. ἡσυχῆ. μόλις. Τὸ δὲ βεβαιώσεως. οἷον δηλαδή. δήπουθεν. πάντως. ὄντως, ἦ. Τὸ δὲ κατωμόσεως. οἷον νή, ναί. Τὸ δὲ καταφάσεως. οἷον, ναί. Τὸ δὲ ἀπωμόσεως. οἷον μά. Τὸ δὲ ἀρνήσεως. οἷον οὔ. οὐδαμῶς. ἥκιστα. τὸ δὲ ἀπαγορεύσεως. οἷον μηδαμῶς μή. τὸ δὲ εἰκασμοῦ. οἷον ἴσως, τάχα. τυχόν. τὸ δὲ ἐρωτήσεως. οἷον πόθεν. ποῖ. ποῦ. πηνίκα. πῶς. τὸ δὲ δείξεως. οἷον ἰδού. ἠνί. ὧδε. ἐκεῖ. ἐνθάδε. τὸ δὲ κλίσεως. οἷον ὦ.

Τὸ δὲ διασαφήσεως. οἷον, ἤγουν. οἷον, τουτέστιν. εἴτουν

Τὸ δὲ θέσεως. οἷον ἀναγνωστέον. γραπτέον.

Τὸ δὲ εὐχῆς. οἷον εἴθε. ὤφελον. τὸ δὲ σχετλιασμοῦ. οἷον. ἆ. ὤ. ἰού. οἴμοι. φεῦ. τὸ δὲ θαυμασμοῦ. οἷον, ὤ. φεῦ. τὸ δὲ ἐκπλήξεως οἷον, ἆ. ἡράκλεις.

Τὸ δὲ θειασμοῦ. οἷον εὐοῖ εὐαί.

Ἔχει δὲ παρεπόμενα εἶδος. καὶ σχῆμα. τὸ μὲν γὰρ πρωτότυπον. οἷον νῦν τὸ δὲ. παράγωγον. οἷον ἑτέρωθεν. καὶ τὸ μὲν ἁπλοῦν. οἷον πάλαι. τὸ δέ, σύνθετον. οἷον πρόπαλαι.

Περὶ συνδέσμου.

Σύνδεσμος δὲ, ὁ μὲν, συμπλεκτικός. οἷον μέν. δέ. τέ. καὶ ἀλλά. ἀτάρ. αὐτάρ. ἤτοι.

Ὁ δὲ διαζευκτικός. οἷον ἤ, ἤτοι. ἠέ.

Ὁ δὲ, συναπτικός. οἷον, εἰ. εἴπερ. εἰδή. εἰ δήπερ.

τῷ σεαυτόν. αἱ δὲ τοῦ τρίτου ἐφ᾽ ὅλον. αἳ δὴ καὶ οὐ μό-
νον συνθέτως, ἀλλὰ καὶ διῃρημένως κλίνονται ἐπὶ τ̃
πληθυντικῶν. οἷον ἑαυτῶν, καὶ σφῶν αὐτῶν. ἑαυτοῖς
καὶ σφίσιν αὐτοῖς. ἑαυτούς, καὶ σφᾶς αὐτούς.

Περὶ προθέσεως.

Πρόθεσις δὲ ἡ μὲν μονοσύλλαβος. ἡ δὲ δισύλλαβος.
παρεπόμενα δὲ ἔχει, τὸ ὀξύνεσθαι. εἰ ἐπιδέχεται
τόνον, τὸ ψιλοῦσθαι. πλὴν τῶν ἀπὸ τ̃ ῡ ἀρχομένων.
τὸ βραχυκαταληκτεῖν, πλὴν δυοῖν. θεωρείσθω δ᾽
ἐν τούτοις. ἐν. εἰς. ἐξ. σύν. πρός. πρό. ἀνά. κατά. διά.
μετά. παρά. ἀντί. ἐπί. περί. ἀμφί. ἀπό. ὑπό. ὑπέρ.

Περὶ ἐπιῤῥήματος.

Ἐπίῤῥημα δὲ τὸ μὲν χρονικόν. οἷον. νῦν. τότε, ποτί. ἤ-
δη. ἄρτι. αὖθις. τέως. ἕως. ἡνίκα. ἔπειτα. μετέπει-
τα. σήμερον. αὔριον. χθές. πάλαι. ἀεί.

Τὸ δὲ, τόπου. οἷον ἄνω. κάτω ἔξω. ἔσω. πόῤῥω. ἐγγύς.
ἐναντίως. χαμαί. ἔνθα, ὅθεν, ἐπέκεινα, μακράν.

Τὸ δὲ ποιότητος. οἷον εὖ. καλῶς, ἡδέως, σοφῶς, ἃ δὴ
καὶ μεσότητος εἶναι λέγεται, κυνηδόν, βοτρυδόν
ἀγεληδόν. Τὸ δὲ ποσότητος. οἷον ἅπαξ, δίς,
τρίς, πολλάκις, ὀλιγάκις. Τὸ δὲ ἀθροίσεως, οἷον,
ἅμα, ὁμοῦ, συλλήβδην. ἀθρόως.

Τὸ δὲ διαιρέσεως, οἷον αὖθι, χωρίς, δίχη.

Τὸ δὲ ἐξαιρέσεως, οἷον πλήν. Τὸ δὲ τάξεως. οἷον
ἑξῆς, ἐφεξῆς εὐθύς. εὐθέως. ἐξαίφνης, αὐτίκα πα-
ραχρῆμα. Τὸ δὲ ὁμοιώσεως, οἷον, ὡς, ὥσπερ. κα-
θά, καθάπερ. Τὸ δὲ ἀποστάσεως, οἷον ὥς τε.

ὀκτὼ· ἐμὸς· σὸς· ἑός· νωΐτερος· σφωΐτερος· ἡμέτερος· ὑμέτερος· σφέτερος· ὧν δὴ ἑκάστη τριγενῶς λέγεται· ἐμός· ἐμή· ἐμόν· νωΐτερος· νωϊτέρα· νωΐτερον· ἡ δὲ κλίσις τούτων δῆλον.

Δεικτικαί.

Δεικτικαὶ δὲ, δύο τριγενῶς καὶ αὗται λεγόμεναι· οὗτος· αὕτη· τοῦτο· ἐκεῖνος· ἐκείνη· ἐκεῖνο·

καὶ κλινόμεναι ὧδε.

Ἑνικά· Οὗτος· τούτου· τούτῳ· τοῦτον· ὦ οὗτος· Δ· Τούτω· τούτοιν· ὦ τούτω· Π· Οὗτοι· τούτων· τούτοις· τούτους· ὦ οὗτοι· Ἑνικά· Αὕτη· ταύτης· ταύτῃ· ταύτην· ὦ αὕτη· Δ· Ταύτα· ταύταιν· ὦ ταύτα· Π· Αὗται· τούτων· ταύταις· ταύτας· ὦ αὗται· Ε· Τοῦτο· τούτου· τούτῳ· τοῦτο· ὦ τοῦτο· Δ· Τούτω· τούτοιν· ὦ τούτω· Π· Ταῦτα· τούτων· τούτοις· ταῦτα· ὦ ταῦτα.

Ἀναφορικαί.

Ἐκεῖνος· ἐκείνου· ἐκείνη· ἐκείνης· ἐκεῖνο· ἐκείνου· ὡς αἱ τῶν ὀνομάτων κλίσεις. Ἀναφορικὴ δέ τοι μία, τριγενῶς καὶ αὕτη λεγομένη· αὐτός· αὐτή· αὐτό· Ἴδιον δὲ ταύτης, ἡ τριπρόσωπος σημασία· αὐτὸς γὰρ ἀντὶ τοῦ ἐγώ· ἢ σύ· ἢ ἐκεῖνος.

Σύνθετοι.

Σύνθετοι δὲ, τρεῖς δίθειας οὐκ ἔχουσαι· ἐμαυτοῦ· σεαυτοῦ, καὶ ἑαυτοῦ λεγόμεναι τριγενῶς. Καὶ αἱ μὲν τοῦ πρώτου καὶ δευτέρου προσώπου ἐπὶ τοσοῦτον κλινόμεναι ἐμαυτοῦ· ἐμαυτῷ· ἐμαυτόν· σαυτοῦ· σαυ

Ε νεστώς. Δίδωμι ἐδίδων. ὁ διδοὺς. ἡ διδοῦσα. τὸ διδόν. Αό. β´. Εδων. ὁ δοὺς. ἡ δοῦσα. τὸ δόν.

Ε νεστώς. Ζεύγνυμι ἐζεύγνυν. ὁ ζευγνύς. ἡ ζευγνῦσα. τὸ ζευγνύν.

Ε νεστώς. εἰμὶ ἦν. ὁ ὢν, ἡ οὖσα. τὸ ὄν, μέλλων ἔσομαι, ὁ ἐσόμενος. ἡ ἐσομένη. τὸ ἐσόμενον.

Κ λίνεται δὲ τὰ μὲν θηλυκὰ πάντα κατὰ τὴν δευτέραν τοῦ ὀνόματος κλίσιν. Τῶν δὲ ἀρσενικῶν τε καὶ οὐδετέρων. τὰ μὲν ἐνεργητικὰ ὡς ἡ πέμπτη. τὰ δὲ παθητικά. ὡς ἡ τρίτη. πλὴν τῶν ἀορίστων. Τῆς πέμπτης δ᾽ ἢ καὶ αὐτῶν ὄντων.

Τ ὰ δὲ μέσα εἰς τὴν τρίτην καὶ αὐτὰ ἀνάγεται. πλὴν τῶν τοῦ παρακειμένου. τῆς πέμπτης δ᾽ ἢ καὶ αὐτῶν ὄντων. Περὶ ἀντωνυμίας.

Α ντωνυμία δὲ, ἡ μὲν, πρωτότυπος, ἡ δὲ, δεικτική. ἡ δὲ διαφορική. ἡ δὲ, σύνθετος. ἔχει δὲ καὶ γένη, καὶ ἀριθμοὺς, καὶ πτώσεις, καὶ πρόσωπα παρεπόμενα.

Π ρωτότυποι μὲν οὖν τρεῖς. ἐγώ. σύ. ὅς.

Κ λίσεις δὲ τούτων θετικῶς αὗται. Ενικά.

Η εὐθεῖα. ἐγώ. ἡ γενική, ἐμοῦ. ἡ δοτική, ἐμοί. ἡ αἰτιατική, ἐμέ. Δ. Η εὐθεῖα καὶ αἰτιατική νῶ. ἡ γενικὴ καὶ δοτικὴ νῷν. Πλ. Η εὐθεῖα. ἡμεῖς ἡ γενικὴ ἡμῶν. ἡ δοτικὴ ἡμῖν. ἡ αἰτιατικὴ ἡμᾶς.

Ε. Σύ. σοῦ. σοί. σέ. Δ. σφῶ. σφῷν. Π. ὑμεῖς. ὑμῶν. ὑμῖν. ὑμᾶς. Ε. ὃς οὗ. οἷ. ἕ. Δ. σφέ. σφίν. Π. σφεῖς. σφῶν. σφίσι. σφᾶς.

Κ τητικαὶ δὲ ἀπὸ τῶν πρωτοτύπων παραγόμεναι

ὀκτώ

Μέσα, Ενεστώς.

Τ ύπτομαι. ὁ τυπτόμενος. ἡ τυπτομένη. τὸ τυπτόμενον. Μέλλων α. τύψομαι. ὁ τυψόμενος. ἡ τυψομένη. τὸ τυψόμενον. Αόριστος α, ἐτυψάμην. ὁ τυψάμενος. ἡ τυψαμένη. τὸ τυψάμενον. παρακείμενος, τέτυπα. ὁ τετυπώς. ἡ τετυπῦια. τὸ τετυπός. Αόριστος β', ἐτυπόμην, ὁ τυπόμενος. ἡ τυπομένη. τὸ τυπόμενον. Μέλλων β'. τυποῦμαι, ὁ τυπούμενος. ἡ τυπουμένη. τὸ τυπούμενον.

Παθητικά. Ενεστώς.

Τ ύπτομαι. ὁ τυπτόμενος, ἡ τυπτομένη. τὸ τυπτόμενον. παρακείμενος, τέτυμμαι, ὁ τετυμμένος. ἡ τετυμμένη. τὸ τετυμμένον. Αόριστος α. ἐτύφθην. ὁ τυφθείς. ἡ τυφθεῖσα. τὸ τυφθέν. Μέλλων α, τυφθήσομαι. ὁ τυφθησόμενος. ἡ τυφθησομένη, τὸ τυφθησόμενον. Αόριστος β'. ἐτύπην, ὁ τυπείς. ἡ τυπεῖσα. τὸ τυπέν. Μέλλων β', τυπήσομαι, ὁ τυπησόμενος. ἡ τυπησομένη. τὸ τυπησόμενον. Μετ' ὀλίγον μέλλων. τετύψομαι. ὁ τετυψόμενος. ἡ τετυψομένη. τὸ τετυψόμενον.

Ενεργητικά. ἐνεστώς.

Τ ίθημι ἐτίθην, ὁ τιθείς. ἡ τιθεῖσα. τὸ τιθέν. Αόριστος β', ἔθης, ὁ θείς. ἡ θεῖσα. τὸ θέν.

Ε νεστώς, ἵστημι ἵστην. Ο ἱστάς, ἡ ἱστᾶσα. τὸ ἱστάν. Αόριστος β'. ἔστην, ὁ στάς. ἡ στᾶσα. τὸ στάν.

Τ ὸ ὁριστικὸν, εἰμὶ εἶ ἐστί. ἐστὸν ἐστόν. ἐσμὲν ἐστὲ εἰσί. παρατατικός. ἦν. ἦς. ἦν. ἦτον. ἤτην. ἦμεν. ἦτε ἦσαν. τὸ προστακτικὸν, ἴσθι καὶ ἔσο. ἔστω. ἔστον. ἔστων. ἔστε. ἔστωσαν. τὸ εὐκτικὸν, εἴην εἴης εἴη. εἴητον εἰήτην, εἴημεν εἴητε εἴησαν καὶ εἶεν.

Τ ὸ ὑποτακτικὸν, ἐὰν ὦ. ἐὰν ᾖς. ἐὰν ᾖ. ἐὰν ἦτον. ἐὰν ἦτον. ἐὰν ὦμεν. ἐὰν ἦτε. ἐὰν ὦσιν. τὸ ἀπαρέμφατον, εἶναι. Μέλλον, τὸ ὁριστικὸν, ἔσομαι ἔσῃ. ἔσεται καὶ ἔσται. ἐσόμεθον ἔσεσθον ἔσεσθον. ἐσόμεθα ἔσεσθε ἔσονται. τὸ εὐκτικὸν, ἐσοίμην ἔσοιο ἔσοιτο. ἐσοίμεθον ἔσοισθον ἐσοίσθην. ἐσοίμεθα ἔσοισθε ἔσοιντο. τὸ ἀπαρέμφατον, ἔσεσθαι. Περὶ μετοχῆς.

Μ ετοχὴν δὲ διαιρετέον μὲν ὡς τὸ ῥῆμα. κλιτέον δὲ ὡς τὸ ὄνομα. καὶ ὅλως τῇ μὲν τοῦ ὀνόματος. τῇ δὲ τοῦ ῥήματος μετέχειν θετέον. ταῦτα γὰρ παρεπόμενα ἔχει τῷ τε ὀνόματι τῷ τε ῥήματι. θεωρείσθω δ᾽ ἐν τούτοις. Ενεργητικά, ἐνεστώς.

Τ ύπτω. ὁ παρατατικός, ἔτυπτον. τὸ ἀρσενικὸν, ὁ τύπτων. τὸ θηλυκὸν, ἡ τύπτουσα. τὸ οὐδέτερον, τὸ τύπτον. Μέλλων α΄, τύψω. ὁ τύψων. ἡ τύψουσα. τὸ τύψον. ἀόριστος α΄, ἔτυψα. ὁ τύψας. ἡ τύψασα. τὸ τύψαν. Παρακείμενος, καὶ ὑπερσυντέλικος. τέτυφα. ὁ τετυφώς. ἡ τετυφυῖα. τὸ τετυφός. Αόριστος β΄, ἔτυπον. ὁ τυπών. ἡ τυποῦσα. τὸ τυπόν. Μέλλων β΄. τυπῶ. ὁ τυπῶν. ἡ τυποῦσα. τὸ τυποῦν.

κη, ῆ. εοι, οῖ.

Π οιέω, ῶ. ποιέεις, εῖς. ποιέετον, εῖτον. ποιέομεν, οῦμεν ποιέουσι, οῦσι. ποιέῃ, ῇ. ποιέοιμι, οῖμι.

Π άθη τῶν ο̃. οω, ῶ. οε, ου. οο, ου, οου, ου. ωη, ῶ ου̃. ο, ι. οῖ. ἐν διφθόγγῳ ἤτοι γιοῦν. πλὴν τοῦ ἀπαρεμφάτου.

Χ ρυσόω, ῶ. χρυσόεις, οῖς. χρυσόετον, οῦτον. χρυσόομεν, οῦμεν. χρυσόουσι. οῦσι. χρυσόοιμι, οῖμι. χρυσόῃ οῖ. χρυσόωμεν, ῶμεν. χρυσόητε, ῶτε, ητε. οῦτε. οῖτε χρυσόειν, οῦν. Τούτων δὲ πάντων καὶ οἱ ἐκ συναιρέσεως εὐκτικοὶ ἐνεργητικοὶ ἐνεστῶτες, τοῦ λυκτικοῦ μέν, ὃς καὶ τρεπομένου προφέρονται, ποιοῖμι ποιοίην.

Ο θεν δὴ καὶ τὰ τῶν πληθυντικῶν τρίτα πρόσωπα οὐ μόνον εἰς εν λήγοντα ἔχουσιν, ἀλλὰ καὶ εἰς αν ποιοίησαν. Ιδία δὲ τὰ ε καὶ συναίρεσιν τῶν πρώτων προσώπων οὐδενὸς πάσχει δισύλλαβα ὄντα.

Κ λίνεται δὲ καὶ εἰς τὸν μέλλοντα, τὸ υ προσλαμβάνοντα, ὡς αὐτὸ πλεῖον πλέω, πλεύσω.

Ε τι αὖ τῶν παθητικῶν παρακειμένων οὐκ ἔστιν ἀκολούθως ποιεῖν τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ἔχοντος τοῦ τρίτου τῶν ἑνικῶν τὴν λήγουσαν διὰ συμφώνων δυοῖν. οἷον τέτυπται. πέπλεκται. διὸ καὶ ἤτοι τῷ ἰωνικῷ χρώμεθα. τετύφαται λέγοντες, καὶ πεπλέχαται. ἢ εἰς μετοχὴν καὶ ῥῆμα ὑπαρκτικὸν ἀναλυόμενοι. τετυμμένοι εἰσὶ λέγοντες. καὶ πεπλεγμένοι εἰσίν, τὸ δὲ ὑπαρκτικόν, ὃ δὲ τυγχάνει κλινόμενον καὶ γραφόμενον.

Ενεργητικὰ ἐνεστῶς.

ζεύγνυνται. Μέσα καὶ παθητικά.

Τὸ ὁριστικὸν ζεύγνυμαι. Παρατατικὸς, ἐζευγνύμην. Τὸ προστακτικὸν ζεύγνυσο. Τὸ ἀπαρέμφατον ζεύγνυσθαι. οὐκοῦν ἐγκλιτικῶς, καὶ χωρὶς ὧδε. Τὸ ὁριστικὸν τύπτω. παρατατικὸς, ἔτυπτον. Τὸ προστακτικὸν τύπτε. Τὸ εὐκτικὸν τύπτοιμι. Τὸ ὑποτακτικὸν ἐὰν τύπτω.

Τὸ ἀπαρέμφατον τύπτειν. καὶ τὰ ἄλλα ὁμοίως.

Ἰστέον δὲ ὅτι τῶν εἰς μι. Τὰ τῷ ω παραλήγοντα διὰ τοῦ ου τοῦ ω ἔχει τὰ τοῦ ἐνεστῶτος, καὶ ἀορίστου ὑποτακτικά. ἐὰν διδῶ διδῷς διδῷ. ἐὰν δῶ. δῷς. δῷ. Ἔτι τῶν εἰς μι. τὰ τῷ υ παραληγόμενα, ἔγκλισιν οὔτε εὐκτικὴν, οὔτε ὑποτακτικὴν οἰκείαν ἑαυτοῖς ἔχει. Ἔτι τὰ τῆς τρίτης κλίσεως εἰς ω λήγοντα καθαρὸν, καὶ τὸ α, ἢ τὸ ε ἢ τὸ ο παραλήγουσαν ἔχοντα. οἷον βοάω. ποιέω. χρυσόω αὐξανομένης χρονικῶς τῆς παραληγούσης, τὸν μέλλοντα ὡς αὐτὸ τοὐπίσω ποιεῖ ὧδε ποιήσω. βοήσω χρυσώσω. πάσχει δὲ καὶ συναιρέσεις, ἐπί τε ἐνεστῶτος καὶ παρατατικοῦ τοιάσδε τε καὶ τοσάσδε.

Καλείσθω δὲ καὶ τὸ μὲν α. τὸ δὲ, ε τὸ δὲ, ο.

Πάθη τῶν α. αω, ῶ. αει, ᾷ. αε, α. αο, ῶ. αου, ῶ. αη, ᾳ. αοι, ῷ.

Βοάω, ῶ. βοάεις, ᾷς. βοάετον, ᾶτον. βοάομεν, ῶμεν. βοάουσι, ῶσι. βοάῃ. ᾷ βοάοιμι, ῷμι.

Πάθη τοῦ ε. εω, ῶ. εει, εῖ. εε, εῖ. εο, οῦ, εου, οῦ.

Ἐνεργητικά. Ἐνεστώς.

Τὸ ὁριστικὸν, δίδωμι. παρατατικὸς. ἐδίδων.
Τὸ προστακτικὸν, δίδοθι. τὸ εὐκτικὸν, διδοίην.
Τὸ ὑποτακτικὸν, ἐὰν διδῶ. τὸ ἀπαρέμφατον, διδόναι. ἀόριστος β'. τὸ ὁριστικὸν, ἔδων.
Τὸ προστακτικὸν δός. τὸ εὐκτικὸν, δοίην.
Τὸ ὑποτακτικὸν ἐὰν δῶ. τὸ ἀπαρέμφατον, δοῦναι.

Μέσα καὶ παθητικά. Ἐνεστώς.

Τὸ ὁριστικὸν, δίδομαι. παρατατικὸς. ἐδιδόμην.
Τὸ προστακτικὸν, δίδοσο καὶ δίδου. τὸ εὐκτικὸν διδοίμην. τὸ ὑποτακτικὸν, ἐὰν δίδωμαι.
Τὸ ἀπαρέμφατον, δίδοσθαι. παρακείμενος,
Τὸ ὁριστικὸν, δέδομαι. τὸ εὐκτικὸν, δεδοίμην.
Τὸ ὑποτακτικὸν, ἐὰν δέδωμαι. τὸ ἀπαρέμφατον δεδόσθαι. ὑπερσυντέλικος. τὸ ὁριστικὸν ἐδεδόμην. τὸ προστακτικὸν, δέδοσο. ἀόριστος α'.
Τὸ ὁριστικὸν, ἐδόθην. τὸ προστακτικὸν δόθητι.
Τὸ εὐκτικὸν, δοθείην. τὸ ὑποτακτικὸν, ἐὰν δοθῶ.
Τὸ ἀπαρέμφατον, δοθῆναι. Μέλλων. τὸ ὁριστικὸν, δοθήσομαι. τὸ εὐκτικὸν δοθησοίμην.
Τὸ ἀπαρέμφατον, δοθήσεσθαι. Μέσος ἀόρ. β'.
Τὸ ὁριστικὸν ἐδόμην. τὸ προστακτικὸν, δόσο καὶ δοῦ. τὸ εὐκτικὸν, δοίμην. τὸ ὑποτακτικὸν, ἐὰν δῶμαι. τὸ ἀπαρέμφατον, δόσθαι.

Ἐνεργητικά. Ἐνεστώς.

Τὸ ὁριστικὸν, ζεύγνυμι. παρατατικὸς, ἐζεύγνυν.
Τὸ προστακτικὸν, ζεύγνυθι. τὸ ἀπαρέμφατον,

σομαι τεθήσῃ τεθήσεται. τεθησόμεθον τεθήσεσθον τεθήσεσθον. τεθησόμεθα τεθήσεσθε τεθήσονται. Τὸ εὐκτικόν. τεθησοίμην τεθήσοιο. τεθήσοιτο. τεθησοίμεθον τεθήσοισθον τεθησοίσθην. τεθησοίμεθα τεθήσοισθε τεθήσοιντο. Τὸ ἀπαρέμφατον, τεθήσεσθαι.

Ενεργητικά. ἐνεστώς.

Τὸ ὁριστικόν. ἵστημι. παρατατικὸς, ἵστην. τὸ προστακτικόν. ἵσταθι. τὸ εὐκτικόν. ἱσταίην. τὸ ὑποτακτικόν. ἐὰν ἱστῶ. τὸ ἀπαρέμφατον, ἱστάναι. Αόριστος β'. τὸ ὁριστικὸν ἔστην. τὸ προστακτικὸν στάθι. τὸ εὐκτικὸν, σταίην. τὸ ὑποτακτικὸν, ἐὰν στῶ. τὸ ἀπαρέμφατον, στῆναι.

Μέσα καὶ παθητικά. Ενεστώς.

Τὸ ὁριστικὸν, ἵσταμαι. παρατατικὸς, ἱστάμην.
Τὸ προστακτικὸν, ἵστασο. τὸ εὐκτικὸν. ἱσταίμην.
Τὸ ὑποτακτικὸν, ἐὰν ἱστῶμαι. τὸ ἀπαρέμφατον, ἵστασθαι. παρακείμενος, τὸ ὁριστικὸν, ἕσταμαι.
Τὸ εὐκτικὸν, ἑσταίμην. τὸ ὑποτακτικὸν, ἐὰν ἑστῶμαι. τὸ ἀπαρέμφατον, ἑστᾶσθαι. ὑπερσυντέλικος, τὸ ὁριστικὸν, ἑστάμην. τὸ προστακτικὸν, ἕστασο. ἀόριστος α'. τὸ ὁριστικὸν, ἐστάθην.
Τὸ προστακτικὸν, στάθητι. τὸ εὐκτικὸν, σταθείην.
Τὸ ὑποτακτικὸν, ἐὰν σταθῶ. τὸ ἀπαρέμφατον, σταθῆναι. Μέλλων α'. τὸ ὁριστικὸν, σταθήσομαι. τὸ εὐκτικὸν, σταθησοίμην. τὸ ἀπαρέμφατον, σταθήσεσθαι.

σθε ἐτίθεντο. Τὸ προστακτικὸν. τίθεσο καὶ τίθου
τιθέσθω. τίθεσθον τιθέσθων. τίθεσθε τιθέσθωσαν.
Τὸ εὐκτικὸν, τιθείμην τίθειο τίθειτο. τιθείμεθον τι
θεῖσθον τιθείσθην. τιθείμεθα τίθεισθε τίθειντο. Τὸ
ὑποτακτικὸν, ἐὰν τιθῶμαι ἐὰν τιθῇ ἐὰν τιθῆται. ἐὰν
τιθώμεθον ἐὰν τιθῆσθον ἐὰν τιθῆσθον. ἐὰν τιθώμεθα
ἐὰν τιθῆσθε ἐὰν τιθῶνται.

Τὸ ἀπαρέμφατον, τίθεσθαι. Παρακείμενος.

Τὸ ὁριστικὸν, τέθειμαι τέθεισαι τέθειται. τεθείμεθον
σθον, σθον. μεθα σθε νται. Τὸ εὐκτικὸν, τεθεί
μην εἶο εἶτο. τεθείμεθον εἶσθον είσθην. τεθεί
μεθα εἶσθε εἶντο. Τὸ ὑποτακτικὸν, ἐὰν τεθῶμαι
ἐὰν τεθῇ ἐὰν τεθῆται. ἐὰν τεθώμεθον ἐὰν τεθῆσθον
ἐὰν τεθῆσθον. ἐὰν τεθώμεθα ἐὰν τεθῆσθε ἐὰν τεθῶν
ται. Τὸ ἀπαρέμφατον, τεθεῖσθαι. Ὑπερσυν
τέλικος. Τὸ ὁριστικὸν, ἐτεθείμην σο το. ἐτε
θείμεθον εισθον είσθην. ἐτεθείμεθα εισθε ντο.

Τὸ προστακτικὸν, τέθεισο τεθείσθω. σθον είσθων.
τέθεισθε σθωσαν. Ἀόριστος α΄. Τὸ ὁριστικὸν, ἐτέ
θην θης θη. ἐτέθητον ἐτεθήτην. ἐτέθημεν ἐτέθητε ἐ
τέθησαν. Τὸ προστακτικὸν, τέθητι τεθήτω. τέθη
τον τεθήτων. τέθητε τεθήτωσαν.

Τὸ εὐκτικὸν, τεθείην είης είη. ήτον ήτην. είημεν,
είητε είησαν. Τὸ ὑποτακτικὸν, ἐὰν τεθῶ ἐὰν
τεθῇς ἐὰν τεθῇ. ἐὰν τεθῆτον ἐὰν τεθῆτον. ἐὰν τε
θῶμεν ἐὰν τεθῆτε ἐὰν τεθῶσιν. Τὸ ἀπαρέμ
φατον, τεθῆναι. Μέλλων α΄, τὸ ὁριστικὸν, τεθή

Τὸ ὁριστικόν, ἔθην ἔθης ἔθη. ἔθετον ἐθέτην. ἔθεμεν ἔθετε ἔθεσαν. Τὸ προστακτικόν, θέτι, καὶ θὲς, θέτω. θέτον θέτων. θέτε θέτωσαν. Τὸ εὐκτικόν, θείην θείης θείη. θείητον θειήτην. θείημεν θείητε θείησαν.

Τὸ ὑποτακτικόν. ἐὰν θῶ θῇς θῇ. ἐὰν θῆτον ἐὰν θῆτον. ἐὰν θῶμεν ἐὰν θῆτε ἐὰν θῶσι.

Τὸ ἀπαρέμφατον, θεῖναι.

Μέσα ἐνεστώς.

Τὸ ὁριστικόν, τίθεμαι τίθεσαι τίθεται. τιθέμεθον τίθεσθον τίθεσθον. τιθέμεθα τίθεσθε τίθενται.

Παρατατικός. ἐτιθέμην, ἐτίθεσο καὶ ἐτίθου ἐτίθετο. ἐτιθέμεθον ἐτίθεσθον ἐτιθέσθην. ἐτιθέμεθα ἐτίθεσθε ἐτίθεντο. Τὸ προστακτικόν, τίθεσο καὶ τίθου τιθέσθω. τίθεσθον τιθέσθων. τίθεσθε τιθέσθωσαν. Τὸ εὐκτικόν, τιθείμην τιθεῖο τιθεῖτο. τιθείμεθον τιθεῖσθον τιθείσθην. τιθείμεθα τιθεῖσθε τιθεῖντο. Τὸ ὑποτακτικόν, ἐὰν τιθῶμαι ἐὰν τιθῇ ἐὰν τιθῆται. ἐὰν τιθώμεθον ἐὰν τιθῆσθον ἐὰν τιθῆσθον. ἐὰν τιθώμεθα ἐὰν τιθῆσθε ἐὰν τιθῶνται.

Τὸ ἀπαρέμφατον τίθεσθαι. Ἀόριστος β΄. Τὸ ὁριστικόν, ἐθέμην ἔθεσο καὶ ἔθου ἔθετο, καὶ τὰ λοιπὰ τοῖς τοῦ ἐτιθέμην ὁμοίως.

Παθητικὰ ἐνεστώς.

Τὸ ὁριστικόν, τίθεμαι τίθεσαι τίθεται. τιθέμεθον τίθεσθον τίθεσθον. τιθέμεσθα τίθεσθαι τίθενται.

Παρατατικός, ἐτιθέμην ἐτίθεσο καὶ ἐτίθου ἐτίθετο. ἐτιθέμετον ἐτίθεσθον ἐτιθέσθην. ἐτιθέμεθα ἐτίθε-

ἐὰν τύπτωμεν τύπτητε τύπτωσιν. Τὸ ἀπαρέμφατον τυπῆναι. Μέλλων β'. Τὸ ὁριστικόν. Ε. τυπήσομαι τυπήσῃ τυπήσεται. Δ. τυπησόμεθον τυπήσεσθον τυπήσεσθον. Π. τυπησόμεθα τυπήσεσθε τυπήσονται. Τὸ εὐκτικόν. Ενικά. τυπησοίμην τυπήσοιο τυπήσοιτο. Δ. τυπησοίμεθον τυπήσοισθον τυπησοίσθην. Π. Τυπησοίμεθα τυπήσοισθε τυπήσοιντο.

Τὸ ἀπαρέμφατον, τυπήσεσθαι. Μετ' ὀλίγον μέλλων. Τὸ ὁριστικόν. Ενικά. τετύψομαι τετύψῃ τετύψεται. Δ. τετυψόμεθον τετύψεσθον τετύψεσθον. Π. τετυψόμεθα τετύψεσθε τετύψονται. Τὸ εὐκτικόν. Ενικά. τετυψοίμην τετύψοιο τετύψοιτο. Δ. τετυψοίμεθον τετύψοισθον τετυψοίσθην. Π. τετυψοίμεθα τετύψοισθε τετύψοιντο. Τὸ ἀπαρέμφατον τετύψεσθαι. Ενεργητικὰ ἐνεστώς.

Τὸ ὁριστικόν, τίθημι, τίθης, τίθησι. τίθετον τίθετον. Τίθεμεν τίθετε τιθέασιν, παρατατικός. Ετίθην ἐτίθης ἐτίθη. Ετίθετον ἐτιθέτην. ἐτίθεμεν ἐτίθετε ἐτίθεσαν. Τὸ προστακτικόν. τίθετι τιθέτω. Τίθετον τιθέτων. τίθετε τιθέτωσαν. Τὸ εὐκτικόν. τιθείην τιθείης τιθείη. τιθείητον τιθειήτην. τιθείημεν τιθείητε τιθείησαν.

Τὸ ὑποτακτικόν, ἐὰν τιθῶ ἐὰν τιθῇς ἐὰν τιθῇ. ἐὰν τιθῆτον ἐὰν τιθῆτον. ἐὰν τιθῶμεν ἐὰν τιθῆτε ἐὰν τιθῶσιν. Τὸ ἀπαρέμφατον, τιθέναι. Αόριστος β'.



φθήτον ἐτυφθήτην. Π. ἐτύφθημεν ἐτύφθητε ἐτύφθησαν. τὸ προστακτικὸν, Ενικά. τύφθητι τυφθήτω. Δ. τύφθητον τυφθήτων. Π. τύφθητε τυφθήτωσαν. Τὸ εὐκτικὸν, Ενικά. τυφθείην τυφθείης τυφθείη. Δ. τυφθείητον τυφθειήτην. Π. τυφθείημεν τυφθείητε τυφθείησαν καὶ τυφθεῖεν. Τὸ ὑποτακτικὸν, Ενικά. ἐὰν τυφθῶ τυφθῇς τυφθῇ. Δ. ἐὰν τυφθῆτον τυφθῆτον. Π. ἐὰν τυφθῶμεν τυφθῆτε τυφθῶσι.

Τὸ ἀπαρέμφατον, τυφθῆναι. Μέλλων α.

Τὸ ὁριστικὸν, Ενικά. τυφθήσομαι τυφθήσῃ τυφθήσεται. Δ. τυφθησόμεθον τυφθήσεσθον τυφθήσεσθον. Π. τυφθησόμεθα τυφθήσεσθε τυφθήσονται. Τὸ εὐκτικὸν, Ενικά. τυφθησοίμην τυφθήσοιο τυφθήσοιτο. Δ. τυφθησοίμεθον τυφθήσοισθον τυφθησοίσθην. Π. τυφθησοίμεθα τυφθήσοισθε τυφθήσοιντο. Τὸ ἀπαρέμφατον, τυφθήσεσθαι. ἀόριστος β΄. Τὸ ὁριστικὸν, Ενικά. ἐτύπην ἐτύπης ἐτύπη. Δ. ἐτύπητον ἐτυπήτην. Π. ἐτύπημεν ἐτύπητε ἐτύπησαν. Τὸ προστακτικὸν, Ενικά. τύπηθι τυπήτω. Δ. τύπητον τυπήτων. Πλ. τύπητε τυπήτωσαν. Τὸ εὐκτικὸν. Ενικά. τυπείην τυπείης τυπείη. Δ. τυπείητον τυπειήτην. Π. τυπείημεν τυπείητε τυπείησαν καὶ τυπεῖεν. Τὸ ὑποτακτικὸν. Ενικά. ἐὰν τυπῶ τυπῇς τυπῇ. Δ. ἐὰν τυπῆτον τυπῆτον. Π.

ται. Τὸ εὐκτικὸν, τυποίμην τυποῖο τυποῖτο. τυποίμεθον τυποῖσθον τυποίσθην. τυποίμεθα τυποῖσθε τυποῖντο. Τὸ ἀπαρέμφατον, τυπεῖσθαι.

Παθητικὰ ἐνεστώς.

Τὸ ὁριστικὸν ἑνικά, τύπτομαι τύπτῃ τύπτεται. Δ. τυπτόμεθον τύπτεσθον τύπτεσθον. Πλ. τυπτόμεθα τύπτεσθε τύπτονται. Παρατατικός, ἐτυπτόμην ἐτύπτου ἐτύπτετο. ἐτυπτόμεθον ἐτύπτεσθον ἐτυπτέσθην. ἐτυπτόμεθα ἐτύπτεσθε ἐτύπτοντο. Τὸ προστακτικὸν, τύπτου, τυπτέσθω. τύπτεσθον τυπτέσθων. τύπτεσθε τυπτέσθωσαν. Τὸ εὐκτικὸν, τυπτοίμην τύπτοιο τύπτοιτο. τυπτοίμεθον τύπτοισθον τυπτοίσθην. τυπτοίμεθα τύπτοισθε τύπτοιντο. Τὸ ὑποτακτικὸν ἐὰν τύπτωμαι τύπτῃ τύπτηται. ἐὰν τυπτώμεθον τύπτησθον τύπτησθον. ἐὰν τυπτώμεθα τύπτησθε τύπτωνται. Τὸ ἀπαρέμφατον. τύπτεσθαι.

Παρακείμενος, τὸ ὁριστικὸν, τέτυμμαι τέτυψαι τέτυπται. τετύμμεθον τέτυφθον τέτυφθον. τετύμμεθα τέτυφθε τετύφαται.

Ὑπερσυντέλικος. Τὸ ὁριστικὸν, ἐτετύμμην ἐτέτυψο ἐτέτυπτο. ἐτετύμμεθον ἐτέτυφθον ἐτετύφθην ἐτετύμμεθα ἐτέτυφθε ἐτετύφατο.

Τὸ προστακτικὸν, τέτυψο τετύφθω. τέτυφθον τετύφθων. τέτυφθε τετύφθωσαν. Τὸ ἀπαρέμφατον, τετύφθαι. ἀόριστος α'. Τὸ ὁριστικόν. Ἑνικά. Ἐτύφθην ἐτύφθης ἐτύφθη. Δ. ἐτύ-

μαι τύψῃ τύψηται. τυψώμεθον τύψησθον τύψησθον. τυψώμεθα τύψησθε τύψωνται.

Παρακείμενος. Τὸ ὁριστικὸν, πέτυπα πέτυπας πέτυπε. πετύπατον πετύπατον. πετύπαμεν πετύπατε πετύπασιν. Τὸ προστακτικὸν, πέτυπε πετυπέτω. πετύπετον πετυπέτων. πετύπετε πετυπέτωσαν. Τὸ εὐκτικὸν, πετύποιμι, πετύποις πετύποι. πετύποιτον πετυποίτην. πετύποιμεν πετύποιτε πετύποιεν. Τὸ ὑποτακτικὸν, ἐὰν πετύπω πετύπῃς πετύπῃ. πετύπητον πετύπητον. πετύπωμεν πετύπητε πετύπωσιν.

Τὸ ἀπαρέμφατον, πετυπέναι. Υπερσυντέλικος. Τὸ ὁριστικὸν, ἐπετύπειν ἐπετύπεις ἐπετύπει. ἐπετύπειτον ἐπετυπείτην. ἐπετύπειμεν ἐπετύπειτε ἐπετύπεισαν. Αόριστος β΄, ἐτυπόμην ἐτύπου ἐτύπετο. ἐτυπόμεθον ἐτύπεσθον ἐτυπέσθην. ἐτυπόμεθα ἐτύπεσθε ἐτύποντο.

Τὸ προστακτικὸν, τυποῦ τυπέσθω. τύπεσθον τυπέσθων. τύπεσθε τυπέσθωσαν. Τὸ εὐκτικὸν τυποίμην τύποιο τύποιτο. τυποίμεθον τύποισθον τυποίσθην. τυποίμεθα τύποισθε τύποιντο.

Τὸ ὑποτακτικὸν, ἐὰν τύπωμαι τύπῃ τύπηται. ἐὰν τυπώμεθον τύπησθον τύπησθον. ἐὰν τυπώμεθα τύπησθε τύπωνται. Τὸ ἀπαρέμφατον, τυπέσθαι. Μέλλων β΄. Τὸ ὁριστικὸν τυποῦμαι τυπῇ, τυπεῖται, τυπούμεθον τυπεῖσθον τυπεῖσθον. τυπούμεθα τυπεῖσθε τυποῦν

Ενεστὼς μέσα.

Τὸ ὁριστικὸν, τύπτομαι τύπτῃ τύπτεται. τυπτόμεθον τύπτεσθον τύπτεσθον. τυπτόμεθα τύπτεσθε τύπτονται. Παρατατικός. ἐτυπτόμην ἐτύπτου ἐτύπτετο. ἐτυπτόμεθον ἐτύπτεσθον ἐτυπτέσθην. ἐτυπτόμεθα ἐτύπτεσθε ἐτύπτοντο.

Τὸ προστακτικὸν, τύπτου τυπτέσθω. τύπτεσθον τυπτέσθων. τύπτεσθε τυπτέσθωσαν.

Τὸ εὐκτικὸν, τυπτοίμην τύπτοιο τύπτοιτο. τυπτοίμεθον τύπτοισθον τυπτοίσθην. τυπτοίμεθα τύπτοισθε τύπτοιντο. Τὸ ὑποτακτικὸν, ἐὰν τύπτωμαι τύπτῃ τύπτηται. τυπτώμεθον τύπτησθον τύπτησθον. τυπτώμεθα τύπτησθε τύπτωνται.

Τὸ ἀπαρέμφατον, τύπτεσθαι. Μέλλων α'.

Τὸ ὁριστικὸν, τύψομαι τύψῃ τύψεται. τυψόμεθον τύψεσθον τύψεσθον. τυψόμεθα τύψεσθε τύψονται. τὸ εὐκτικὸν, τυψοίμην, ψοιο τύψοιτο. τυψοίμεθον τύψοισθον τυψοίσθην. τυψοίμεθα τύψοισθε τύψοιντο. τὸ ἀπαρέμφατον, τύψεσθαι. ἀόριστος α'. Τὸ ὁριστικὸν, ἐτυψάμην ἐτύψω. ἐτύψατο. ἐτυψάμεθον ἐτύψασθον ἐτυψάσθην. ἐτυψάμεθα ἐτύψασθε ἐτύψαντο.

Τὸ προστακτικὸν, τύψαι τυψάσθω. τύψασθον τυψάσθων. τύψασθε τυψάσθωσαν.

Τὸ εὐκτικὸν, τυψαίμην τύψαιο τύψαιτο. τυψαίμεθον τύψαισθον τυψαίσθην. τυψαίμεθα τύψαισθε τύψαιντο. Τὸ ὑποτακτικὸν, ἐὰν τύψω

ψαιμεν τύψαιτε τύψαιεν. Τὸ ὑποτακτικόν, ἐὰν τύψω τύψῃς τύψῃ. τύψητον τύψητον. τύψωμεν τύψητε τύψωσιν. Τὸ ἀπαρέμτατον, τύψαι. Παρακείμενος, τὸ ὁριστικόν, τέτυφα φας, φε. φατον, φατον. φαμεν φατε φασιν.

Τὸ προστακτικόν, τέτυφε φέτω. φετον φέτων. τετύφετε τετυφέτωσαν. Τὸ εὐκτικόν, τετύφοιμι τετύφοις τετύφοι. τετύφοιτον τετυφοίτην. τετύφοιμεν τετύφοιτε τετύφοιεν. Τὸ ὑποτακτικόν, ἐὰν τετύφω τετύφῃς τετύφῃ. τετύφητον τετύφητον. τετύφωμεν τετύφητε τετύφωσιν. Τὸ ἀπαρέμφατον, τετυφέναι. Ὑπερσυντέλικος, τὸ ὁριστικόν, ἐτετύφειν ἐτετύφεις ἐτετύφει. ἐτετύφειτον ἐτετυφείτην. ἐτετύφειμεν ἐτετύφειτε ἐτετύφεισαν. Αόριστος β΄, Τὸ ὁριστικόν, ἔτυπον πες πε. ἐτύπετον ἐτυπέτην. ἐτύπομεν ἐτύπετε ἔτυπον. Τὸ προστακτικόν, τύπε τυπέτω, τύπετον τυπέτων. τύπετε τωσαν.

Τὸ εὐκτικόν, τύποιμι τύποις τύποι. τύποιτον τυποίτην. τύποιμεν τύποιτε τύποιεν.

Τὸ ὑποτακτικόν, ἐὰν τύπω τύπῃς τύπῃ. τύπητον τύπητον. τύπωμεν τύπητε τύπωσιν.

Τὸ ἀπαρέμφατον, τυπεῖν. Μέλλων β΄. Τὸ ὁριστικόν, τυπῶ τυπεῖς τυπεῖ. τυπεῖτον εῖτον. τυποῦμεν εῖτε οῦσιν. Τὸ εὐκτικόν, τυποῖμι ποῖς ποῖ. τυποῖτον τυποίτην. τυποῖμεν οῖτε οῖεν.

Τὸ ἀπαρέμφατον, τυπεῖν.

ψάμην. καὶ τὰ ἄλλα ὁμοίως, ἀπὸ ἀρχῆς δηλονότι. τῶν ἐνεργητικῶν ἀφ' ἑκάστων τῶν ὁμωνύμων τὴν τοῦ ὑπερσυντελίκου, καὶ τοῦ α΄ ἀορίστου καὶ τοῦ μελλόντων τοῦ παθητικοῦ. τότε μὲν σύμφωνον ῥηματικὴ προσαγορευέσθω.

Ἔστω δὲ καὶ κλίσις ἐγκλιτικὴ καὶ ἑτέρα τις προσωπικὴ ὧδε. Ἐνεργητικὰ ἐνεστώς.

Τὸ ὁριστικὸν τύπτω τύπτεις τύπτει. τύπτετον τύπτετον. τύπτομεν τύπτετε τύπτουσιν. Παρατατικὸς, ἔτυπτον ἔτυπτες ἔτυπτε. ἐτύπτετον ἐτυπτέτην. ἐτύπτομεν ἐτύπτετε ἔτυπτον.

Τὸ προστακτικὸν τύπτε τυπτέτω τύπτετον τυπτέτων. τύπτετε τυπτέτωσαν. Τὸ εὐκτικὸν, τύπτοιμι τύπτοις τύπτοι. τύπτοιτον τυπτοίτην. τύπτοιμεν τύπτοιτε τύπτοιεν. Τὸ ὑποτακτικὸν, ἐὰν τύπτω τύπτῃς τύπτῃ. τύπτητον τύπτητον. τύπτωμεν τύπτητε τύπτωσιν. Τὸ ἀπαρέμφατον, τύπτειν. Μέλλων. Τὸ ὁριστικὸν, τύψω τύψεις τύψει. τύψετον τύψετον. τύψομεν τύψετε τύψουσιν. Τὸ εὐκτικὸν, τύψοιμι τύψοις τύψοι. τύψοιτον τυψοίτην. τύψοιμεν τύψοιτε τύψοιεν. Τὸ ἀπαρέμφατον, τύψειν. Ἀόριστος α΄.

Τὸ ὁριστικὸν ἔτυψα ἔτυψας ἔτυψε. ἐτύψατον ἐτυψάτην. ἐτύψαμεν ἐτύψατε ἔτυψαν.

Τὸ προστακτικὸν, τύψον τυψάτω. τύψατον τυψάτων. τύψατε τυψάτωσαν. Τὸ εὐκτικὸν τύψαιμι τύψαις τύψαι. τύψαιτον τυψαίτην. τύ-

Ο ἐνεστὼς, ἵστημι. ὁ παρατατικὸς. ἵστην. ὁ β΄. ἀόριστος ἔστην. Μέσα.

Ο ἐνεστὼς ἵσταμαι. ὁ παρατατικὸς, ἱστάμην. ὁ β΄. ἀόριστος, ἐστάμην. Παθητικά.

Ο ἐνεστὼς, ἵσταμαι ὁ παρατατικὸς, ἱστάμην. ὁ ὑπερσυντέλικος, ἐστάμην. ὁ ἀόριστος. ἐστάθην. ὁ μέλλων, σταθήσομαι.

Ἐνεργητικά.

Ο ἐνεστὼς δίδωμι. ὁ παρατατικὸς, ἐδίδων. ὁ β΄. ἀόριστος, ἔδων. Μέσα.

Ο ἐνεστὼς, δίδομαι. ὁ παρατατικὸς ἐδιδόμην. ὁ β΄. ἀόριστος, ἐδόμην. Παθητικά.

Ο ἐνεστὼς δίδομαι. ὁ παρατατικὸς, ἐδιδόμην. ὁ παρακείμενος, δέδομαι. ὁ ὑπερσυντέλικος. ἐδεδόμην ὁ ἀόριστος ἐδόθην. ὁ μέλλων, δοθήσομαι.

Ἐνεργητικά.

Ο ἐνεστὼς ζεύγνυμι. ὁ παρατατικὸς, ἐζεύγνυν.

Μέσα καὶ παθητικά.

Ο ἐνεστὼς, ζεύγνυμαι. ὁ παρατατικὸς ἐζευγνύμην.

Σύμφωνα τοῦ μέλλοντος. ψ ξ σ. ἀμφίβολα.

Ιστέον ὅτι τὸ ᾱ. ε̄. ō. ἀρκτικὰ ῥήματος ὄντα, εἴτε καθ᾽ αὑτὰ, εἴτε ἐν διφθόγγῳ, χρονικῶς ἐφ᾽ ἑκάστου τῶν παρῳχημένων αὔξεται ὧδε. α, η. αι, ῃ. αυ, ηυ. ε, η ει. ευ, ηυ. ο, ω, οι, ῳ. Κλίσις μὲν δὴ χρονικὴ αὐτὴ ῥήματος. Ἔστω δὲ καὶ διαθετικὴ κλίσις σχηματιζομένη διαθετικῶς ὧδε. τύπτω τύπτομαι ἔτυπτον ἐτυπτόμην. τύψω τύψομαι ἔτυψα ἐτυψάμην

σομαι. ὁ μετ' ὀλίγον μέλλων, ἐσπαρόσομαι.

Γ ἔμπτη δὲ ἡ τῶν εἰς μι. ληγόντων ἀπάντων, οἷον ἵ-
στημι, τίθημι, δίδωμι, ζεύγνυμι. ὧν δὴ ἀπὸ τῶν εἰς
ω καθαρὸν ληγόντων παραγομένων. τὸ μὲν ἀπὸ τῶν
διὰ τοῦ αω. γίνεται. οἷον ἱστάω, ἵστημι. τὸ δὲ ἀπὸ
τῶν διὰ τοῦ εω. τιθέω, τίθημι. τὸ δὲ ἀπὸ τῶν διὰ τοῦ
οω, οἷον διδόω, δίδωμι. τὸ δὲ ἀπὸ τῶν διὰ τοῦ υω.
ζευγνύω, ζεύγνυμι. καὶ ἐπὶ τοῦ παθητικοῦ καὶ μέ-
σου καὶ δυϊκοῦ καὶ πληθυντικοῦ, τὴν παραλήγου
σαν ἕκαστον ἔχει συστελλομένην, εἰς τὸ τῆς ἀρχῆς
παραληπτικὸν ὅθεν παράγεται. ἵστημι, ἵσταμαι.
τίθημι, τίθεμαι. δίδωμι, δίδομαι. ζεύγνυμι, ζεύγνυ
μαι. καὶ ὅλως αἱ αὐξήσεις τε καὶ μειώσεις ἑκάστοις
ἀπὸ τε τοῦ οἰκείου αὐτοῦ ἀρχικοῦ φωνήεντος καὶ
εἰς αὐτὸ κλίνεται ἀναλόγως. ἵστην ἱστὰς ἱσταί-
της ἱσταίην. μέλλων δὲ τούτων ἴδιος, οὐδὲ εἰς, οὔτε
μὴν παρακείμενός ἐστιν. ὁ παρατατικὸς δὲ, καὶ
ἀόριστος β'. εἰς ν. μετὰ τοῦ παραλήγοντος ἐν τῷ ἐνε
στῶτι φωνήεντος.

Ἐνεργητικά.

Ο ἐνεστὼς, τίθημι. ὁ παρατατικὸς, ἐτίθην. ὁ β'. ἀόρι-
στος, ἔθην.

Μέσα

Ο ἐνεστὼς τίθεμαι. ὁ παρατατικὸς, ἐτιθέμην. ὁ β'. ἀό.
θέμην.

Παθητικά.

Ο ἐνεστώς. τίθεμαι. ὁ παρατατικὸς, ἐτιθέμην. ὁ ὑπερ-
συντέλικος, ἐτεθείμην. ὁ ἀόριστος ἐτίθην.

Ἐνεργητικά.

ρακείμενος, ἤκουα, ὁ ὑπερσυντέλικος, ἠκούειν. ὁ β΄. ἀόριστος, ἠκοόμην. ὁ β΄. μέλλων, ἀκοοῦμαι.

Παθητικά.

Ὁ ἐνεστώς, ἀκούομαι. ὁ παρατατικὸς, ἠκουόμην. ὁ παρακείμενος, ἤκουσμαι. ὁ ὑπερσυντέλικος ἠκούσμην. ὁ ἀόριστος, ἠκούσθην. ὁ μέλλων, ἀκουσθήσομαι. ὁ β΄. ἀόριστος, ἠκόην. ὁ β΄. μέλλων ἀκοήσομαι. ὁ μετ᾽ ὀλίγον μέλλων, ἠκούσομαι.

Τετάρτη δὲ ἡ διὰ τῶν τεσσάρων ἀμεταβόλων. λ. μ. ν. ρ, οἷον ψάλλω. νέμω. κρίνω. σπείρω. ὧν. ὁ μὲν μέλλων διὰ τοῦ αὐτοῦ ἀμεταβόλου περισπώμενος μετὰ συστολῆς τῆς παραληγούσης. ὁ δὲ παρακείμενος διὰ τοῦ κ.

Ἐνεργητικά.

Ὁ ἐνεστὼς, σπείρω. ὁ παρατατικὸς, ἔσπειρον. ὁ μέλλων, σπερῶ. ὁ ἀόριστος, ἔσπειρα. ὁ παρακείμενος, ἔσπαρκα. ὁ ὑπερσυντέλικος, ἐσπάρκειν. ὁ β΄. ἀό. ἔσπαρον. ὁ β΄. μέλλων, σπαρῶ.

μέσα.

Ὁ ἐνεστὼς σπείρομαι. ὁ παρατατικὸς ἐσπειρόμην. ὁ μέλλων, σπεροῦμαι. ὁ ἀόριστος, ἐσπειράμην. ὁ παρακείμενος, ἔσπορα. ὁ ὑπερσυντέλικος, ἐσπόρειν. ὁ β΄. ἀόριστος, ἐσπαρόμην. ὁ β΄. μέλλων, σπαροῦμαι.

Παθητικά.

Ὁ ἐνεστὼς σπείρομαι. ὁ παρατατικός. ἐσπειρόμην. ὁ παρακείμενος, ἔσπαρμαι. ὁ ὑπερσυντέλικος, ἐσπάρμην. ὁ ἀόριστος, ἐσπάρθην. ὁ μέλλων, σπαρθήσομαι. ὁ β΄. ἀόριστος, ἐσπάρην. ὁ β΄. μέλλων, σπαρή-

πλέξω. ὧν ὁ μὲν μέλλων διὰ τοῦ ξ'. ὁ δὲ παρακείμενος, διὰ τοῦ χ. Ἐνεργητικά.

Ὁ ἐνεστὼς πλέκω. ὁ παρατατικὸς, ἔπλεκον. ὁ μέλλων πλέξω ὁ ἀόριστος, ἔπλεξα. ὁ παρακείμενος πέπλεχα. ὁ ὑπερσυντέλικος, ἐπεπλέχειν ὁ β'. ἀόριστος ἔπλακον. ὁ β'. μέλλων πλακῶ.

Μέσα.

Ὁ ἐνεστὼς, πλέκομαι. ὁ παρατατικὸς, ἐπεπλεκόμην ὁ μέλλων, πλέξομαι. ὁ ἀόριστος, ἐπλεξάμην. ὁ παρακείμενος, πέπλοχα. ὁ ὑπερσυντέλικος, ἐπεπλόχειν. ὁ β'. ἀόριστος, ἐπλακόμην. ὁ β'. μέλλων, πλακοῦμαι. Παθητικά.

Ὁ ἐνεστὼς, πλέκομαι. ὁ παρατατικὸς, ἐπλεκόμην. ὁ παρακείμενος, πέπλεγμαι. ὁ ὑπερσυντέλικος, ἐπεπλέγμην. ὁ ἀόριστος, ἐπλέχθην. ὁ μέλ. , πλεχθήσομαι. ὁ β'. ἀόριστος, ἐπλάκην. ὁ β'. μέλλων, πλακήσομαι. ὁ μετ' ὀλίγον μέλλων, πεπλέξομαι.

Τρίτη δὲ ἡ τῶν διὰ τοῦ δ. ἢ θ. ἢ τ. ἢ ζ. ἢ ττ. ἢ ω. καθαρόν. οἷον ᾄδω, πλήθω, ἀνύτω, φράζω, πλάττω, ἀκούω. ὧν ὁ μὲν μέλλων διὰ τοῦ σ. ὁ δὲ παρακείμενος διὰ τοῦ κ'. Ἐνεργητικά.

Ὁ ἐνεστὼς ἀκούω. ὁ παρατατικὸς, ἤκουον. ὁ μέλλων, ἀκούσω, ὁ ἀόριστος, ἤκουσα. ὁ παρακείμενος, ἤκουκα. ὁ ὑπερσυντέλικος. ἠκούκειν ὁ β'. ἀόριστος, ἤκοον. ὁ β'. μέλλων, ἀκοῶ. Μέσα.

Ὁ ἐνεστὼς ἀκούομαι. ὁ παρατατικὸς, ἠκουόμην ὁ μέλλων, ἀκούσομαι. ὁ ἀόριστος ἠκουσάμην. ὁ πα-

γράφει. χρόνον δὲ εἴτ' οὖν πτῶσιν ἐνεστῶτα. παρατατικὸν, μέλλοντα. ἀόριστον. παρακ. ὑπερσυν.

Ἔγκλισιν δὲ ὁριστικὴν. προστακτικὴν. εὐκτικὴν. ὑποτακτικὴν. ἀπαρέμφατον. Κλίσεις δὲ ῥήματος εἴτ' οὖν συζυγίαι ἔστωσαν πέντε, τέσσαρες μὲν τῶν εἰς ω. ληγόντων. μία δὲ, τῶν εἰς μι.

Κλίσις χρονική.

Πρώτη μὲν οὖν, ἡ τῶν διὰ τοῦ β. ἢ π. ἢ φ. ἢ πτ. οἷον λείβω. τέρπω. γράφω τύπτω. ὧν ὁ μὲν μέλλων. διὰ τοῦ ψ. ὁ δὲ παρακείμενος. διὰ τοῦ φ. Ὁ ἐνεστὼς τύπτω. ὁ παρατατικὸς ἔτυπτον. ὁ μέλλων τύψω. ὁ ἀόριστος, ἔτυψα. ὁ παρακείμενος. τέτυφα. ὁ ὑπερσυντέλικος, ἐτετύφειν. ὁ ἀόριστος β', ἔτυπον. ὁ μέλλων β', τυπῶ.

Μέσα.

Ὁ ἐνεστὼς, τύπτομαι. ὁ παρατατικὸς, ἐτυπτόμην. ὁ μέλλων, τύψομαι. ὁ ἀόριστος α', ἐτυψάμην. ὁ παρακείμενος, τέτυπα. ὁ ὑπερσυντέλικος, ἐτετύπειν. ὁ ἀόριστος β', ἐτυπόμην. ὁ μέλλων β', τυποῦμαι. παθητικά. ὁ ἐνεστὼς, τύπτομαι. ὁ παρατατικὸς, ἐτυπτόμην. ὁ παρακείμενος, τέτυμμαι. ὁ ὑπερσυντέλικος, ἐτετύμμην. ὁ ἀόριστος α' ἐτύφθην. ὁ μέλλων α', τυφθήσομαι. ὁ β'. ἀόριστος, ἐτύπην. ὁ β'. μέλλων, τυπήσομαι. ὁ μετ' ὀλίγον μέλλων, τετύψομαι.

Δευτέρα δὲ ἡ τῶν διὰ τοῦ γ. ἢ κ. ἢ χ. ἢ κτ. ἢ σσ. ἢ ττ. ἢ ζ. οἷον λέγω, πλέκω, ἔχω, τύσσω, ὀρύττω,

σιωτάτη, πλουσιώτατον. τὸ δὲ εἰς ϛος, οἷον κάλλιϛος. καλλίϛη. κάλλιϛον. Ὑποκοριϛικὸν δὲ, τὸ μὲν εἰς κος, οἷον ἀνθρωπίσκος. νεανίσκος. τὸ δὲ εἰς ιον. ἀνθρώπιον. τὸ δὲ εἰς αδιον, οἷον κρεάδιον. τὸ δὲ εἰς υδριον. οἷον λογύδριον. τὸ δὲ εἰς υλλιον, οἷον μειρακύλλιον. τὸ δὲ εἰς υφιον, οἷον ζωύφιον. τὸ δὲ εἰς αριον. οἷον παιδάριον. τὸ δὲ εἰς ας, οἷον λίθαξ. τὸ δὲ εἰς ις. τῶν θηλυκοῦ, οἷον νησίς.

Κτητικὸν δὲ τὸ μὲν εἰς κος ἁπλικός. δαρικός. δαρική. κόν. τὸ δὲ εἰς ειος. οἷον αἰάντειος. αἰαντεία. αἰάντειον. Παρώνυμον δὲ θέων ἀπὸ τοῦ θεός.

Ρηματικὸν δὲ φιλήμων ἀπὸ τοῦ πεφίλημαι.

Περὶ ῥήματος.

Ρῆμα δὲ τὸ μὲν, ἐνεργητικὸν οἷον τύπτω. τὸ δὲ παθητικὸν, οἷον τύπτομαι. τὸ δὲ μέσον, ἐπ' οὖν κοινὸν οἷον βιάζομαι τὸ δὲ οὐδέτερον, οἷον ὑγιαίνω. τὸ δὲ αὐτοενεργητικόν. οἷον μάχομαι. τὸ αὐτοπαθητικόν, οἷον πάσχω. ἔτι, τὸ μὲν εἰς ω. βαρύτονον, οἷον τέρπω, τὸ δὲ εἰς ω. περισπώμενον ἐκ συναιρέσεως. οἷον ποιῶ. τὸ δὲ εἰς μι, οἷον τίθημι.

Παρεπόμενα δ' ἔχει εἶδος. σχῆμα. ἀριθμόν. πρόσωπον. χρόνον, ἔγκλισιν. Εἶδος μὲν πρωτότυπον. οἷον ἄρδω. παραγωγόν. οἷον ἀρδεύω. Σχῆμα δὲ ἁπλοῦν, οἷον φρονῶ. σύνθετον οἷον καταφρονῶ. Ἀριθμὸν ἑνικόν. οἷον λέγω. δυϊκόν, οἷον λέγετον πληθυντικόν, οἷον λέγουσιν. Πρόσωπον δὲ πρῶτον. οἷον γράφω. δεύτερον, οἷον γράφεις. τρίτον, οἷον

ὄφις, ὄφιν. Ὀνοματικῶς μὲν δὴ κλινέσθω ὡς εἴρηται, πενταχῶς. γενικῶς δὲ ὡς ἀπὸ γένους εἰς γένος, μετασχηματισμός. ὁ δίκαιος. ἡ δικαία. τὸ δίκαιον. ὁ ἡδύς, ἡ ἡδεῖα. τὸ ἡδύ. Τῶν δ᾽ ἀριθμητικῶν ὀνομάτων, τὰ μὲν ἓν σημαίνοντα, ἑνικῶς ἀεὶ κλίνεται. τὰ δὲ δύο, δυϊκῶς. τὰ δὲ πλείω πληθυντικῶς ὧδε. Εἷς. ἑνός. ἑνί. ἕνα. Μία. μιᾶς. μιᾷ. μίαν. ἕν. ἑνός. ἑνί. ἕν. Δύο. δυοῖν.

Τρεῖς. τριῶν. τρισί. τρεῖς. τρία. τριῶν. τρισί. τρία. τέσσαρες, τεσσάρων. τέσσαρσι. τέσσαρας. τέσσαρα. τεσσάρων. τέσσαρσι. τέσσαρα.

Ἀπὸ δὲ τῶν τεσσάρων μέχρι τῶν ἑκατὸν ἀριθμὸς οὐδεὶς κλίνεται.

Τῶν δὲ παρεπομένων τῷ ὀνόματι παραγώγων τὸ μέν, πατρωνυμικόν. τὸ δέ, συγκριτικόν. τὸ δὲ ὑπερθετικόν. τὸ δὲ ὑποκοριστικόν. τὸ δὲ κτητικόν. τὸ δὲ παρώνυμον. τὸ δὲ ῥηματικόν.

Ἔστι δὲ τὸ μέν, ἀρσενικὸν πατρωνυμικόν, ἤτοι, εἰς δης οἷον πρίαμος, πριαμίδης. ἥλιος, ἡλιάδης. πέλοψ, πέλοπος. πελοπίδης. ἀτρεύς, ἀτρέως, ἀτρείδης. ἢ εἰς ων. ἀτρεύς, ἀτρέως, ἀτρείων.

Τὸ δὲ θηλυκὸν ἤτοι εἰς ις. οἷον πριαμίδης. πριαμίς. ἢ εἰς ας. οἷον ἡλιάδης, ἡλιάς.

Συγκριτικὸν δὲ τὸ μὲν εἰς τερος. οἷον πλούσιος, πλουσιώτερος, πλουσιωτέρα, πλουσιώτερον. τὸ δὲ εἰς ων. οἷον καλός, καλλίων. κάλλιον.

Ὑπερθετικὸν δέ, τὸ μὲν εἰς τατος, πλουσιώτατος. πλου

Πάθη τῶν ῑ· ι,ι. ις,ι. ια,ι. τῷ ὄφει, οἱ ὄφιες ις, τοὺς ὄφιας ις. τὰ σινήπια. ι. τούτων δὲ καὶ τὸ ο. τῆς γενικῆς εἰς ω. μεταβάλλει καὶ τὸ ι. εἰς ε. ὄφιος εως. ὀφίοιν εων. καὶ ὅλως παραλῆγον ῑ. εἰς ε, μεταβάλλει. ὥστε καὶ πάλιν συναιρέσεις γίνεσθαι ταῖς τῶν η. ε. ο. ὁμοίας. ὄφεϊ ει. ὄφεες εις. ὄφεας εις. σινήπεα η. Πάθη τῶν ᾱ. αο,ω. αϊ,α. αε,α. αοιν.ων. αα,α. αω. ω. τοῦ κρέαος, ως. τῷ κρέαϊ α. τὼ κρέαε α. τοῖν κρεάοιν ων. τὰ κρέαα, α. τῶν κρεάων, ῶν. Πάθη τῶν ευ. εϊ, ει. εε, ει. εα, ει. τῷ βασιλέϊ, ει. οἱ βασιλέες, εις. τοὺς βασιλέας, εις. τούτων δὲ καὶ τὸ ο. τῆς γενικῆς εἰς ω. μεταβάλλει ἀττικῶς, βασιλέος, ως. καὶ πάλιν τὸ ε. εἰς η. τρέπεται ἐφ᾽ ἑκάστης τῶν πτώσεων ἰωνικῶς. βασιλέος, ῆος. βασιλεῖ, ῆϊ.

Πάθη τῶν ου. οε,ου. οα,ου. οἱ βόες, οῦς. τοὺς βόας, οῦς.

Πάθη τῶν ω. οο,ου. οϊ,οι. οα,ω. τῆς λητόος, οῦς. τῇ λητόϊ, οῖ. τὴν λητόα, ώ. τούτων τὰ δυϊκά, καὶ τὰ πληθυντικὰ τῆς τρίτης γίνεται κλίσεως. τὼ λητώ, τοῖν λητοῖν. αἱ λητοί, τῶν λητῶν.

Πάθη τῶν προτέρου ῡ. εϊ, ει. εε, ει. εα, ει, τῷ ἡδέϊ, ει. οἱ ἡδέες, εις. τοὺς ἡδέας, εις. Πάθη τῶν δευτέρου ῡ. υε,υ. υα,υ. οἱ βότρυες, υς. τοὺς βότρυας, υς.

Γινέσθω δὲ καὶ ἡ τῶν ἑνικῶν αἰτιατικὴ τῶν τε ου. καὶ ἀμφοτέρων τῶν ῡ, ἀπὸ τῆς εὐθείας τροπῇ τοῦ σ. εἰς ν. βοῦς, βοῦν. βότρυς, βότρυν. ἡδύς, ἡδύν. καὶ ἡ τῶν ῑ. ὡσαύτως. πλὴν δῆλον ὅτι τῶν

Η τρυγών. τῆς τρυγόνος. τῇ τρυγόνι. τὴν τρυγόνα. ὦ τρυγών. Τὼ τρυγόνε. τοῖν τρυγόνοιν. ὦ τρυγόνε. Αἱ τρυγόνες. τῶν τρυγόνων. ταῖς τρυγόσι. τὰς τρυγόνας. ὦ τρυγόνες.

Τ ὸ βῆμα. τοῦ βήματος. τῷ βήματι. τὸ βῆμα. ὦ βῆμα. Τὼ βήματε. τοῖν βημάτοιν. ὦ βήματε. τὰ βήματα. τῶν βημάτων. τοῖς βήμασι. τὰ βήματα. ὦ βήματα. Τῆς δὲ πέμπτης ταυτησὶ κλίσεως, ἐστὶν ἃ καὶ συναιρέσεως πάσχει. τὰ μὲν μᾶλλον. τὰ δὲ ἧττον. διὸ καὶ τὰ μὲν πολυπαθῆ. τὰ δὲ ὀλιγοπαθῆ καλείσθω. Ἔστω δὲ καὶ τῶν μὲν πολυπαθῶν τὰ μὲν η. ε. ο. καλούμενα. οἷον τὰ τοιαῦτα. δημοσθένης. ἀληθές, τεῖχος. Τὰ δὲ ι, ὄφις σίνηπι. Τὰ δὲ α κρέας. Τῶν δὲ ὀλιγοπαθῶν. τὰ μὲν, ευ. βασιλεύς. τὰ δὲ ου. βοῦς. τὰ δὲ ω, λητώ. αἰδώς. Τὰ δὲ πρῶτον υ, ἡδύς. ἄστυ. τὰ δὲ δεύτερον ῡ. βότρυς.

Π ῶς δὲ καὶ πῇ τούτων ἕκαστα μεταβάλλει θεωρείσθω ἐν τούτοις, λαβόντι πρῶτον πάντων τῶν οὐδετέρων, καὶ πάντων τῶν δυϊκῶν τὴν αὐτὴν εἶναι εὐθεῖαν καὶ αἰτιατικήν, καὶ κλητικήν. καὶ πάντων τῶν πληθυντικῶν τὴν αὐτὴν εἶναι εὐθεῖαν καὶ κλητικήν.

Π άθη τῶν η. ε. ο. εο, ου. εϊ, ει. εα, η ει εε, η. α. εοι, οι. εω, ω. τοῦ ους. ος. δημοσθένεϊ ει. τῷ δημοσθένει. τὸν σθένεα η. τὼ δημοσθένεε η. τοῖν δημοσθενέοιν οῖν. Οἱ δημοσθένεες εις. τῶν δημοσθενέων ῶν. τοῖς δημοσθενέας ης. τὰ τεύχεα η,

θεοῖς, τοὺς θεοὺς ὦ θεοί.

Η ὁδός. τῆς ὁδοῦ. τῇ ὁδῷ. τὴν ὁδόν. ὦ ὁδός. καὶ ὦ ὁδέ. τὰ ὁδώ. ταῖν ὁδοῖν. ὦ ὁδώ. Αἱ ὁδοί. τῶν ὁδῶν. ταῖς ὁδοῖς. τὰς ὁδούς. ὦ ὁδοί.

Τ ὸ καλόν. τοῦ καλοῦ. τῷ καλῷ. τὸ καλόν. ὦ καλόν. Τὼ καλώ, τοῖν καλοῖν. ὦ καλώ. τὰ καλά. τῶν καλῶν. τοῖς καλοῖς. τὰ καλά ὦ καλά.

Τ ετάρτη κλίσις ἡ τῶν εἰς ως ληγόντων, ἀρσενικῶν τε, καὶ θηλυκῶν, καὶ εἰς ων, οὐδετέρων. ὧν ἡ γενικὴ εἰς ω, ἡ δοτικὴ εἰς ῳ, ἡ αἰτιατικὴ εἰς ν, μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει.

Ο μενέλεως. τοῦ μενέλεω. τῷ μενέλεῳ. τὸν μενέλεων ὦ μενέλεως. Τὼ μενέλεω. τοῖν μενέλεων. ὦ μενέλεω. Οἱ μενέλεῳ. τῶν μενέλεων. τοῖς μενέλεως τοὺς μενέλεως, ὦ μενέλεῳ.

Η ἅλως. τῆς ἅλω. τῇ ἅλῳ. τὴν ἅλων. ὦ ἅλως. τὰ ἅλω. ταῖν ἅλων. ὦ ἅλω. Αἱ ἅλῳ. τῶν ἅλων. ταῖς ἅλως. τὰς ἅλως. ὦ ἅλῳ.

Τ ὸ ἀνώγεων. τοῦ ἀνώγεω. τῷ ἀνώγεῳ τὸ ἀνώγεων. ὦ ἀνώγεων, τὼ ἀνώγεω. τοῖν ἀνώγεῳν ὦ ἀνώγεω.

Πέμπτη κλίσις ἡ τῶν ἀρσενικῶν τε καὶ θηλυκῶν, καὶ οὐδετέρων. ὧν ἡ γενικὴ εἰς ος. ἡ δοτικὴ εἰς ι ἡ αἰτιατικὴ εἰς α. πλὴν τῶν οὐδετέρων.

Ο αἴας. τοῦ αἴαντος. τῷ αἴαντι. τὸν αἴαντα. ὦ αἴας. καὶ ὦ αἶαν. Τὼ αἴαντε. τοῖν αἰάντοιν. ὦ αἴαντε Οἱ αἴαντες. τῶν αἰάντων. τοῖς αἴασι. τοὺς αἴαντας. ὦ αἴαντες.

αἰγείας. ἡ κλητικὴ ὦ αἰγεῖαι. Ἑνικά.

Ο χρύσης. τοῦ χρύσου. τῷ χρύσῃ. τὸν χρύσην. ὦ χρύση καὶ ὦ χρύστης. Δ. τὼ χρύσα. τοῖν χρύσαιν. ὦ χρύσα. Π. οἱ χρῦσαι. τῶν χρυσῶν. τοῖς χρύσαις. τοὺς χρύσας. ὦ χρῦσαι. Δευτέρα δὲ ἡ τῶν εἰς α ἢ εἰς η λη-γόντων θηλυκῶν, ὧν ἡ γενικὴ εἰς ας ἢ εἰς ης, ἡ δοτικὴ εἰς α ἢ εἰς η. ἡ αἰτιατικὴ εἰς ν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει. Ἑνικά.

Η μαῖα. τῆς μαίας. τῇ μαίᾳ. τὴν μαῖαν. ὦ μαῖα. Δ. τὰ μαία, ταῖν μαίαιν. ὦ μαία. Π. αἱ μαῖαι. τῶν μαι-ῶν. ταῖς μαίαις. τὰς μαίας. ὦ μαῖαι. Ἑνικά.

Η μοῦσα. τῆς μούσης. τῇ μούσῃ. τὴν μοῦσαν. ὦ μοῦ-σα. Δ. τὰ μούσα. ταῖν μούσαιν. ὦ μούσα. Π. αἱ μοῦ-σαι. τῶν μουσῶν. ταῖς μούσαις. τὰς μούσας. ὦ μοῦσαι.

Ε Ἡ τιμή. τῆς τιμῆς. τῇ τιμῇ. τὴν τιμήν. ὦ τιμή. Δ. τὰ τιμά, ταῖν τιμαῖν, ὦ τιμά. Π. αἱ τιμαί, τῶν τι-μῶν. ταῖς τιμαῖς. τὰς τιμάς. ὦ τιμαί. Ἰστέον ὅτι μόνα τὰ εἰς α καθαρόν, ἢ εἰς ρα, ἢ εἰς δα, ἢ εἰς θα λήγοντα, τὸ ληκτικὸν αὐτὸ α φυλάσσοντα κλί-νεται. μαῖα, μαίας. ἡμέρα, ἡμέρας. λῆδα. λήδας. κυσσαίθα, κισσαίθας.

Τρίτη δὲ ἡ τῶν εἰς ος ληγόντων ἀρσενικῶν τε καὶ θη-λυκῶν. καὶ εἰς ον οὐδετέρων. πλὴν τῶν συγκριτι-κῶν. ὧν ἡ γενική, εἰς ου ἡ δοτικὴ εἰς ῳ. ἡ αἰτιατικὴ εἰς ν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει.

Ο θεός. τοῦ θεοῦ. τῷ θεῷ. τὸν θεόν. ὦ θεός, καὶ ὦ θεέ. τὼ θεω, τοῖν θεοῖν. ὦ θεώ. Οἱ θεοί, τῶν θεῶν, τοῖς

κόν, οἷον ποῖος. τὸ δὲ ἀριθμητικόν· οἷον εἷς, δύο, τρεῖς. Παρεπόμενα δὲ ἔχει, γένος, εἶδος, σχῆμα, ἀριθμὸν, πτῶσιν, πρόσωπον. γένος μὲν ἀρσενικὸν οἷον λόγος, θηλυκὸν, οἷον τιμή. οὐδέτερον οἷον ἀγαθόν. εἶδος δὲ πρωτότυπον, οἷον πᾶς. παράγωγον, οἷον θέων. σχῆμα δὲ ἁπλοῦν, οἷον ἵππος. σύνθετον οἷον φίλιππος. Ἀριθμὸν δὲ ἑνικὸν οἷον θεός. Δ. οἷον θεώ. Π. θεοί. Πτῶσιν δὲ οἷον εὐθεῖαν, γενικὴν, δοτικήν. αἰτιατικὴν, καὶ κλητικήν. Πρόσωπα δὲ, τρίτον, οἷον Σωκράτης. δεύτερον, οἷον Σώκρατες.

Περὶ κλίσεως.

Κλίνεται δὲ, ἤτοι ἰσοσυλλάβως. Αἰνείας Αἰνείου. ἢ περιττοσυλλάβως. Αἴας Αἴαντος. Καὶ ἰσοσυλλάβως μὲν τετραχῶς, περιττοσυλλάβως δὲ μοναχῶς. διὸ καὶ κλίσις τοῦ ὀνόματος ἡ μὲν πρώτη καλείσθω. ἡ δὲ δευτέρα. ἡ δὲ τρίτη. ἡ δὲ τετάρτη. ἡ δὲ πέμπτη, περιττοσύλλαβος.


Πρώτη μὲν οὖν ἡ τῶν εἰς ας, ας, ἢ εἰς ης, ης, ληγόντων τῶν ἀρσενικῶν. ὧν ἡ γενικὴ, εἰς ου, ἡ δοτικὴ εἰς ᾳ, ἢ εἰς ῃ, ἡ αἰτιατικὴ εἰς ν. μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει. Ἡ εὐθεῖα ὁ Αἰνείας. ἡ γενικὴ τοῦ Αἰνείου. ἡ δοτικὴ τῷ Αἰνείᾳ. ἡ αἰτιατικὴ τὸν Αἰνείαν. ἡ κλητικὴ ὦ Αἰνεία. καὶ ὦ Αἰνείας. Ἡ εὐθεῖα καὶ αἰτιατικὴ τὼ Αἰνεία. ἡ γενικὴ καὶ δοτικὴ τοῖν Αἰνείαιν. ἡ κλητικὴ ὦ Αἰνεία. ἡ εὐθεῖα οἱ Αἰνεῖαι. ἡ γενικὴ τῶν Αἰνειῶν. ἡ δοτικὴ τοῖς Αἰνείαις. ἡ αἰτιατικὴ τοὺς

πακτικὸν, οἷον ὅς, καὶ τὸ μὲν ἀρσενικὸν, οἷον ὁ. τὸ δὲ θηλυκὸν, οἷον ἡ. τὸ δὲ οὐδέτερον, οἷον τό. ἔχει δὲ καὶ ἀριθμὸν, καὶ πτῶσιν ἑπόμενα, ἀριθμὸν μὲν ἑνικὸν, δυϊκὸν. πληθυντικὸν, πτῶσιν δὲ, εὐθεῖαν γενικὴν, δοτικὴν, αἰτιατικήν. Κλίσις δὲ τοῦ μὲν προτακτικοῦ τοιαύτη. Ἡ εὐθεῖα ὁ. ἡ γενικὴ τοῦ. ἡ δοτικὴ τῷ. ἡ αἰτιατικὴ τόν. Ἡ εὐθεῖα καὶ αἰτιατικὴ τώ. ἡ γενικὴ καὶ δοτικὴ τοῖν. Ἡ εὐθεῖα οἱ, ἡ γενικὴ τῶν. ἡ δοτικὴ τοῖς. ἡ αἰτιατικὴ τούς. ἑνικὰ θηλυκά. ἡ εὐθεῖα ἡ. ἡ γενικὴ τῆς. ἡ δοτικὴ τῇ. ἡ αἰτιατικὴ τήν. Δ. ἡ εὐθεῖα καὶ αἰτιατικὴ τά, ἡ γενικὴ καὶ δοτικὴ ταῖν. Π. ἡ εὐθεῖα αἱ. ἡ γενικὴ τῶν. ἡ δοτικὴ ταῖς. ἡ αἰτιατικὴ τάς Ε. οὐδέτερα. Η εὐθεῖα τό. ἡ γενικὴ τοῦ. ἡ δοτικὴ τῷ ἡ αἰτιατικὴ τό. Δ. Η εὐθεῖα, καὶ αἰτιατικὴ τώ. ἡ γενικὴ καὶ δοτική. τοῖν. Π. Η εὐθεῖα τά, ἡ γενικὴ τῶν. ἡ δοτικὴ τοῖς. ἡ αἰτιατικὴ τά. Κλητικὴν δὲ οὐθὲν, οὐδεμίαν ἔχει. τὸ γὰρ ὦ οὐκ ἄρθρον, ἀλλ' ἐπίρρημα κλητικόν. Τοῦ δὲ ὑποτακτικοῦ κλίσις τοιαύτη. Ἀρσενικὰ ἑνικά. ὅς. οὗ. ᾧ. ὅν. Δ. ὥ. οἷν. Π. οἵ. ὧν. οἷς. οὕς. Θηλυκά. Ε. ἥ. ἧς. ᾗ. ἥν. Δ. ἅ. αἷν. Π. αἵ. ὧν. αἷς. ἅς. Ε. Οὐδέτερα. ὅ. οὗ. ᾧ. ὅ. Δ. ὥ. οἷν. Π. ἅ. ὧν. οἷς. ἅ.

Περὶ ὀνόματος.

Ὄνομα δὲ, τὸ μὲν κύριον. οἷον Σωκράτης. τὸ δὲ, προσηγορικόν. οἷον ἄνθρωπος. τὸ δὲ ἐπίθετον, οἷον ἀγαθός. τὸ δὲ ἀναφορικὸν, οἷον οἷος. τὸ δὲ ἐρωτηματι-

ΘΕΟΔΩΡΟΥ ΓΡΑΜΜΑΤΙΚΗΣ ΕΙΣΑΓΩΓΗΣ ΤΩΝ ΕΙΣ ΤΕΣΣΑΡΑ ΤΟ Α.





ῶν τεσσάρων καὶ εἴκοσι γραμμάτων, φωνήεντα μὲν ἑπτά. α. ε. η. ι. ο. ω. υ. Σύμφωνα δὲ τὰ λοιπά, ἑπτακαίδεκα. Τῶν δὲ φωνηέντων, μακρὰ μὲν η. ω. βραχέα δὲ ε. ο. δίχρονα δὲ α. ι. υ. Ἐξ ὧν δίφθογγοι κυρίως μὲν. αι. αυ. ει. ευ. οι. ου. καταχρηστικῶς δὲ ᾳ. ῃ. ῳ. υι. Τῶν δὲ συμφώνων, τὰ μὲν ἡμίφωνα. οἷον ζ. ξ. ψ. λ. μ. ν. ρ. σ. ὧν διπλᾶ μὲν ζ. ξ. ψ. Ἀμετάβολα δὲ καὶ ὑγρὰ λ. μ. ν. ρ. τὰ δὲ, ἄφωνα. οἷον β. γ. δ. κ. π. τ. θ. φ. χ. ὧν ψιλὰ μὲν κ. π. τ. Δασέα δὲ θ. φ. χ. Μέσα δὲ β. γ. δ. Ἐκ δὲ τῶν διῃρημένων τῶν δὲ γραμμάτων, αἱ συλλαβαί. ὅθεν αἱ λέξεις. ἐξ ὧν ὁ λόγος. Τοῦ δὲ λόγου μέρη μὲν ὄνομα, ῥῆμα, μετοχή, ἄρθρον, ἀντωνυμία, πρόθεσις, ἐπίρρημα σύνδεσμος.

Περὶ προσῳδιῶν.

Προσῳδίαι δὲ, ὀξεῖα ´ βαρεῖα ` περισπωμένη ῀ δασεῖα ‘ ψιλὴ ’ ἀπόστροφος ’ ὑφὲν ‿ διαστολή ,.

Περὶ ἄρθρου.

Ἄρθρον δὲ, τὸ μέντοι προτακτικόν, οἷον ὁ. τὸ δὲ ὑποτα-

ANTONIVS FRANCINVS VARCHIENSIS LECTORI. S.

CAVTVM *est quadam naturæ lege, candide lector, ut homo homini, in omnibus quoad fieri potest, prodesse studeat, Nos ergo naturali hoc impulsu omnibus prodesse semper, nostra industria studuimus, castigauimusq; multos & græcos & latinos authores, castigatosq; excudendos curauimus, norunt iam ferè omnes, ut alios omittam, nos superioribus diebus Prisciani Cæsariensis grammaticorum omniũ principis, grammatices præceptiones quæ plurimis iam mendis squalluerant nostris lucubrationibus castigatas in uulgus prodijsse, nunc uero Theodori Gazæ Viri præstantissimi libri quattuor grammatices, & de mensibus unus, Georgij Lecapeni de constructione uerborum opusculum, Emmanuelis moscopuli libri duo, alter de uerbor. nominumq; cõstructione, de accentibus alter, Hephæstionis aureum profecto opus de omnium metrorum ratione, nostra opera in lucem prodeunt, parua quidem hæc sunt, at, sine his nemini disciplinarum fores patere, nemo ignorat; Suscipe ergo candide lector hæc ea mente & eo animo quo à nobis dantur & nostro exemplo omnibus quoad possis prodesse studeas. Vale.*


ΘΕΟΔΩ΄ΡΟΥ ΓΡΑΜΜΑΤΙΚΗ͂Σ ΒΙΒΛΙ΄Α. Δ΄.

Π ερὶ μηνῶν ἐκ τοῦ αὐτοῦ.
Γ εωργίου λεκαπηνοῦ περὶ συντάξεως ῥημάτων.
Ε μμανουὴλ Μοσχοπούλου περὶ τῆς τῶν ὀνομάτων καὶ ῥημάτων συντάξεως.
Τ οῦ αὐτοῦ περὶ προσῳδιῶν.
Η φαιστίωνος ἐγχειρίδιον.

THEODORI GRAMMATICES LIBRI. IIII.



D èmensibus libèr èiusdem.
G eorgii lecapeni de cōstructione uerborum.
E mmanuellis Moscopuli de constructione nominum & uerborum.
E èiusdem de accentibus.
H ephæstionis Enchiridion.




BIBLIOTECA NAZIONALE VITT. EMANUELE
68
9 B
10

